Inde profectus mœrens et patriam clanculum ingressus, abductis secum uxore ac filiabus, se ad Antigonum contulit, ibique mœrore absumptus est.

37.

Stilponem senem obiisse Hermippus testis est, hausto prius vino, ut citius moreretur.

38.

Hermippus ait Antisthenem in celebritate Isthmiorum et vituperare et laudibus efferre voluisse Athenienses, Thebanos, Lacedæmonios; deinde id devitasse, conspecto plurimos ex istis civitatibus confluxisse.

39.

Refert Hermippus Menippum pecuniam in diem fœnerari solitum fuisse, atque hinc fœneratorem nominatum esse : etenim fœnus nauticum exercuisse et cepisse pignora, unde maximas opes coegisse : tandem dolo omnibus esse exspoliatum ac præ mœrore vitam laqueo finivisse.

40.

Grammaticam Epicurum docuisse primum ac demum lectis Democriti libris philosophiæ dedisse operam Hermippus auctor est; atque ob id Timonem de illo dicere :

> Ultimus ex physicis et pessimu', cui Samus altrix,
> grammaticæ doctor, hominumque rudissimu' longe.

Obiisse Epicurum calculo urinæ exitum impediente Hermarchus in Epistolis ait, morbo quattuordecim diebus fatigatum. Quo etiam tempore tradit Hermippus descendisse illum in pelvim æream aquis calentibus plenam petiisseque merum sibi ad sorbendum dari; atque hortatum amicos ut ipsius decretorum memores essent, ita defecisse.

DE ARISTOTELE, LIB. I.

41.

Aristoteles, Nicomachi Phæstiadisque filius, Stagirites fuit. Porro Nicomachus a Nicomacho Machaonis filio Æsculapiique nepote originem duxit, ut Hermippus in eo libro quem de Aristotele scripsit, tradit.

Refert Hermippus in Vitis, quum Atheniensium legatus ad Philippum proficisceretur Aristoteles, Academicæ scholæ præfectum fuisse Xenocratem : quum vero reversus esset scholamque sub alio vidisset, elegisse in Lyceo peripatum (*ambulacrum*), illicque usque ad unctionem deambulando cum discipulis philosophari solitum, atque inde Peripateticum appellatum esse.

42.

Athenæus XIII, p. 589, C: Ἀριστοτέλης δ' ὁ Σταγειρίτης οὐκ ἐξ Ἑρπυλλίδος τῆς ἑταίρας ἐπαιδοποίησε Νικόμαχον, καὶ συνῆν ταύτῃ μέχρι θανάτου; ὥς φησιν Ἕρμιππος ἐν τῷ Περὶ Ἀριστοτέλους πρώτῳ, ἐπιμελείας φάσκων τῆς δεούσης τετυχηκέναι ἐν ταῖς τοῦ φιλοσόφου διαθήκαις.

Idem XV, p. 696, F: Παιὰν δ' ἐστὶ καὶ ὁ εἰς Κράτερον τὸν Μακεδόνα γραφεὶς, ὃν ἐτεκτήνατο Ἀλεξῖνος ὁ διαλεκτικὸς, ὥς φησιν Ἕρμιππος ὁ Καλλιμάχειος ἐν τῷ πρώτῳ Περὶ Ἀριστοτέλους· ᾄδεται δὲ καὶ οὗτος ἐν Δελφοῖς, λυρίζοντός γέ τινος παιδός. Ansam hujus rei memorandæ dedit Aristotelis in Hermiam pæan notissimus, monente Lozynskio. Cf. Athenæus XV, p. 701, C.

ΠΕΡΙ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΒΙΒΛ. Β'. (Γ'...)

(*De discipulis Aristotelis.*)

43. ΘΕΟΦΡΑΣΤΟΣ.

Athenæus I, p. 21, A: Ἕρμιππος δέ φησι Θεόφραστον παραγίνεσθαι εἰς τὸν περίπατον καθ' ὥραν λαμπρὸν καὶ ἐξησκημένον, εἶτα καθίσαντα διατίθεσθαι τὸν λόγον, οὐδεμιᾶς ἀπεχόμενον κινήσεως οὐδὲ σχήματος ἑνός· καί ποτε, ὀψοφάγον μιμούμενον, ἐξείραντα τὴν γλῶσσαν περιλείχειν τὰ χείλη.

44.

Diogenes V, 41: Φαβωρῖνος δέ φησι γηράσαντα αὐτὸν (τὸν Θεόφραστον) ἐν φορείῳ περιφέρεσθαι· καὶ τοῦτο λέγειν Ἕρμιππον, παρατιθέμενον ἱστορεῖν Ἀρκεσίλαον τὸν Πιταναῖον ἐν οἷς ἔφασκε πρὸς Λακύδην τὸν Κυρηναῖον.

45.

Idem II, 55: Φησὶ δ' Ἀριστοτέλης ὅτι ἐγκώμια καὶ ἐπιτάφιον Γρύλλου μυρίοι ὅσοι συνέγραψαν, τὸ μέρος καὶ τῷ πατρὶ χαριζόμενοι· ἀλλὰ καὶ Ἕρμιππος ἐν τῷ Περὶ Θεοφράστου καὶ Ἰσοκράτην φησὶ Γρύλλου ἐγκώμιον γεγραφέναι.

46.

Athenæus VI, p. 252, C: Ἀττάλου δὲ τοῦ βασιλέως ἐγένετο κόλαξ καὶ διδάσκαλος Λυσίμαχος, ὃν Καλλίμαχος μὲν Θεοδώρειον ἀναγράφει, Ἕρμιππος δ' ἐν τοῖς Θεοφράστου μαθηταῖς καταλέγει. Callimachi mentio ex ipso fluxerit Hermippo. Nam dubium vix est quin recte statuat Prellerus, Hermippum hoc maxime egisse, ut ea quæ Callimachus magister in opere Περὶ τῶν ἐν πάσῃ παιδείᾳ διαλαμψάντων καὶ ὧν συνέγραψαν, paucis annotaverat, exponeret fusius, et quæ minus recte posita erant, definiret accuratius. Ceterum de Lysimacho cf. quæ monui in introduct. ad fragm. Neanthis.

47. ΛΥΚΩΝ.

Diogenes V, 67: Ἦν δὲ καὶ καθαρώτατος τὴν στολὴν (ὁ Λύκων), ὡς ἀνυπερβλήτῳ χρῆσθαι μαλακότητι ἱματίων, καθά φησιν Ἕρμιππος. Cf. Antigonus Caryst. ap. Athen. XII, p. 547, A, D; 548, B; Cicero Tusc. III, 32; De fin. V, 5.

48. ΗΡΑΚΛΕΙΔΗΣ Ο ΠΟΝΤΙΚΟΣ.

Idem V, 91: Ἕρμιππος δὲ λιμοῦ κατασχόντος τὴν χώραν φησὶν αἰτεῖν τοὺς Ἡρακλεώτας τὴν Πυθίαν λύσιν· τὸν δὲ Ἡρακλείδην διαφθεῖραι χρήμασι τούς τε θεωροὺς καὶ τὴν προειρημένην, ὥστ' ἀνειπεῖν ἀπαλλαγήσεσθαι τοῦ κακοῦ, εἰ ζῶν μὲν Ἡρακλείδης ὁ Εὐθύ-

---

42.

Aristoteles Stagirita nonne ex Herpyllide meretrice genuit Nicomachum, cum eaque ad mortem usque cohabitavit? Ita enim Hermippus libro primo De Aristotele tradit, aiens philosophum in testamento suo curam, quam par erat, hujus mulieris habuisse.

Est etiam pæan carmen illud quod in Craterum Macedonem scriptum est, auctore Alexino dialectico, ut ait Hermippus Callimachius, primo libro De Aristotele.

DE ARISTOTELE, LIB. II. (III...)

43.

Hermippus ait Theophrastum in Peripato adesse ad horam solitum nitido et exquisito corporis cultu; quumque adsedisset, orationem ita peregisse, ut ne ullo quidem corporis motu, nec ulla gesticulatione abstineret. Itaque catillonem quum aliquando imitaretur, exserta lingua circumlinxisse labia.

44.

Refert Favorinus Theophrastum jam senem lectica circumferri solitum: idque dicere Hermippum, eumque id ex Arcesilai Pitanæi Historia sumpsisse inter ea verba quæ ad Lacydem Cyrenensem habuit.

45.

Refert Aristoteles Grylli encomia et epitaphia innumeros scripsisse, partem laudum patri gratificantes. Isocratem quoque Grylli encomium conscripsisse Hermippus testis est quo loco de Theophrasto dicit.

46.

Attali regis assentator et magister fuit Lysimachus, quem Callimachus Theodoreum in tabulis suis scribit, Hermippus vero inter Theophrasti discipulos recenset.

47.

Erat Lyco mundissimus cultu, adeo ut vestium incredibili mollitie ac nitore uteretur, ut Hermippus refert.

48.

Hermippus Heracleotas tradit, quum fames vastaret regionem, liberationem mali ex Pythia quæsiisse. Porro Heraclidem et theoros et quam memoravimus Pythiam corrupisse pecuniis, ut dicerent tum demum eos levatum iri

φρονος χρυσῷ στεφάνῳ στεφανωθείη πρὸς αὐτῶν, ἀποθανὼν δὲ ὡς ἥρως τιμῷτο. Ἐκομίσθη ὁ δῆθεν χρησμὸς καὶ οὐδὲν ὤναντο οἱ πλάσαντες αὐτόν· αὐτίκα γὰρ ἐν τῷ θεάτρῳ στεφανούμενος ὁ Ἡρακλείδης ἀπόπληκτος ἐγένετο, οἵ τε θεωροὶ καταλευσθέντες διεφθάρησαν· ἀλλὰ καὶ ἡ Πυθία τὴν αὐτὴν ὥραν κατιοῦσα ἐς τὸ ἄδυτον καὶ ἐπιστᾶσα ἑνὶ τῶν δρακόντων δηχθεῖσα παραχρῆμα ἀπέπνευσε. Καὶ τὰ μὲν περὶ τὸν θάνατον αὐτοῦ τοσαῦτα.

49. ΚΑΛΛΙΣΘΕΝΗΣ.

Plutarch. Alex. c. 53, 2 : Λέγεται δέ ποτε πολλῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον ἐπαινέσαι κελευσθεὶς ἐπὶ τοῦ ποτηρίου Μακεδόνας ὁ Καλλισθένης οὕτως εὐροῆσαι πρὸς τὴν ὑπόθεσιν, ὥστε ἀνισταμένους κροτεῖν καὶ βάλλειν τοὺς στεφάνους ἐπ' αὐτόν· εἰπεῖν οὖν τὸν Ἀλέξανδρον, ὅτι, κατ' Εὐριπίδην, τὸν λαβόντα τῶν λόγων ·

καλὰς ἀφορμὰς οὐ μέγ' ἔργον εὖ λέγειν.

« Ἀλλ' ἔνδειξαι, φάναι, τὴν αὐτοῦ δύναμιν ἡμῖν κατηγορήσας Μακεδόνων, ἵνα καὶ βελτίους γένωνται μαθόντες ἃ πλημμελοῦσιν. » Οὕτω δὴ τὸν ἄνδρα πρὸς τὴν παλινῳδίαν τραπόμενον πολλὰ παρρησιάσασθαι κατὰ τῶν Μακεδόνων καὶ τὴν Ἑλληνικὴν στάσιν αἰτίαν ἀποφήναντα τῆς γενομένης περὶ Φίλιππον αὐξήσεως καὶ δυνάμεως εἰπεῖν·

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς·

ἐφ' ᾧ πικρὸν καὶ βαρὺ ἐγγενέσθαι μῖσος τοῖς Μακεδόσι, καὶ τὸν Ἀλέξανδρον εἰπεῖν, ὡς οὐ τῆς δεινότητος ὁ Καλλισθένης, ἀλλὰ τῆς δυσμενείας Μακεδόσιν ἀπόδειξιν δέδωκε. Ταῦτα μὲν οὖν ὁ Ἕρμιππός φησι τὸν ἀναγνώστην τοῦ Καλλισθένους Στροῖβον Ἀριστοτέλει διηγεῖσθαι, τὸν δὲ Καλλισθένην συνέντα τὴν ἀλλοτριότητά τοῦ βασιλέως δὶς ἢ τρὶς ἀπιόντα πρὸς αὐτὸν εἰπεῖν·

Κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων.

« Uti ex Luzacii disputatione colligere licet (Lect. Att. II, 14, p. 188 sq.), hoc ex Callisthenis Vita fragmentum jam inde a cap. 52 initium capit, siquidem verba : ἰδίαν τινὰ πορευόμενον ἐξ ἀρχῆς ὁδὸν ἐν φιλοσοφίᾳ, καὶ δόξαν εἰληφότα ὑπεροψίας καὶ ὀλιγωρίας τῶν συνήθων, quæ sunt in init. capitis, allegata, ut livorem Callisthenis in Anaxarchum denotarent, ex Hermippi mente emanasse Luzacio videntur. Non nego, sed orationis habitu eos mihi tantum fines descriptos existimavi, quos secutus sum in delibandis ex Plutarcho verbis. » Lozynski. Plura dedimus in Introduct. ad fr. Callisth. p. 3 sqq.

50. ΔΗΜΗΤΡΙΟΣ Ο ΦΑΛΗΡΕΥΣ.

Diogenes V, 78 : Φησὶ δ' αὐτὸν Ἕρμιππος μετὰ τὸν Κασάνδρου θάνατον φοβηθέντα Ἀντίγονον παρὰ Πτολεμαῖον ἐλθεῖν τὸν Σωτῆρα· κἀκεῖ χρόνον ἱκανὸν διατρίβοντα συμβουλεύειν τῷ Πτολεμαίῳ πρὸς τοῖς ἄλλοις καὶ τὴν βασιλείαν τοῖς ἐξ Εὐρυδίκης περιθεῖναι παισί. Τοῦ δὲ οὐ πεισθέντος, ἀλλὰ παραδόντος τὸ διάδημα τῷ ἐκ Βερενίκης, μετὰ τὴν ἐκείνου τελευτὴν ἀξιωθῆναι πρὸς τούτου παραφυλάττεσθαι ἐν τῇ χώρᾳ μέχρι τι δόξει περὶ αὐτοῦ. Ἐνταῦθα ἀθυμότερον διῆγε· καί πως ὑπνώττων ὑπ' ἀσπίδος τὴν χεῖρα δηχθεὶς τὸν βίον μεθῆκε. Καὶ θάπτεται ἐν τῷ Βουσιρίτῃ νομῷ πλησίον Διοσπόλεως.

---

incommodis, si et vivum Heraclidem Euthyphronis filium aurea corona honorarent et vita functum ut heroem venerarentur. At ubi istud scilicet oraculum allatum esset, nihil eos qui hanc scenam finxerant, inde esse lucratos. Continuo enim coronatum in theatro Heraclidem tactum apoplexia esse, theoros vero lapidibus obrutos interiisse, Pythiamque ea ipsa hora quum ascendisset in adytum, draconis morsu continuo efflasse animam. Atque ista quidem de ipsius morte.

49.

Traditum est literis, quondam frequenti in convivio jussum inter pocula Macedonum laudes dicere Callisthenem, tanta facundia de proposita re disseruisse, ut assurrexerint, plausuque dato serta in eum conjecerint. Alexandrum vero dixisse : Recte ab Euripide pronuntiatum,

Quum disserendi pulchra datur occasio,
non est magni laboris res, bene dicere :

quin potius ostentandæ facundiæ caussa vituperaret Macedones, ut, vitiorum suorum moniti, ea emendarent. Ibi eum retractantem, quæ prius dixisset, multa libere in Macedones locutum, Græcorumque dissidia caussam fuisse incrementorum et potentiæ Philippi pronuntiasset, addito carmine,

Pessimus ad summos etiam conscendit honores,
quum res dissidiis et seditione laborant.

Eo dicto ingentia Macedonum in se odia concitasse fertur, et Alexandrum dixisse : Non facundiæ Callisthenes, sed malevolentiæ suæ documentum Macedonibus præbuit. Hæc Strœbum Callisthenis anagnostam Aristoteli narrasse Hermippus ait, additque Callisthenem, quum animum regis a se abalienatum sentiret, discedentem ei bis terve dixisse,

Te quoque Patroclus præstantior occidit olim.

50.

Hermippus Demetrium Phalereum tradit post Casandri necem Antigoni metu se ad Ptolemæum Soterem contulisse, multumque illic temporis moratum inter cetera suasisse regi ut filiis quos ex Eurydice susceperat, impertiretur regnum. Illo non obtemperante, sed ei quem ex Berenice genuerat diadema tradente, ab hoc ipso post patris mortem fuisse asservatum in provincia, quoad aliquid de illo statuisset. Hic ille mœstior vixit : et dum dormit ab aspide manum morsus ex vita migravit : sepultusque est in Busirite nomo prope Diospolin.

« Examinarunt hæc Jul. Cæs. Scaliger ad Chron. Euseb. an. MDCCIX, Henr. Dodwell. Dissert. de Dicæarcho p. 51 sqq., Voss. De Histor. Gr. I, 12 (qui Hermippum Berytium hanc Demetrii scripsisse Vitam perversissime statuit); Humpredus Hodius Dissert. de LXX interprett. c. hist. Aristeæ, cap. 3. p. 46 sqq., Serarii, Gretseri, Usserii aliorumque sententias simul castigans; Wesseling. ad Diodor. Sicul. XX, 45, vol. II, p. 439 not. 96; Interpretes Diogenis Laertii et denique Ludov. Casp. Valckenarius in Diatribe de Aristobulo Judæo § XVIII, p. 52 sqq. ed. Luzac. — Plerique huic Hermippi narrationi errorem subesse arbitrati sunt. Scaliger plures adeo errores invenisse sibi visus est, quam quos in Hermippi verbis conspici liceat. Verum testem esse Hermippum integrum, utpote Demetrii Phalerei temporibus proximum, recte observavit Valckenarius l. l. Quæ enim de morte Demetrii deque mortis caussa et tempore tradidit, omnibus ejus temporis Alexandrinis nota fuisse suspicari licet; eadem autem, quæ sine dubio vera sunt, Hermippus tradidit. Sed falsus esse facile potuit in caussa aperiunda, propter quam Demetrius a regia remotus fuerit. Quia enim hac de re, aulicis tantum nota, nonnisi incerti rumores ferebantur, facile in errorem abduci potuit. Sed vide ipsum Valckenarium l. l., qui Scaligerum doctissime refutat. » Lozynski.

51. ΧΡΥΣΙΠΠΟΣ.

Diog. VII, 184 : Τοῦτον ἐν τῷ Ὠδείῳ σχολάζοντά φησιν Ἕρμιππος ἐπὶ θυσίαν ὑπὸ τῶν μαθητῶν κληθῆναι· ἔνθα προσενεγκάμενον γλυκὺν ἄκρατον καὶ ἰλιγγιάσαντα πεμπταῖον ἀπελθεῖν ἐξ ἀνθρώπων, τρία καὶ ἑβδομήκοντα βιώσαντ' ἔτη, κατὰ τὴν τρίτην καὶ τετταρακοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα, καθά φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς. Eadem Suidas v. Χρυσ. et Eudoc. p. 437.

52. ΠΕΡΣΑΙΟΣ.

Athenæus IV, p. 162, C, de Persæo Cittiensi : Φιλόσοφος, ὃς περὶ ταῦτα τὴν διάνοιαν ἀεὶ στρέφων, πιστευθεὶς, ὥς φησιν Ἕρμιππος, ὑπ' Ἀντιγόνου τὸν Ἀκροκόρινθον, κωθωνιζόμενος ἐξέπεσεν καὶ αὐτῆς τῆς Κορίνθου, καταστρατηγηθεὶς ὑπὸ τοῦ Σικυωνίου Ἀράτου.

Περὶ ταῦτα] sc. circa ea de quibus in Συμποτικοῖς διαλόγοις Persæi sermo erat.

RHETORES.

53. ΓΟΡΓΙΑΣ.

Athenæus XI, p. 505, D : Λέγεται δὲ ὡς καὶ ὁ Γοργίας αὐτὸς, ἀναγνοὺς τὸν ὁμώνυμον αὐτῷ διάλογον, πρὸς τοὺς συνήθεις ἔφη, Ὡς καλῶς οἶδε Πλάτων ἰαμβίζειν. Ἕρμιππος δὲ ἐν τῷ Περὶ Γοργίου· « Ὡς ἐπεδήμησε (φησὶ) ταῖς Ἀθήναις Γοργίας μετὰ τὸ ποιήσασθαι τὴν ἀνάθεσιν τῆς ἐν Δελφοῖς ἑαυτοῦ χρυσῆς εἰκόνος, εἰπόντος τοῦ Πλάτωνος, ὅτε εἶδεν αὐτὸν, Ἥκει ἡμῖν ὁ καλός τε καὶ χρυσοῦς Γοργίας· ἔφη ὁ Γοργίας, Ἦ καλόν γε αἱ Ἀθῆναι καὶ νέον τοῦτον Ἀρχίλοχον ἐνηνόχασιν. »

54. ΘΟΥΚΥΔΙΔΗΣ.

Marcellinus Vit. Thuc. § 29 : Ὁ δὲ Ἕρμιππος καὶ ἀπὸ τῶν Πεισιστρατιδῶν αὐτὸν λέγει τῶν τυράννων ἕλκειν τὸ γένος, διὸ καὶ διαφθονῶν αὐτόν φησιν ἐν τῇ συγγραφῇ τοῖς περὶ Ἁρμόδιον καὶ Ἀριστογείτονα, λέγοντα ὡς οὐχ ἐγένοντο τυραννοφόνοι· οὐ γὰρ ἐφόνευσαν τὸν τύραννον, ἀλλὰ τὸν ἀδελφὸν τοῦ τυράννου Ἵππαρχον. Cum Hermippo facit schol. Thuc. I, 20. Cf. Krüger. *Leb. d. Thuc.* p. 4. Apud eundem Marcellinum § 46 Ἕρμιππον pro Κράτιππον restituendum putat Meierus De Andoc. or. c. Alcib. VI, 13, p. 62. Vide not. ad fr. Cratippi tom. II, p. 78.

51.

Chrysippum in Odeo philosophantem Hermippus ait a discipulis ad sacrificium vocatum fuisse, ibique quum oblatum dulce merum hausisset, vertigine fatigari cœpisse atque ita quinto die defunctum esse, quum septuaginta et tres vixisset annos, Olympiade, ut ait Apollodorus in Chronicis, centesima quadragesima tertia.

52.

Persæus philosophus, qui hisce rebus unice animo occupabatur, quum ei ab Antigono, ut narrat Hermippus, credita esset arx Corinthi, compotationibus dans operam, et arce et urbe excidit, Arati Sicyonii artibus deceptus.

53.

Narrant ipsum etiam Gorgiam, postquam legisset cognominem sibi dialogum, dixisse ad familiares, *Quam pulchre iambis uti novit Plato!* Hermippus vero, in libro De Gorgia, scribit : « Quum Athenas reversus esset Gorgias, postquam auream suam statuam Delphis positam dedicasset, Platone ubi primum in conspectum venit dicente, *ecce nobis pulchrum aureumque Gorgiam!* Gorgias ait : *Profecto pulchrum hunc quoque novum Archilochum tulerunt Athenæ!* »

54.

Hermippus et ab ipsis tyrannis Pisistratidis genus Thucydidem trahere dicit; quare etiam illum in sua Historia de Harmodio et Aristogitone invidiose loqui, et tyrannum ab iis cæsum fuisse negare : nec enim, ut inquit ille, tyrannum, sed Hipparchum tyranni fratrem, interfecerunt.

ΒΙΒΛ. Α'. ΠΕΡΙ ΙΣΟΚΡΑΤΟΥΣ.

55.

Athenæus XIII, p.592, D : Γραπτέον Ναΐς, καὶ οὐ Λαΐς. Ἕρμιππος δ' ἐν τῷ Περὶ Ἰσοκράτους προβαίνοντά φησι τῇ ἡλικίᾳ τὸν Ἰσοκράτη ἀναλαβεῖν Λαγίσκαν τὴν ἑταίραν εἰς τὴν οἰκίαν, ἐξ ἧς καὶ γενέσθαι αὐτῷ θυγάτριον. Μνημονεύει δ' αὐτῆς Στράττις. Cf. Harpocrat. v. Λαγίσκα; Vit. Isocr. p. 256 ed. Westerm.

56.

Argum. ad Isocrat. or. ad Philippum : Ἔγραψε δ' ὁ Ἰσοκράτης τὸν λόγον γέρων ὤν, μικρὸν πρὸ τῆς ἑαυτοῦ καὶ Φιλίππου τελευτῆς, ὥς φησιν Ἕρμιππος. « Testatur idem etiam Cicero Orat. 52, 176 : *Quin etiam se ipse tantum, quantum ætate procedebat, ... relaxarat a nimia necessitudine numerorum; quod declarat in eo libro, quem ad Philippum Macedonem scripsit, quum jam admodum esset senex*. Cf. Fabricius Bibl. Gr. vol. II, p. 785 Harl. — Scripta est oratio Πρὸς Φίλιππον ante belli Phocici finem Ol. 108, 3, a. C. 346. Vid. Clinton. Fasti Hellen. s. h. anno ibique Krüger. Mortem obiit Isocrates Ol. 110, 3, a. C. 338; cf. Dionys. Halic. p. 537; Plutarch. Vit. X oratt. p. 837; Cicero De sen. 5. Philippus autem, Macedoniæ rex, occiditur Ol. 111. 1, a. C. 336. » Lozynski.

ΒΙΒΛ. Β'. ΠΕΡΙ ΤΩΝ ΙΣΟΚΡΑΤΟΥΣ ΜΑΘΗΤΩΝ.

57. ΙΣΑΙΟΣ.

Harpocratio : Ἰσαῖος, εἷς μέν ἐστι τῶν ι' ῥητόρων οὗτος, μαθητὴς δὲ Ἰσοκράτους, διδάσκαλος δὲ Δημοσθένους, Ἀθηναῖος τὸ γένος, καθά φησιν Ἕρμιππος ἐν β' Περὶ τῶν Ἰσοκράτους μαθητῶν. Δημήτριος δ' ἐν τοῖς Περὶ ὁμωνύμων ποιητῶν Χαλκιδέα φησὶν αὐτὸν εἶναι. Verba ἐν β' Περὶ Ἰσοκράτους μαθ., ita intelligas : in secundo libro ejus operis quod est, de Isocrate ejusque discipulis. Liber primus erat de Isocrate; libri sequentes de ejus discipulis, quorum antiquissimus erat Isæus.

58.

Dionys. Halic. De Isæo c. 1 : Οὐδὲ γὰρ ὁ τοὺς μαθητὰς ἀναγράψας Ἕρμιππος, ἀκριβὴς ἐν τοῖς ἄλλοις γενόμενος, ὑπὲρ τοῦδε τοῦ ῥήτορος οὐδὲν εἴρηκεν, ἔξω δυοῖν τούτων, ὅτι διήκουσε μὲν Ἰσοκράτους, καθηγήσατο δὲ Δημοσθένους, συνεγένετο δὲ τοῖς ἀρίστοις τῶν φιλοσόφων.

59. ΔΗΜΟΣΘΕΝΗΣ.

Suidas v. Δημοσθένης : Δημοσθένης ... ἐπιμελὴς μᾶλλον ἢ εὐφυής, ὡς Ἕρμιππος ἱστορεῖ, καὶ τὰς ἡδονὰς ἀκόλαστος, ὡς καὶ τοῦτό φησιν ὁ αὐτός. Cf. Idomeneus fr. 13, tom. II, p. 492; Æschines De f. leg. p. 260.

60.

Plutarch. Demosth. c. 5 : Ἕρμιππος δέ φησιν ἀδεσπότοις ὑπομνήμασιν ἐντυχεῖν, ἐν οἷς ἐγέγραπτο, τὸν Δημοσθένη συνεσχολακέναι Πλάτωνι καὶ πλεῖστον εἰς τοὺς λόγους ὠφελῆσθαι, Κτησιβίου δὲ μέμνηται λέγοντος παρὰ Καλλίου τοῦ Συρακουσίου καί τινων ἄλλων τὰς Ἰσοκράτους τέχνας καὶ τὰς Ἀλκιδάμαντος κρύφα λαβόντα τὸν Δημοσθένη καταμαθεῖν. Cf. not. ad Polemon. fr. 9.

61.

Gellius N. A. III, 13 : *Hermippus hoc scriptum reliquit, Demosthenem admodum adolescentem ventitare in Academiam Platonemque audire solitum. Atque is, inquit, Demosthenes domo egressus, uti ei mos erat, quum ad Platonem pergeret com-*

LIB. I. DE ISOCRATE.

55.

Hermippus in iis quae de Isocrate scripsit ætate provectum Isocratem ait Lagiscam meretricem domum suam recepisse, ex eaque filiolam ei esse natam.

56.

Orationem ad Philippum Isocrates senex scripsit paullo ante suum ipsius et Philippi obitum, teste Hermippo.

LIB. II. DE ISOCRATIS DISCIPULIS.

57.

Isæus, unus ex decem oratoribus, discipulus Isocratis, magister Demosthenis, Atheniensis genere, uti Hermippus libro secundo De Isocratis discipulis.

58.

Nam qui discipulos Isocratis descripsit, Hermippus, diligens in aliis quum fuerit, de hoc oratore nihil dixit, præter hæc duo, audiisse Isocratem et docuisse Demosthenem, et familiariter usum præstantissimis philosophorum.

59.

Demosthenes diligens magis quam ingenio pollens, teste Hermippo, fuit, et circa voluptates intemperans, testante eodem.

60.

Hermippus scribit, incidisse se in auctoris incerti commentarios, in quibus scriptum sit Demosthenem Platonis fuisse auditorem, plurimumque inde ad eloquentiam adjumenti accepisse. Atque idem Ctesibium refert affirmare, Demosthenem artis præcepta, quibus Isocrates et Alcidamas utebantur, occulte a Callia Syracusano et aliis quibusdam accepisse atque perdidicisse.

pluresque populos concurrentes videret, percontatur ejus rei caussam, cognoscitque currere eos auditum Callistratum. Is Callistratus Athenis orator in re publica fuit; illi δημαγωγοὺς *appellant. Visum est paullum devertere experirique, an ad digna auditu tanto properatum studio foret. Venit, inquit, atque audit Callistratum nobilem illam* τὴν περὶ Ὠρωποῦ δίκην *dicentem : atque ita motus et demulctus et captus est, ut Callistratum jam inde sectari cœperit, Academiam cum Platone reliquerit.*

« Quæ Plutarchus Vit. Demosth. c. 5 narrat, tam sunt similia Gellianis, ut eum Hermippi Vitam Demosthenis hic ob oculos habuisse existimem. Cf. Hegesias Magnes [fr. 5] apud Pseudoplutarchum De X oratt. p. 844, B. » Lozynski.

62.

Plutarch. Demosth. c. 30 : Τὸ δὲ φάρμακον Ἀρίστων μὲν ἐκ τοῦ καλάμου λαβεῖν φησιν αὐτόν, ὡς εἴρηται· Πάππος δέ τις, οὗ τὴν ἱστορίαν Ἕρμιππος ἀνείληφε, φησί, πεσόντος αὐτοῦ παρὰ τὸν βωμόν, ἐν μὲν τῷ βιβλίῳ γεγραμμένην ἐπιστολῆς ἀρχὴν εὑρεθῆναι, « Δημοσθένης Ἀντιπάτρῳ, » καὶ μηδὲν ἄλλο. Θαυμαζομένης δὲ τῆς περὶ τὸν θάνατον ὀξύτητος, διηγεῖσθαι τοὺς παρὰ ταῖς θύραις Θρᾷκας, ὡς ἔκ τινος ῥακίου λαβὼν εἰς τὴν χεῖρα προσθοῖτο τῷ στόματι καὶ καταπίοι τὸ φάρμακον. Αὐτοὶ δ' ἄρα χρυσὸν ᾠήθησαν εἶναι τὸ καταπινόμενον, ἡ δ' ὑπηρετοῦσα παιδίσκη, πυνθανομένων τῶν περὶ Ἀρχίαν, φαίη πολὺν εἶναι χρόνον, ἐξ οὗ φοροίη τὸν ἀπόδεσμον ἐκεῖνον ὁ Δημοσθένης ὡς φυλακτήριον. « De Pappo, qui historicus videtur fuisse, nihil nisi nomen innotuit. » Lozynski.

63. ΑΙΣΙΩΝ.

Idem ib. c. 11 : Αἰσίωνα δέ φησιν Ἕρμιππος ἐρωτηθέντα περὶ τῶν πάλαι ῥητόρων καὶ τῶν καθ' αὑτὸν εἰπεῖν, ὡς ἀκούων μὲν ἄν τις ἐθαύμασεν ἐκείνους εὐκόσμως καὶ μεγαλοπρεπῶς τῷ δήμῳ διαλεγομένους, ἀναγινωσκόμενοι δ' οἱ Δημοσθένους λόγοι πολὺ τῇ κατασκευῇ καὶ δυνάμει διαφέρουσιν.

« Fuit Æsion condiscipulus Demosthenis, Atheniensis, teste Suida s. v. (... ᾧ συνεφιλολόγησε Δημοσθένης). Demosthenem ipsum de se et Callistrato eodem modo judicasse, tradit Ulpianus in Demosth. C. Timocr. p. 822. » Lozynski.

ΒΙΒΛ. Γ'. ΠΕΡΙ ΤΩΝ ΙΣΟΚΡΑΤΟΥΣ ΜΑΘΗΤΩΝ.

64. ΥΠΕΡΕΙΔΗΣ.

Athenæus VIII, p. 342, C : Καὶ ὁ Ἕρμιππος δέ φησιν ἐν τρίτῳ Περὶ τῶν Ἰσοκράτους μαθητῶν, ἑωθινὸν τὸν Ὑπερείδην ποιεῖσθαι νῦν τοὺς περιπάτους ἐν τοῖς Ἰχθύσιν.

65.

Plutarch. Vit. X orator. p. 849, C : Ἕρμιππος δέ φησιν αὐτὸν (τὸν Ὑπερείδην) γλωττοτομηθῆναι εἰς Μακεδονίαν ἐλθόντα καὶ ῥιφῆναι ἄταφον, Ἀλφίνουν δ' ἀνεψιὸν ὄντα αὐτῷ, ἤ, ὥς τινες, Γλαυκίππου τινὸς τὸν υἱὸν διὰ Φιλοπείθους τινὸς ἰατροῦ λαβόντα ἐξουσίαν τοῦ σώματος καῦσαι αὐτὸν καὶ τὰ ὀστᾶ κομίσαι εἰς Ἀθήνας τοῖς προσήκουσι, παρὰ τὰ Ἀθηναίων καὶ Μακεδόνων δόγματα. Οὐ μόνον γὰρ κελεῦσαι αὐτοὺς φυγεῖν, ἀλλὰ μηδ' ἐν τῇ οἰκείᾳ ταφῆναι.

66. ΕΥΘΙΑΣ.

Athenæus XIII, p. 590, D : Ἦν δὲ ἡ Φρύνη ἐκ Θεσπιέων. Κρινομένη δὲ ὑπὸ Εὐθίου τὴν ἐπὶ θανάτῳ ἀπέφυγε· διόπερ ὀργισθεὶς ὁ Εὐθίας οὐκ ἔτι εἶπε δίκην, ὥς φησιν Ἕρμιππος.

62.

Venenum Demosthenem ex calamo hausisse, ut diximus, Aristo narrat. Pappus autem quidam, cujus historiam Hermippus repetiit, tradit, eo apud aram collapso, in libello epistolæ scriptum initium inventum, « Demosthenes Antipatro »; neque præterea ullum verbum. Celeritatem vero mortis admirantibus, Thraces qui foribus astiterant narrasse, venenum eum ex quodam panniculo in manum sumpsisse, atque ita admotum ori deglutiisse; se putasse aurum esse id, quod deglutiret; ancillam vero, quæ ipsi ministrabat, interroganti Archiæ respondisse, multo jam tempore Demosthenem hoc alligatum vestimento amuleti loco circumtulisse.

63.

Æsionem refert Hermippus de suæ ætatis et antiquis oratoribus sententiam interrogatum, respondisse : admiraturum sane fuisse, qui hos audivisset, ita decore et magnifice ad populum loquentes, scriptas autem Demosthenis orationes longe plus apparatus habere atque virium.

LIB. III. DE ISOCRATIS DISCIPULIS.

64.

Hermippus in libro tertio De Isocratis discipulis ait, mane nunc Hyperidem scholas suas habere in foro piscario.

65.

Hermippus ait Hyperidem, quum in Macedoniam esset perlatus, lingua fuisse mutilatum, insepultumque abjectum : sed Alphinoum, consobrinum ejus, sive, ut alii, filium Glaucippi, opera Philopithis cujusdam medici, corpore oratoris potitum, id cremasse, ossaque Athenas ad cognatos pertulisse, contra et Atheniensium et Macedonum edicta : nam non exilium modo ei imperaverant, sed etiam vetabant ne in patria sepeliretur.

66.

Erat Phryne Thespiis oriunda : quæ quum ab Euthia capitis rea esset acta, absoluta a judicibus est; quare ita indignatus est Euthias, ut nullam post id tempus causam dixerit; quod tradit Hermippus.

67.

Harpocratio s. v. Εὐθίας· Ὑπερίδης ὑπὲρ Φρύνης. Τῶν ἐπὶ συκοφαντίᾳ διαβεβλημένων ἦν ὁ Εὐθίας. Τὸν μέντοι λόγον αὐτῷ τὸν κατὰ Φρύνης Ἀναξιμένην πεποιηκέναι αὐτῷ φησὶν Ἕρμιππος. Cf. Diodor. Perieg. fr. 5, tom. II, p. 354.

68. ΘΕΟΚΡΙΤΟΣ.

Athenæus I, p. 21, C: Ἕρμιππος δέ φησι, Θεόκριτον τὸν Χῖον ὡς ἀπαίδευτον μέμφεσθαι τὴν Ἀναξιμένους περιβολήν.

69. ΘΕΟΔΕΚΤΗΣ.

Athenæus X p. 451, E: Θεοδέκτην δὲ τὸν Φασηλίτην φησὶν Ἕρμιππος ἐν τοῖς Περὶ τῶν Ἰσοκράτους μαθητῶν ἱκανώτατον γεγονέναι ἀνευρεῖν τὸν προβληθέντα γρῖφον, καὶ αὐτὸν προβαλεῖν ἑτέροις ἐπιδεξίως· οἷον τὸν περὶ τῆς σκιᾶς. Ἔφη γὰρ εἶναί τινα φύσιν, ἣ περὶ τὴν γένεσιν καὶ φθίσιν ἐστὶ μεγίστη, περὶ δὲ τὴν ἀκμὴν ἐλαχίστη. Λέγει δ' οὕτως·

Τίς φύσις, οὔθ' ὅσα γαῖα φέρει τροφὸς, οὔθ' ὅσα πόντος,
οὔτε βροτοῖσιν ἔχει γυίων αὔξησιν ὁμοίαν.
Ἀλλ' ἐν μὲν γενέσει πρωτοσπόρῳ ἐστὶ μεγίστη,
ἐν δὲ μέσαις ἀκμαῖς μικρὰ, γήρᾳ δὲ πρὸς αὐτῷ
μορφῇ καὶ μεγέθει μείζων πάλιν ἐστὶν ἁπάντων.

Κἀν τῷ Οἰδίποδι δὲ τῇ τραγῳδίᾳ τὴν νύκτα καὶ τὴν ἡμέραν εἴρηκεν αἰνιττόμενος·

Εἰσὶ κασίγνηται διτταὶ, ὧν ἡ μία τίκτει
τὴν ἑτέραν, αὐτὴ δὲ τεκοῦσ' ὑπὸ τῆσδε τεκνοῦται.

70. ΛΑΚΡΙΤΟΣ. ΑΡΧΙΑΣ.

Plutarch. Dem. c. 58: Ἕρμιππος δὲ τὸν Ἀρχίαν ἐν τοῖς Λακρίτου τοῦ ῥήτορος μαθηταῖς ἀναγράφει. — Lacritus Isocratis disc. fuit. V. Demosthen. In Lacrit. p. 928, § 15, et plura ap. Westermann. Eloq. Gr. p. 100, n. 36.

71. ΑΙΣΧΙΝΗΣ.

Schol. ad Æschin. De fals. leg. init., de Æschine oratore, vide in Idomenei fr. 15. Fragmentum hoc fugit Lozynskium.

[HERMIPPUS BERYTIUS.]

ΠΕΡΙ ΤΩΝ ΕΝ ΠΑΙΔΕΙᾼ ΛΑΜΨΑΝΤΩΝ.

(72.)

Etym. M. p. 118, 11: Ἀπάμεια, πόλις Βιθυνίας, πρότερον Μυρλέα καλουμένη, ἣν λαβὼν δῶρα παρὰ Φιλίππου τοῦ Δημητρίου Προυσίας ὁ Ζηΐλα μετωνόμασεν Ἀπάμειαν ἀπὸ τῆς ἑαυτοῦ γυναικὸς Ἀπάμας. Ἕρμιππος ἐν τῷ Περὶ τῶν ἐν παιδείᾳ λαμψάντων λόγῳ. Οὕτως Ὦρος.

Προυσίας ὁ Ζηΐλου scripsit Sevin., *Mém. de l'Acad.*, tom. XV, p. 36; ὁ Ζηΐλα Προυσίας dedit Clinton. F. H. tom. III, p. 415. Libri corrupte præbent ὁ Ζηΐλας. De re, quæ pertinet ad an. 203 a. C, vide Strabo XII, p. 563 et quæ exponit Clinton. l. l. Quanam occasione Hermippus hæc protulerit, nescio. Post vocem λαμψάντων verbum excidisse videtur, quo certum genus virorum literis clarorum indicabatur. Ceterum tum hoc fragmentum tum sequentia duo ad Berytium Hermippum refero.

(73.)

ΠΕΡΙ ΤΩΝ ΔΙΑΠΡΕΨΑΝΤΩΝ ΕΝ ΠΑΙΔΕΙᾼ ΔΟΥΛΩΝ.

E LIBRO SECUNDO.

Suidas: Ἴστρος, Μενάνδρου [ἢ add. Siebelis.] Ἴστρου, Κυρηναῖος ἢ Μακεδὼν, συγγραφεὺς, Καλλιμάχου

67.

Euthiæ orationem contra Phrynen ab Anaximene ei scriptam esse refert Hermippus.

68.

Hermippus scribit a Theocrito Chio, ut illiberalem, reprehensum fuisse Anaximenis vestitum.

69.

Theodectem Phaselitam ait Hermippus in libris de Isocratis discipulis, ad inveniendam solutionem propositorum griphorum fuisse solertissimum; atque ipsum etiam aliis griphos ingeniose proposuisse: velut illum de *umbra*. Dicebat enim, esse naturam quandam, quæ circa ortum suum interitumque sit maxima; tempore vero summi vigoris, minima. Verba illius hæc sunt:

In rerum natura, quotquot terra nutrix fert,
quotquot mare, atque adeo nec inter homines aliquid est,
quod membrorum habeat incrementum simile huic.
Ortus namque principio maxima ea res est;
medio vigore parva; senectute autem in ipsa,
magnitudine ac specie maxima rursus.

Idem, in Œdipode tragœdia, *diem et noctem* talis ænigmatis involucro significavit:

Sorores geminæ, gignit quarum altera semper
alteram, et inde parens fit filia nata vicissim.

70.

Hermippus Archiam inter Lacriti discipulos recenset.

DE VIRIS ERUDITIONE CLARIS.

(72.)

Apamea, urbs Bithyniæ, prius Myrlea dicta, quam quum donum a Philippo, Demetrii filio, accepisset Prusias (1) Zeilæ filius, mutato nomine Apameam nuncupavit de Apama uxore, teste Hermippo in opere De viris qui eruditione inclaruerunt. Ita Orus.

(73.)

DE SERVIS ERUDITIONE CLARIS.

Ister, Menandri (aut) Istri filius, Cyrenæus aut Macedon, historicus, Callimachi servus et discipulus. Hermippus eum Paphium dicit libro secundo De servis eruditione claris.

δοῦλος καὶ γνώριμος. Ἕρμιππος δὲ αὐτόν φησι Πάφιον ἐν τῷ δευτέρῳ τῶν Διαπρεψάντων ἐν παιδείᾳ δούλων.

Callimachio Hermippo hæc tribuit Lozynski. Rectius Küsterus, suffragante Prellero, Hermippum qui de servis eruditione claris scripsit, non Callimachi discipulum, sed Berytium, Hadriani æqualem, qui ipse servus fuerat, intelligendum esse censet. Etenim ap. Suidam v. Ἅβρων leguntur hæc : Ἅβρων, Φρὺξ ἢ Ῥόδιος, γραμματικός, μαθητὴς Τρύφωνος, σοφιστεύσας ἐν Ῥώμῃ, γεγονὼς δ' ἐκ δούλων, ὥς φησιν Ἕρμιππος. Quæ quum H. Callimachii esse nequeant, aptissime tribuuntur servo Berytio; eundemque auctorem etiam sub voce Ἴστρος Suidas intellexerit. Ex eodem fonte fluxerit quæ de Cæcilio rhetore e servis nato leguntur ap. Suidam v. Καικίλιος.

ΠΕΡΙ ΕΝΔΟΞΩΝ ΙΑΤΡΩΝ.

E LIBRO QUINTO.

(73 a.)

Schol. Oribasii in Maji Class. auct. IV, p. 11 : Οἱ περὶ Διονύσιον τὸν κυρτόν] Ὁ Φίλων ἐν τῷ θ' Περὶ βιβλιοθήκης κτήσεως (κτίσεως lib.) καὶ Ἕρμιππος ἐν τῷ ε' Περὶ ἐνδόξων ἀνδρῶν ἰατρῶν καὶ ὁ Σωρανὸς ἐν ταῖς τῶν Ἰατρῶν διαδοχαῖς ὅτι καὶ ὀξυτόνως λέγεται κυρτός ὡς φοξός διὰ σωματικὴν ἀσθένειαν, βαρυτόνως δὲ ὡς ἵππος πύργος, ἐπεὶ ἐκ μεσογείου πόλεως τῆς Αἰγύπτου λεγομένης Κύρτου ὑπῆρχεν, ἢ ὥς φασί τινες, διὰ τὸ ἁλίσκεσθαι τοὺς ἀντιλέγοντας ὑπ' αὐτοῦ ὥσπερ τοὺς ἰχθῦς ὑπὸ τῶν ἁλιευτικῶν κύρτων.

Cf. Stephan. Byz. : Κύρτος, πόλις Αἰγύπτου ἐν τῇ μεσογείῳ. Ἐκ ταύτης Διονύσιος ἦν διάσημος ἰατρὸς ἀπὸ τῆς πατρίδος, οὐκ ἀπὸ τοῦ σώματος Κυρτὸς ὀνομαζόμενος, οὗ μέμνηται Ἑρέννιος Φίλων ἐν τῷ Περὶ ἰατρικῶν. Ὁ τόνος τοῦ μὲν ἐθνικοῦ ὀξὺς ὁμόφωνος τῷ πάθει, τοῦ δὲ κυρίου τῆς πόλεως βαρὺς, ὡς τὸ Πόντος καὶ κόντος. Uterque locus ex eodem fonte fluxisse videtur. Titulus Περὶ ἰατρικῶν apud Stephanum indicat libri noni Περὶ βιβλιοθήκης κτήσεως eam partem in qua de medicis eorumque operibus sermo erat.

Sequuntur fragmenta quæ num ad Callimachium Hermippum, an ad alium quendam Hermippum, sive etiam ad complures ejus nominis scriptores pertineant, affirmare non licet.

(73 b.)

Vit. Euripidis in Βιογρ. Westermanni, p. 138 : Λέγει δὲ καὶ Ἕρμιππος Διονύσιον τὸν Σικελίας τύραννον μετὰ τὴν τελευτὴν τοῦ Εὐριπίδου τάλαντον τοῖς κληρονόμοις αὐτοῦ πέμψαντα λαβεῖν τὸ ψαλτήριον καὶ τὴν δέλτον καὶ τὸ γραφεῖον, ἅπερ ἰδόντα κελεῦσαι τοὺς φέροντας ἐν τῷ Μουσῶν ἱερῷ ἀναθεῖναι, ἐπιγράψαντα τοῖς αὐτοῦ Εὐριπίδου ὀνόμασιν. Διὸ καὶ ξενοφιλώτατον κεκλῆσθαί φησι διὰ τὸ μάλιστα ὑπὸ ξένων φιλεῖσθαι· ὑπὸ γὰρ Ἀθηναίων ἐφθονεῖτο. Cf. similem narrationem de Æschyli pugillaribus a Dionysio emptis apud Lucian. Adv. indoct. c. 15, quam ex Eubuli comœdia derivatam esse suspicatur Meinekius Histor. critica com. p. 362. Ceterum hoc fragmentum fugit Lozynskium. Quæritur denique num statuendum sit Hermippum Callimachium uti philosophorum rhetorumque, sic etiam poetarum vitas scripsisse, an locus noster ex peculiari Hermippi nescio cujusnam opere Vitam Euripidis et in fabulas commentarios continente petitus sit.

74.

ΠΕΡΙ ΙΠΠΩΝΑΚΤΟΣ.

Athenæus VII, p. 327, C : Ἕρμιππος δ' ὁ Σμυρναῖος ἐν τοῖς Περὶ Ἱππώνακτος ὕκην ἀκούει τὴν ἰουλίδα· εἶναι δ' αὐτὴν δυσθήρατον· διὸ καὶ Φιλητᾶν φάναι· « Οὐδ' ὕκης ἰχθὺς ἔσχατος ἐξέφυγε. » Cf. Ælian. N. A. II, 44, ibiq. interpr. Smyrnæum Hermippum a Callimachio non diversum esse censet Lozynskius.

75.

ΣΥΝΑΓΩΓΗ ΤΩΝ ΚΑΛΩΣ ΑΝΑΦΩΝΗΘΕΝΤΩΝ ΕΞ ΟΜΗΡΟΥ.

Stobæus Floril. V, 59 : Ἐκ τῆς Ἑρμίππου Συνα-

DE CLARIS MEDICIS.

(73 a.)

Philo libro nono De comparanda bibliotheca et Hermippus libro quinto De claris medicis et Soranus in Medicorum successionibus dicunt Dionysium vocari tum κυρτόν (*gibbosum*), oxytone ut φοξός, propter corporis imbecillitatem, tum Κύρτον, paroxytone, ut ἵππος πύργος, quod ex Cyrto Ægypti interioris urbe oriundus fuit, vel, ut nonnulli tradunt, quod adversarios suos disputando ceperit, sicuti pisces κύρτοις, *nassis*, capiuntur.

(73 b.)

Hermippus quoque narrat Dionysium Siciliæ tyrannum, post obitum Euripidis, ab heredibus ejus talento emisse psalterium poetæ et pugillares stilumque. Quæ, quum allata conspexisset, jussisse eum in Musarum templo dedicari, inscripto nomine Euripidis. Quapropter etiam Euripidem appellari ait poetam peregrinis dilectissimum.

74.

DE HIPPONACTE.

Hermippus Smyrnæus in libris De Hipponacte *hycam* intelligit iulidem, esse autem piscem venatu difficilem, itaque Philetam dixisse :

Nec hycas piscis postremus effugit.

γωγῆς τῶν καλῶς ἀναφωνηθέντων ἐξ Ὁμήρου. « Δημήτριος ὁ Φαληρεὺς εἰς σωφροσύνην ἔλεγε ταῦτα ποιεῖν·

ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο. »

Ipsa hujus scripti indoles seriorum hominum industriam magis quam Callimachi ævum prodere videtur. Versus citatus legitur in Odyss. 23, 296.

E SCRIPTIS INCERTIS.

76.

Ælianus N. A. VII, 40 : Πέπυσμαι δὲ καὶ Αἰθιόπων εἶναι ἔθνος, ἐν ᾧ βασιλεύει κύων, καὶ τῇ ἐκείνου ὁρμῇ πείθονται· κνυζωμένου τε ἴσασιν, ὅτι μὴ θυμοῦται, καὶ ὑλακτοῦντος τὴν ὀργὴν συνιᾶσιν. Τοῦτο εἴ τῳ ἱκανὸς Ἕρμιππος τεκμηριῶσαι, μάρτυρά οἱ τοῦ λόγου ἐπαγόμενος Ἀριστοκρέωνα πειθέτω· ἐμὲ δὲ μὴ λαθὸν εἶτα ἐν καλῷ τῆς μνήμης ἀφίκετο.

Hæc ex opere Περὶ θαυμασίων, quod Hermippus Callimachum magistrum imitatus composuerit, esse censet Lozynski. Jacobsius ad Æl. fragmentum desumptum suspicatur ex opere Περὶ τῶν νομοθετῶν, ubi historiæ de cane regis locum tenente afferri potuerit. Quod longius petitum. Quum sequente fragm. Hermippus de Nilo fluvio laudetur, nescio an Hermippus librum geographicum de Ægypti et Æthiopiæ regionibus scripserit, sicuti Aristocreon (quod nomen reposuit Schneider. pro vulg. Ἀριστοκλέωνα), quem novimus ex Plinii H. N. V, 10, p. 316 ed. Tchn. et VI, 35, p. 388 et 390, ubi præter ea, quæ disertis verbis tamquam ex Aristocreonte petita Plinius affert, etiam quæ deinceps ponit : *Ptoemphanæ, qui canem pro rege habent, motu ejus imperia augurantes*, ex eodem fonte deprompta fuerint. — Ceterum ex Plinio VI, c. 35, p. 388, patet Aristocreontem juniorem fuisse Dalione, qui primus ultra Meroen longe subvectus est; Dalionem autem vixisse post Timosthenem, classium Philadelphi præfectum. Hinc colligas Aristocreontem Hermippo Callimachio antiquiorem esse vix potuisse, sed vel æqualem vel etiam juniorem fuisse. Quæ vero schol. Apoll. ex Hermippo affert de Nilo Cyclopis f., Tantali nepote, senioris ævi commentum redolent, quod Callimachi discipulo vindicare absque testimonii auctoritate nolueris. Quare Hermippum Æliani et schol. Apoll. a Vitarum scriptore distinguendum esse censeo. Idemque ab Hermippo Berytio diversus fuerit, propterea quod ap. schol. Apoll. laudatur. — De re ap. Ælian. memorata cf. Plutarch. Mor. p. 1064, B.

77.

Schol. Apoll. Rh. IV, 269 : Ὁ δὲ Νεῖλος οὕτω τοπρότερον ἐκαλεῖτο, Τρίτων· μετωνομάσθη δὲ ἀπὸ Νείλου τοῦ Κύκλωπος, τοῦ Ταντάλου, βασιλεύσαντος τῆς χώρας, ὡς Ἕρμιππός φησιν.

His subjungere liceat pauca illa quæ ex Hermippi libris Περὶ μάγων afferuntur. Non esse a Callimachi discipulo hoc opus profectum statuit Prellerus; recte fortassis; verum Hermippum hunc τὸν ἀστρολογικὸν, quem dicit apud Athenæum Nicomachus (v. fr. 81), eundem esse cum Hermippo Berytio, uti Prellero videtur, temporum rationes (v. introduct. not. 1) non admittunt. Nam Berytium laudare non potuit Plinius.

ΠΕΡΙ ΜΑΓΩΝ.

78.

E LIBRO PRIMO.

Diogen. L. I, 8 : Ἀριστοτέλης δ' ἐν πρώτῳ Περὶ φιλοσοφίας καὶ πρεσβυτέρους εἶναι (τοὺς μάγους) τῶν Αἰγυπτίων· καὶ δύο κατ' αὐτοὺς εἶναι ἀρχὰς, ἀγαθὸν δαίμονα καὶ κακὸν δαίμονα· καὶ τῷ μὲν ὄνομα εἶναι Ζεὺς καὶ Ὠρομάσδης, τῷ δὲ Ἅδης καὶ Ἀρειμάνιος. Φησὶ δὲ τοῦτο καὶ Ἕρμιππος ἐν τῷ πρώτῳ Περὶ μάγων καὶ Εὔδοξος ἐν τῇ Περιόδῳ καὶ Θεόπομπος ἐν τῇ ὀγδόῃ τῶν Φιλιππικῶν.

79.

Plinius Hist. Nat. lib. XXX, c. 2. : *Hermippus, qui de tota ea arte* (sc. magorum) *diligentissime scripsit, et vicies centum millia versuum a Zoroa-*

75.

EGREGIE DICTA EX HOMERO COLLECTA.

Ex Hermippi collectione egregie dictorum apud Homerum. « Demetrius Phalereus Homerum ad temperantiam commendandam hunc fecisse versum :

lubentes lecti antiqui ritibus accesserunt. »

76.

Nationem Æthiopum esse audivi, quæ canem habet regem et illius arbitrio paret; si suo quodam modo gannit vel murmurat, eum non iratum esse norunt; si latrat, iram agnoscunt. Hoc, si cui testimonio sufficiens videatur Hermippus, testem sibi narrationis adducens Aristocreontem, credat; mihi vero non latens pulchre in memoriam venit.

77.

Nilus olim Triton appellabatur; postea Nili nomen accepit a Nilo Cyclopis filio, Tantali nepote, qui regioni huic imperavit, teste Hermippo.

DE MAGIS.

78.

Ægyptiis antiquiores esse magos Aristoteles auctor est in primo De philosophia libro, duoque secundum illos esse principia, bonum dæmonem et malum; alterum ex his Jovem et Oromasdem, alterum Plutonem et Arimanium dici. Quod Hermippus quoque in primo De magis et Eudoxus in Periodo et Theopompus Philippicorum libro octavo.

stre condita, indicibus quoque voluminum ejus positis, explanavit, præceptorem, a quo institutum diceret, tradidit Azonacem, ipsum vero quinque millibus annorum ante Trojanum bellum fuisse.

80.

Arnob. I, 52 : *Age nunc veniat quis super igneam zonam, magus interiore ab orbe Zoroastres, Hermippo ut assentiamur auctori. Bactrianus et ille veniat, cujus Ctesias* (fr. p. 19) *res gestas Historiarum exponit in primo; Armenius Hosthanis nepos et familiaris Pamphylus Cyri.*

81.

Athen. XI, p. 478, A : Νικόμαχος δ' ἐν πρώτῳ Περὶ ἑορτῶν Αἰγυπτίων φησί· « Τὸ δὲ κόνδυ ἐστὶ μὲν Περσικόν, τὴν δὲ ἀρχὴν * ἣν Ἕρμιππος [ὁ] ἀστρολογικὸς ὡς ὁ κόσμος ἐξ οὗ τῶν θεῶν τὰ θαύματα καὶ τὰ καρπώσιμα γίνεσθαι ἐπὶ γῆς· διὸ ἐκ τούτου σπένδεσθαι. »

Locus corruptus. Τὴν δὲ μορφὴν εἶχε, ὥς φησιν Ἕρμ. conj. Pursanus. Περσικὸν τὴν ἀρχήν· εἶδος δ' ἔχει, ὥς φησιν Ἕ. Casaubonus. Cf. not. ad Manethon. fr. 82.

ΦΑΙΝΟΜΕΝΑ.

82.

Τὰ Φαινόμενα Hermippo τῷ ἀστρολογικῷ, qui Περὶ μάγων scripsit, vindicanda sunt. Loci veterum qui huc pertinent paucis indicasse habeo satis. Vit. Arat. p. 55 in Βιογρ. Westerm : Καὶ γὰρ Εὔδοξος ὁ Κνίδιος ἔγραψε Φαινόμενα καὶ Λᾶσος ὁ Μάγνης, ... καὶ Ἕρμιππος καὶ Ἡγησιάναξ καὶ Ἀριστοφάνης ὁ Βυζάντιος, καὶ ἄλλοι πολλοί, ὧν καὶ Πτολεμαῖος μέμνηται ὁ βασιλεὺς Ἰδιοφυέσιν οὕτως·

Πάνθ' Ἡγησιάναξ τε καὶ Ἕρμιππος τὰ κατ' αἴθρην
τείρεα καὶ πολλοὶ ταῦτα τὰ φαινόμενα
βίβλοις ἐγκατέθεντο, ἀποσκόπιοι δ' ἀφάμαρτον·
ἀλλὰ τὸ λεπτολόγου σκῆπτρον Ἄρατος ἔχει.

Epigramma hoc Jacobsius (Anthol. tom. XIII, p. 944) ad Ptolemæum Evergeten II refert. Buttmannus autem (in Mus. Antiq. tom. II, p. 463 sqq.) Claudio Ptolemæo, astronomo, qui medii ævi scriptoribus *Regis* nomine interdum ornatus sit, vindicat. Hoc longius petitum, neque cum medii ævi scriptore nunc nobis res est. Equidem puto Ptolemæum illum, Ἰδιοφυῶν auctorem, esse regem Philopatorem, cui Archelaus poeta sua Ἰδιοφυῆ (quæ memorantur apud Athen. IX, p. 409, C) dedicassit, siquidem recte statuo Ἰδιοφυῆ hæc non diversa esse ab epigrammatis quæ de rebus mirabilibus Archelaus ad Ptolemæum scripsit (v. not. ad fr. Philostephani p. 28). Quod si est, Hermippus a Ptolemæo laudatus Nostro Callimachio nequit esse junior; quin idem cum Callimachio fuerit nihil adeo obstat, ut nunc quidem mihi videtur. Cf. etiam Droysenius *Hellenism.* tom. II, p. 49 not. — Exstat præterea (in Petavii Doctr. tempp. III, p. 147) Catalogus τῶν περὶ τοῦ ποιητοῦ (sc. Ἀράτου) συνταξαμένων, qui Hipparcho vel Eratostheni tribuitur. Recensentur in eo tamquam Arati commentatores : Parmenides, Eratosthenes, *Hermippus*, Zeno, Thales, *Hermippus peripateticus*, Callimachus, alii. Auctoritas miselli hujus testimonii plane nulla est. Umbraticus quidam ex scholiis suis ad Aratum auctores ibi allegatos enotasse et tamquam commentatores poetæ composuisse videtur, monente Prellero. Duplicem Hermippi mentionem ita explicat Prellerus, ut initio nonnisi *Hermippi* nomen, uti in schol. ad Arat. laudatur, annotatum fuisse statuat, huic deinde alium quendam adscripsisse *Hermippum peripateticum*, cujus mentionem apud Hieronymum vel alibi reperisset. — Ex Phænomenis petita sunt quæ leguntur apud Hygin. Poet. astron. II, 20, et II, 4 (ubi : *Hermippus qui De sideribus scripsit*); schol. Arat. v. 315 et 436, ubi hæc : Αὐτὸν μὲν οὖν (Centaurum) Ἕρμιππος Χείρωνά φησιν... εἶναι... Αὐτὸς δὲ ὁ Χείρων ὁ ἐν τῷ σπηλείῳ κατοικῶν, δικαιοσύνῃ πάντας ἀνθρώπους ὑπερβάλλων καὶ παιδεύσας Ἀσκληπιόν, τὸν υἱὸν Ἀπόλλωνος, καὶ Ἀχιλλέα τὴν ἰατρικήν, καὶ Ἰάσονα, κατηστερίσθη πρὸς τιμήν. Quem locum Prellerus componit cum iis, quæ ex Hermippo Berytio refert Clemens Alex. Strom. I, p. 132, 11 Sylb. : Ὁ δὲ Βηρύτιος Ἕρμιππος Χείρωνα τὸν Κένταυρον σοφὸν καλεῖ, indeque colligit ipsum hunc Berytium Hermippum auctorem esse τῶν Φαινομένων. At consensus ille in re omnium tritissima nihil probat.

81.

Nicomachus libro primo De festis Ægyptiorum ait : « Condy, vas est Persicum; (formam habet), ut Hermippus astrologus ait, quam mundus, ex quo deorum miracula in terra fiunt. Quare ex eo libationes fundere solent.

CALLIXENUS RHODIUS

ET

PTOLEMÆUS MEGALOPOLITANUS.

Callixenum Rhodium scripsisse sub Ptolemæo Philopatore (222—206), sed virum jam fuisse sub regno Philadelphi (285—247), ex duobus quæ supersunt fragmentis (1 et 2) luculentissimis colligimus; nam quæ fragmento 2 describitur pompa Ptolemæi Philadelphi, ita nobis pingitur ut non potuerit eam auctor suis non vidisse oculis. Condidit Alexandriæ Periegesin libris minimum quattuor; quæ nitidissimam et accuratissimam monumentorum urbis et divitiarum imaginem exhibuisse videtur. Ex alio ejusdem scriptoris opere De pictoribus et statuariis nihil tulit ætatem. Cf. Preller. ad Polemon. p. 179.

ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

E LIBRO PRIMO.

1.

Athenæus V, c. 36, p. 203, C: Πολλῶν δ' ὁ Φιλάδελφος βασιλέων πλούτῳ διέφερε, καὶ περὶ πάντα ἐσπουδάκει τὰ κατασκευάσματα φιλοτίμως, ὥστε καὶ πλοίων πλήθει πάντας ὑπερέβαλλε. Τὰ γοῦν μέγιστα τῶν πλοίων ἦν παρ' αὐτῷ τριακοντήρεις δύο, εἰκοσήρης μία, τέσσαρες τρισκαιδεκήρεις, δωδεκήρεις δύο, ἑνδεκήρεις τεσσαρεσκαίδεκα, ἐννήρεις τριάκοντα, ἑπτήρεις τριάκοντα ἑπτὰ, ἑξήρεις πέντε, πεντήρεις ἑπτακαίδεκα· τὰ δ' ἀπὸ τετρήρους μέχρι τριηρημιολίας διπλάσια τούτων. Τὰ δ' εἰς τὰς νήσους πεμπόμενα καὶ τὰς ἄλλας πόλεις, ὧν ἦρχε, καὶ τὴν Λιβύην πλείονα ἦν τῶν τετρακισχιλίων. Περὶ δὲ βιβλίων πλήθους καὶ βιβλιοθηκῶν κατασκευῆς καὶ τῆς εἰς τὸ Μουσεῖον συναγωγῆς, τί δεῖ καὶ λέγειν, πᾶσι τούτων ὄντων κατὰ μνήμην;

37. Ἐπεὶ δὲ περὶ νεῶν κατασκευῆς εἰρήκαμεν, φέρ' εἴπωμεν (ἀκοῆς γάρ ἐστιν ἄξια) καὶ τὰ ὑπὸ τοῦ Φιλοπάτορος βασιλέως κατεσκευασμένα σκάφη. Περὶ ὧν ὁ αὐτὸς Καλλίξενος ἱστορεῖ ἐν τῷ πρώτῳ Περὶ Ἀλεξανδρείας, οὑτωσὶ λέγων· « Τὴν τεσσαρακοντήρη ναῦν κατεσκεύασεν ὁ Φιλοπάτωρ, τὸ μῆκος ἔχουσαν διακοσίων ὀγδοήκοντα πηχῶν, ὀκτὼ δὲ καὶ τριάκοντα ἀπὸ παρόδου ἐπὶ πάροδον, ὕψος δὲ ἕως ἀκροστολίου τεσσαράκοντα ὀκτὼ πηχῶν. Ἀπὸ δὲ τῶν πρυμνητικῶν ἀφλάστων ἐπὶ τὸ πρὸς τῇ θαλάσσῃ μέρος αὐτῆς τρεῖς πρὸς τοῖς πεντήκοντα πήχεις. Πηδάλια δ' εἶχε τέτταρα τριακονταπήχη, κώπας δὲ θρανιτικὰς, ὀκτὼ καὶ τριάκοντα πηχῶν τὰς μεγίστας, αἳ, διὰ τὸ μόλυβδον ἔχειν ἐν τοῖς ἐγχειριδίοις, καὶ γεγονέναι λίαν εἴσω βαρεῖαι κατὰ τὴν ζύγωσιν, εὐήρεις ὑπῆρχον ἐπὶ τῆς χρείας. Δίπρῳρος δ' ἐγεγόνει καὶ δίπρυμνος, καὶ ἔμβολα εἶχεν ἑπτά· τούτων ἓν μὲν ἡγούμενον, τὰ δ' ὑποστέλλοντα· τινὰ δὲ κατὰ τὰς ἐπωτίδας. Ὑποζώματα δὲ ἐλάμβανε δώδεκα· ἑξακοσίων δ' ἦν ἕκαστον πηχῶν. Εὔρυθμος δ' ἦν καθ' ὑπερβολήν· θαυμαστὸς δ' ἦν καὶ ὁ ἄλλος

DE ALEXANDRIA.

1.

Multos reges Philadelphus divitiis antecelluit; idemque singulari studio omnia artis opera prosecutus est, ut etiam navium magnitudine omnes superarit. Igitur maximæ apud eum naves erant, triginta ordinum, duæ; viginti ordinum, una; quattuor, ordinum tredecim; duæ, duodecim ordinum; quattuordecim, ordinum undecim; hepteres, triginta septem; hexeres, quinque; quinqueremes, septemdecim. A quadriremi vero usque ad hemiolia numerus duplo istis major erat. Quæ vero in insulas emittebantur, et in alias quibus imperavit civitates, et in Africam, super quattuor millia erant. De librorum autem multitudine et de Bibliothecæ apparatu, et de conventu in Museo, quid opus est verba facere, quum in hominum memoria hæc omnia versentur?

Sed quoniam de Navium constructione diximus, age dicamus etiam (nam scitu digna res est) de navigiis a Philopatore rege constructis. De quibus idem Callixenus primo De Alexandria libro, his verbis exposuit : « Quadraginta ordinum navem construxit Philopator, longitudinem habentem cubitorum ducentorum et octoginta, octo vero et triginta ab uno latere ad alterum. Altitudo autem, usque ad proræ summitatem, cubitorum erat quadraginta octo : ab aplustri vero in puppi usque ad partem quæ mare attingit, cubiti erant quinquaginta. Gubernacula habebat quattuor, cubitorum triginta : remos superioris ordinis [centum et] triginta octo cubitorum maximos; qui, quod plumbum haberent in manubriis et admodum graves essent, intra navem secundum leges æquilibrii, tractatu faciles erant in ipso usu. Habebat autem duas proras, duasque puppes : rostra vero septem, quorum unum longius, reliqua gradatim breviora; nonnulla etiam ex auriculis navis eminebant. Hypozomata [*quasi* subligacula *diceres*] habebat duodecim; quorum quodque erat sexcentorum cubitorum. Erat autem mira totius structuræ concinnitas, aptaque dimensionis proportio : et admirabilis reliquus navis ornatus. Habebat enim quum in puppi, tum in prora, figuras haud minores duodecim cubitis : et quilibet ejus

κόσμος τῆς νεώς. Ζῷα μὲν γὰρ εἶχεν οὐκ ἐλάττω δώδεκα πηχῶν κατὰ πρύμναν τε καὶ πρῷραν, καὶ πᾶς τόπος αὐτῆς κηρογραφίᾳ κατεπεποίκιλτο, τὸ δ' ἔγκωπον ἅπαν μέχρι τῆς τρόπεως κισσίνην φυλλάδα καὶ θύρσους εἶχε πέριξ. Πολὺς δ' ἦν καὶ ὁ τῶν ὅπλων κόσμος. Ἀνεπλήρου δὲ τὰ προσδεόμενα τῆς νεὼς μέρη. Γενομένης δὲ ἀναπείρας ἐδέξατο ἐρέτας πλείους τῶν τετρακισχιλίων, εἰς δὲ τὰς ὑπηρεσίας τετρακοσίους· εἰς δὲ τὸ κατάστρωμα ἐπιβάτας τρισχιλίους, ἀποδέοντας ἑκατὸν καὶ πεντήκοντα· καὶ χωρὶς ὑπὸ τὰ ζύγια πλῆθος ἀνθρώπων ἕτερον, ἐπισιτισμούς τε οὐκ ὀλίγον. Καθειλκύσθη δὲ τὴν μὲν ἀρχὴν ἀπὸ ἐσχαρίου τινὸς, ὅ φασι παγῆναι πεντήκοντα πλοίων πεντηρικῶν ξυλείᾳ, ὑπὸ δὲ ὄχλου μετὰ βοῆς καὶ σαλπίγγων κατήγετο. Ὕστερον δὲ τῶν ἀπὸ Φοινίκης τις ἐπενόησε τὴν καθολκὴν, τάφρον ὑποστησάμενος, ἴσην τῇ νηὶ κατὰ μῆκος, ἣν πλησίον τοῦ λιμένος ὤρυξε. Ταύτῃ δὲ τοὺς θεμελίους κατῳκοδόμησε λίθῳ στερεῷ πρὸς πέντε πήχεις τὸ βάθος, καὶ διὰ τούτων φάλαγγας ἐπικαρσίας κατὰ πλάτος τῆς τάφρου διώσας συνεχεῖς, τετράπηχυν εἰς βάθος τόπον ἀπολιπούσας. Καὶ ποιήσας εἴσρουν ἀπὸ τῆς θαλάσσης ἐνέπλησεν αὐτῆς πάντα τὸν ὀρυχθέντα τόπον, εἰς ὃν ῥᾳδίως ἀπὸ τῶν τυχόντων ἀνδρῶν εἰσήγαγε τὴν ναῦν· *** τὸ ἀνοιχθὲν κατ' ἀρχὰς ἐμφράξαντας μετεξαντλῆσαι πάλιν τὴν θάλασσαν ὀργάνοις· τούτου δὲ γενομένου ἑδρασθῆναι τὸ πλοῖον ἀσφαλῶς ἐπὶ τῶν προειρημένων φαλάγγων.

« Κατεσκεύασε δ' ὁ Φιλοπάτωρ καὶ ποτάμιον πλοῖον, τὴν θαλαμηγὸν καλουμένην, τὸ μῆκος ἔχουσαν ἡμισταδίου, τὸ δ' εὖρος, ᾗ πλατύτατον, τριάκοντα πηχῶν· τὸ δὲ ὕψος σὺν τῷ τῆς σκηνῆς ἀναστήματι μικρὸν ἀπέδει τεσσαράκοντα πηχῶν. Τὸ δὲ σχῆμ' αὐτῆς οὔτε ταῖς μακραῖς ναυσὶν οὔτε ταῖς στρογγύλαις ἐοικὸς, ἀλλὰ παρηλλαγμένον τε καὶ πρὸς τὴν χρείαν τοῦ ποταμοῦ τὸ βάθος. Κάτωθεν μὲν γὰρ ἁλιτενὴς καὶ πλατεῖα, τῷ δ' ὄγκῳ μετέωρος· τὰ δ' ἐπὶ τῶν ἄκρων αὐτῆς μέρη, καὶ μάλιστα τὰ κατὰ πρῷραν, παρέτεινεν ἐφ' ἱκανὸν, τῆς ἀνακλάσεως εὐγράμμου φαινομένης. Δίπρῳρος δ' ἐγεγόνει καὶ δίπρυμνος, καὶ πρὸς ὕψος ἀνέτεινε, διὰ τὸ μετέωρον ἄγαν ἵστασθαι πολλάκις ἐν τῷ ποταμῷ τὸ κῦμα. Κατεσκεύαστο δ' αὐτῆς κατὰ μὲν μέσον τὸ κύτος τὰ συμπόσια, καὶ οἱ κοινῶνες, καὶ τὰ λοιπὰ τὰ πρὸς τὴν διαγωγὴν χρηστήρια. Πέριξ δὲ τῆς νεὼς περίπατοι κατὰ τὰς τρεῖς πλευρὰς ἐγεγόνεσαν διπλοῖ. Ὧν ἡ μὲν περίμετρος ἦν πέντε πλέθρων οὐκ ἐλάττων, ἡ δὲ διάθεσις τοῦ μὲν καταγείου περιστύλῳ παραπλήσιος, τοῦ δ' ὑπερῴου κρύπτῃ φραγμοῖς καὶ θυρίσι περιεχομένη πάντοθεν. Πρώτη δ' εἰσιόντι κατὰ πρύμναν ἐτέτακτο προστὰς, ἐξ ἐναντίου μὲν ἀναπεπταμένη, κύκλῳ δὲ περίπτερος· ἧς ἐν τῷ καταντικρὺ τῆς πρῴρας μέρει προπύλαιον κατεσκεύαστο, δι' ἐλέφαντος καὶ τῆς πολυτελεστάτης ὕλης γεγονός. Τοῦτο δὲ διελθοῦσιν ὡσανεὶ προσκήνιον ἐπεποίητο τῇ διαθέσει, κατάστεγον ἄνω. Πάλιν ὁμοίως κατὰ μὲν τὴν μέσην πλευρὰν προστὰς ἑτέρα παρέκειτο ὄπισθεν, καὶ τετράθυρος ἔφερεν εἰς αὐτὴν πυλών. Ἐξ ἀριστερῶν δὲ καὶ δεξιῶν θυρίδες ὑπέκειντο, εὐάειαν παρέχουσαι. Συνῆπτο δὲ τούτοις

locus cerea pictura variegatus erat : spatium vero totum inter remos interceptum, usque ad carinam, hederacea fronde thyrsisque erat ornatum. Armamentorumque etiam omnium mirus erat ornatus : et cunctæ navis partes abunde rebus omnibus necessariis instructæ. Quum periculum navigii fieret, impositi ei erant remiges super quater mille; ad ministeria vero nautica homines quadringenti; classiarii milites in ponte stantes ter mille, detractis centum et quinquaginta; insuper sub transtris, in medio navis corpore, alia hominum multitudo; et commeatuum copia haud exigua. Deducta autem navis primum fuerat ope craticulæ, quæ compacta dicitur fuisse ex tanto materiæ apparatu, qui quinquaginta navibus quinqueremibus suffecturus fuisset. Deducta est autem ab ingente hominum multitudine, cum clamore et ad tubarum sonitum. Postea vero Phœnix aliquis [aliam subducendæ ac denuo] deducendæ navis rationem excogitavit; fossam subjiciens, ejusdem cum nave longitudinis, quam prope portum excavavit. Huic fundamenta [et crepidines] substruxit ex solido lapide ad quinque cubitorum profunditatem; deinde inter istas crepidines impegit continuas series phalangum transversarum pro latitudine fossæ, ita ut quadricubitale spatium in altitudinem infra relinqueretur. Tum immisso mari, totum effossum locum aqua replevit : in quem deinde quorumlibet hominum ope facile subduxit navem : post hæc, obstructa apertura initio facta, machinarum ope rursus exhausit aquam. Ita fiebat ut super prædictis phalangibus tuto ac firmiter navis staret.

« Construxit vero idem Philopator etiam aliam navem, qua in Nilo fluvio navigaret, quæ *Thalamegus* (id est, *thalamum vehens*) vocabatur; cujus longitudo fuit dimidii stadii; latitudo, ubi maxima, triginta cubitorum : altitudo, simul cum erecto tabernaculo, parum a quadraginta cubitis aberat. Forma ejus nec longis navibus, neque rotundis erat similis : sed prorsus singularis, pro usus commoditate et altitudine fluvii. Nam inferne depressa navis erat et lata; corpus autem sublime eminebat : extremæ vero ejus partes, ac præsertim a prora, multum prominebant, dein sursum reflexæ speciem præbebant eleganter descriptam. Duas autem proras duasque puppes habebat; et super aquam multum eminebat, quoniam fluctus fluvii sæpe in altum attolluntur. In medio alveo constructa erant cœnacula et cubicula, et reliquæ ad vitæ usum pertinentes commoditates. Circum navem secundum tria latera ambulationes erant binæ, quarum circuitus paulo minus quinque jugerum erat : species vero et structura inferioris, peristylio erat similis; superioris, cryptoporticui parietibus et fenestris undique circumdato. Ingredienti a puppe primum occurrebat vestibulum (προστὰς Græcis vocatur) a parte anteriore apertum, circumcirca vero simplici columnarum serie circumdatum. In ea parte, quæ versus proram spectabat, propylæum constructum erat, ex ebore et ligno pretiosissimo factum : per quod postquam transieras, constructum erat quasi proscenium, superne tectum. Rursus dein similiter in medio latere posteriore adjuncta erat alia *prostas*, in quam intrabatur per portam quadriforem. A dextra et sinistra fenestræ erant, quæ aeris salubritatem præstarent. His contiguus erat maximus œcus, columnis circum-

ὁ μέγιστος οἶκος· περίπτερος δ' ἦν, εἴκοσι κλίνας ἐπιδεχόμενος. Κατεσκευάσθη δ' αὐτοῦ τὰ μὲν πλεῖστα ἀπὸ κέδρου σχιστῆς καὶ κυπαρίσσου Μιλησίας· αἱ δὲ τῆς περιστάσεως θύραι, τὸν ἀριθμὸν εἴκοσιν οὖσαι, θυΐναις κατεκεκόλληντο σανίσιν, ἐλεφαντίνους ἔχουσαι τοὺς κόσμους. Ἡ δ' ἐνήλωσις ἡ κατὰ πρόσωπον αὐτῶν, καὶ τὰ ῥόπτρα ἐξ ἐρυθροῦ γεγονότα χαλκοῦ, τὴν χρύσωσιν ἐκ πυρὸς εἰλήφει. Τῶν δὲ κιόνων τὰ μὲν σώματα ἦν κυπαρίσσινα, αἱ δὲ κεφαλαὶ Κορινθιουργεῖς, ἐλέφαντι καὶ χρυσῷ διακεκοσμημέναι. Τὸ δὲ ἐπιστύλιον ἐκ χρυσοῦ τὸ ὅλον· ἐφ' οὗ διάζωσμα ἐφήρμοστο, περιφανῆ ζῴδια ἔχον ἐλεφάντινα, μείζονα πηχυαίων, τῇ μὲν τέχνῃ μέτρια, τῇ χορηγίᾳ δ' ἀξιοθαύμαστα. Ἐπέκειτο δὲ καὶ στέγη καλὴ τῷ συμποσίῳ τετράγωνος κυπαρισσίνη· γλυπτοὶ δ' αὐτῆς ἦσαν οἱ κόσμοι, χρυσῆν ἔχοντες τὴν ἐπιφάνειαν. Παρέκειτο δὲ τῷ συμποσίῳ τούτῳ καὶ κοιτὼν ἑπτάκλινος· ᾧ συνῆπτο στενὴ σῦριγξ, κατὰ πλάτος τοῦ κύτους χωρίζουσα τὴν γυναικωνῖτιν. Ἐν δὲ ταύτῃ συμπόσιον ἐννεάκλινον ἦν, παραπλήσιον τῇ πολυτελείᾳ τῷ μεγάλῳ, καὶ κοιτὼν πεντάκλινος. Καὶ τὰ μὲν ἄχρι τῆς πρώτης στέγης κατεσκευασμένα τοιαῦτ' ἦν.

« Ἀναβάντων δὲ τὰς παρακειμένας πλησίον τῷ προειρημένῳ κοιτῶνι κλίμακας, οἶκος ἦν ἄλλος πεντάκλινος, ὀρόφωμα ῥομβωτὸν ἔχων· καὶ πλησίον αὐτοῦ ναὸς Ἀφροδίτης θολοειδής, ἐν ᾧ μαρμάρινον ἄγαλμα τῆς θεοῦ. Κατεναντίον δὲ τούτου ἄλλο συμπόσιον πολυτελὲς περίπτερον· οἱ γὰρ κίονες αὐτοῦ ἐκ λίθων Ἰνδικῶν συνέκειντο. Παρὰ δὲ καὶ τούτῳ τῷ συμποσίῳ κοιτῶνες, ἀκόλουθον τὴν κατασκευὴν τοῖς προδεδηλωμένοις ἔχοντες. Προάγοντι δὲ ἐπὶ τὴν πρῷραν οἶκος ὑπέκειτο Βακχικὸς, τρισκαιδεκάκλινος, περίπτερος, ἐπίχρυσον ἔχων τὸ γεῖσον ἕως τοῦ περιτρέχοντος ἐπιστυλίου· στέγη δὲ τῆς τοῦ θεοῦ διαθέσεως οἰκεία. Ἐν δὲ τούτῳ κατὰ μὲν τὴν δεξιὰν πλευρὰν ἄντρον κατεσκεύαστο, οὗ χρῶμα μὲν ἦν ἔχον τὴν πετροποιίαν ἐκ λίθων ἀληθινῶν καὶ χρυσοῦ δεδημιουργημένον· ἵδρυτο δ' ἐν αὐτῷ τῆς τῶν βασιλέων συγγενείας ἀγάλματα εἰκονικὰ λίθου λυχνέως. Ἐπιτερπὲς δ' ἱκανῶς καὶ ἄλλο συμπόσιον ἦν, ἐπὶ τῇ τοῦ μεγίστου οἴκου στέγῃ κείμενον, σκηνῆς ἔχον τάξιν· ὥστε τῇ μὲν οὐκ ἐπῆν ** διατόναια δὲ τοξοειδῆ διά ποσοῦ τινος ἐνετέτακτο διαστήματος, ἐφ' ὧν αὐλαῖαι κατὰ τὸν ἀνάπλουν ἁλουργεῖς ἐνεπετάννυντο. Μετὰ δὲ τοῦτο αἴθριον ἐξεδέχετο, τὴν ἐπάνω τῆς ὑποκειμένης προστάδος τάξιν κατέχον· ᾧ κλῖμάξ τε ἑλικτὴ, φέρουσα πρὸς τὸν κρυπτὸν περίπατον, παρέκειτο, καὶ συμπόσιον ἐννεάκλινον, τῇ διαθέσει τῆς κατασκευῆς Αἰγύπτιον. Οἱ γὰρ γεγονότες αὐτόθι κίονες ἀνήγοντο στρογγύλοι, διαλλάττοντες τοῖς σπονδύλοις, τοῦ μὲν μέλανος, τοῦ δὲ λευκοῦ, παράλληλα τιθεμένων. Εἰσὶ δ' αὐτῶν καὶ αἱ κεφαλαὶ τῷ σχήματι περιφερεῖς, ὧν ἡ μὲν ὅλη περιγραφὴ παραπλησία ῥόδοις ἐπὶ μικρὸν ἀναπεπταμένοις ἐστίν. Περὶ δὲ τὸν προσαγορευόμενον κάλαθον οὐχ ἕλικες, καθάπερ ἐπὶ τῶν Ἑλληνικῶν, καὶ φύλλα τραχέα περίκειται, λωτῶν δὲ ποταμίων κάλυκες, καὶ φοινίκων ἀρτιβλάστων καρπός· ἔστι δ' ὅτε καὶ πλειόνων ἄλλων ἀνθέων γέγλυπται γένη. Τὸ δ' ὑπὸ τὴν ῥίζαν, ὃ δὴ τῷ συνάπτοντι πρὸς τὴν κεφαλὴν ἐπίκειται σπονδύλῳ, κιβωρίων ἄνθεσι καὶ φύλλοις ὡσανεὶ καταπεπλεγμένοις ὁμοίαν εἶχε τὴν διάθεσιν. Τοὺς μὲν οὖν κίονας οὕτως Αἰγύπτιοι κατασκευά-

circa ornatus, triginta lectos capiens. In illo pleraque ex secta cedro aut Milesia cupresso fabrefacta erant: fores vero in circuitu, numero viginti, ex citreis tabulis compactæ, et multo ebore ornatæ. Quidquid in his clavorum aut ferramenti conspiciebatur, perinde ac annuli sive marculi ex rubro ære conflati, in igne deauratum erat. Columnarum scapi ex cypresso erant; capitula, Corinthii operis, ebore et auro exornata. Epistylium totum deauratum: cui adaptata erat præcinctio, ex qua eminebant eburnea signa, cubito majora; artificii illa quidem mediocris, sed materiæ pretio admiranda. Impositum etiam elegans tectum cœnaculo erat, quadratum, cupressinum; in quo multa erant sculpta ornamenta, inaurata in superficie. Cœnaculo huic proximum erat cubiculum septem lectorum: quod attingebat angustus meatus, e transverso secundum alvei navis latitudinem ductus, qui mulierum habitationem separabat. In gynæconitide cœnaculum erat novem lectorum, magnificentia par majori illi, et cubiculum lectorum quinque. Et ad primum quidem usque tectum, hæc ita disposita erant.

« Ubi vero per scalas prædicto cubiculo adjacentes ascenderas, aliud erat conclave quinque lectorum, tectum habens rhombi figura: et prope illud sedes Veneris, ad tholi formam constructa; in qua erat marmoreum deæ signum. Huic ex adverso aliud erat cœnaculum magnificum, columnis circumcirca ornatum: erant autem columnæ ex Indicis lapidibus constructæ. Rursusque huic cœnaculo juncta cubicula, ita instructa ut consentaneum erat his de quibus jam dictum est. Ad proram pergenti occurrebat œcus Bacchicus tredecim lectorum, columnis in circuitu ornatus, auratam habens suggrundam usque ad circumcurrens epistylium: tectum vero congruens dei ingenio. In eo œco a dextra parte antrum erat constructum, [cujus fornix (χῶμα) loco saxorum ex veris lapidibus *pretiosis* et auro erat confectus?] positæ autem in eo erant regiorum cognatorum imagines ad vivum expressæ ex lychnite lapide. Erat etiam alia cœnatio, amœna admodum, maximi œci tecto superstructa, tentorium referens: erat enim partim aperta, partim vero ex certis intervallis tensi superne circuli erant arcuati, super quibus, quum navigabatur, expandebantur aulæa purpurea. Cœnationem hanc excipiebat area subdialis, locum superiorem tenens ubi infra subjecta prostas erat: cui areæ contigua fuit scala tortilis, ad tectam ambulationem ducens, et cœnatio novem lectorum, Ægyptiorum more constructa ornataque. Erant enim columnæ, quæ ibi teretes erectæ cernebantur, vertebris ita variegatæ, ut alternatim altera nigra vertebra, altera alba, æquali altitudine invicem impositæ essent. Sunt autem earundem capitula forma rotunda, ita ut tota figura similis sit rosæ paululum explicatæ. Circa eam vero partem, quæ *calathus* vocatur, nullæ volutæ sunt, ut in Græcanicis columnis, neque aspera folia circumposita; sed lotorum aquatilium calyces, et palmarum recens germinantium fructus; non-

ζουσι, καὶ τοὺς τοίχους δὲ λευκαῖς τε καὶ μελαίναις διαποικίλλουσι πλινθίσιν· ἐνίοτε δὲ καὶ τοῖς ἀπὸ τῆς ἀλαβαστίτιδος προσαγορευομένης πέτρας. Πολλὰ δὲ καὶ ἕτερα κατὰ μέσον τῆς νεὼς τὸ κύτος, ἐν κοίλῃ, καὶ κατὰ πᾶν αὐτῆς μέρος, οἰκήματα ἦν. Ὁ δὲ ἱστὸς ἦν αὐτῆς ἑβδομήκοντα πηχῶν, βύσσινον ἔχων ἱστίον, ἁλουργεῖ παρασείρῳ κεκοσμημένον. » Πᾶς δ' ὁ τοῦ βασιλέως τοῦ Φιλαδέλφου πλοῦτος φυλαχθεὶς κατελύθη ὑπὸ τοῦ τελευταίου Πτολεμαίου, τοῦ καὶ τὸν Γαβινιακὸν συστησαμένου πόλεμον, οὐκ ἀνδρὸς γενομένου, ἀλλ' αὐλητοῦ καὶ μάγου. Inde a Πᾶς δὲ verba sunt Athenæi.

E LIBRO QUARTO.

2.

Athenæus V, 25, p. 196, A : Θαυμασάντων δὲ τῶν δαιτυμόνων τήν τε τοῦ βασιλέως διάνοιαν, ὡς οὐκ ἐπιφανής, ἀλλ' ὄντως ἐπιμανὴς ὑπῆρχε, προσέθηκεν ὁ Μασούριος περὶ τῆς ἐν Ἀλεξανδρείᾳ γεγενημένης ὑπὸ τοῦ πάντ' ἀρίστου Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ βασιλέως πομπῆς Καλλίξενον τὸν Ῥόδιον ἱστοροῦντα ἐν τῷ τετάρτῳ Περὶ Ἀλεξανδρείας, ὅς φησι· « Πρὸ δὲ τοῦ ἄρξασθαι τὴν κατασκευασθεῖσαν σκηνὴν ἐν τῷ τῆς ἄκρας περιβόλῳ, χωρὶς τῆς τῶν στρατιωτῶν καὶ τεχνιτῶν καὶ παρεπιδήμων ὑποδοχῆς, ἐξηγήσομαι. Καλὴ γὰρ εἰς ὑπερβολὴν ἀξία τε ἀκοῆς ἐγενήθη. Τὸ μὲν οὖν μέγεθος αὐτῆς ἑκατὸν τριάκοντα κλίνας ἐπιδεχόμενον κύκλῳ, διασκευὴν δ' εἶχε τοιαύτην. Κίονες διεστάθησαν ξύλινοι, πέντε μὲν κατὰ πλευρὰν ἑκάστην τοῦ μήκους, πεντηκονταπήχεις πρὸς ὕψος, ἑνὶ δὲ ἐλάττους κατὰ πλάτος· ἐφ' ὧν ἐπιστύλιον καθηρμόσθη τετράγωνον, ὑπερεῖδον τὴν σύμπασαν τοῦ συμποσίου στέγην. Αὕτη δ' ἐνεπετάσθη κατὰ μέσον οὐρανίσκῳ κοκκινοβαφεῖ περιλεύκῳ, καθ' ἑκάτερον δὲ μέρος εἶχε δοκούς, μεσολεύκοις ἐμπετάσμασι πυργωτοῖς κατειλημένας, ἐν αἷς φατνώματα γραπτὰ κατὰ μέσον ἐτέτατο. Τῶν δὲ κιόνων οἱ μὲν τέσσαρες ὡμοίωντο φοίνιξιν, οἱ δ' ἀνὰ μέσον θύρσων εἶχον φαντασίαν. Τούτων δ' ἐκτὸς περίστυλος ἐπεποίητο σῦριγξ, ταῖς τρισὶ πλευραῖς καμαρωτὴν ἔχουσα στέγην, ἐν ᾗ τὴν τῶν κατακειμένων ἀκολουθίαν ἑστάναι συνέβαινεν. Ἧς τὸ μὲν ἐντὸς αὐλαίαις περιείχετο φοινικίναις, ἐπὶ δὲ τῶν ἀνὰ μέσον χωρῶν δοραὶ θηρίων, παράδοξοι καὶ τῇ ποικιλίᾳ καὶ τοῖς μεγέθεσιν, ἐκρέμαντο. Τὸ δὲ περιέχον αὐτὴν ὕπαιθρον μυρρίναις καὶ δάφναις ἄλλοις τ' ἐπιτηδείοις ἔρνεσιν ἐγεγόνει συνηρεφές. Τὸ δ' ἔδαφος πᾶν ἄνθεσι κατεπέπαστο παντοίοις. Ἡ γὰρ Αἴγυπτος καὶ διὰ τὴν τοῦ περιέχοντος ἀέρος εὐκρασίαν καὶ διὰ τοὺς κηπεύοντας τὰ σπανίως καὶ καθ' ὥραν ἐνεστηκυῖαν ἐν ἑτέροις φυόμενα τόποις ἄφθονα γεννᾷ καὶ διὰ παντός, καὶ οὔτε ῥόδον οὔτε λευκόϊον οὔτ' ἄλλο ῥᾳδίως ἄνθος ἐκλιπεῖν οὐδὲν οὐδέποτ' εἴωθεν. Διὸ δὴ καὶ κατὰ μέσον χειμῶνα τῆς ὑποδοχῆς τότε γενηθείσης, παράδοξος ἡ φαντασία [τότε] τοῖς ξένοις κατέστη. Τὰ γὰρ εἰς μίαν εὑρεθῆναι στεφάνωσιν οὐκ ἂν δυνηθέντα ἐν ἄλλῃ πόλει ῥᾳδίως, ταῦτα καὶ τῷ πλήθει τῶν κατακειμένων ἐχορηγεῖτο εἰς τοὺς στεφάνους ἀφθόνως, καὶ εἰς τὸ τῆς σκηνῆς ἔδαφος κατεπέπαστο χύδην, θείου τινὸς ὡς ἀληθῶς ἀποτελοῦντα λειμῶνος πρόσοψιν.

---

nunquam vero etiam alia florum genera insculpta sunt. Quod autem radici capituli subest, nempe quod insidet illi vertebræ quæ capitulum proxime attingit, figuras referebat florum foliorumque fabarum Ægyptiarum. Columnas igitur hoc modo Ægyptii construunt : itemque parietes nigris laterculis albisque variegant, hisque nonnunquam ex lapide quem *alabastitidem* vocant. Erant vero multa etiam alia quum in medio navis alveo, tum qualibet in parte, conclavia. Malus navis cubitorum fuit septuaginta, byssinum habens velum, purpurea ornatum fimbria, cui funes aptarentur. » Universæ vero Ptolemæi Philadelphi divitiæ, ab aliis regibus conservatæ, dilapidatæ profligatæque sunt ad ultimo Ptolemæo, eodem qui bellum etiam Gabinianum conflavit; qui non vir fuit, sed tibicen et magus.

2.

Mirantibus convivis ingenium regis, quod non tam *illustre* (ἐπιφανὴς) quam revera *furiosum* (ἐπιμανὴς) fuisset, Masurius Callixenum Rhodium citavit pompam Alexandriæ celebratam a Ptolemæo Philadelpho, rege undecumque præstantissimo, libro quarto De Alexandria enarrantem. « Priusquam rem aggrediar, inquit ille, exstructum intra arcis ambitum *Tabernaculum*, seorsum a militum et artificum et peregrinorum diversoriis, exponam : supra modum enim pulcrum fuit, et memoratu dignum. Igitur amplitudo ejus tanta erat, ut centum et triginta lectos caperet, in orbem locatos; structura autem hujusmodi. Columnæ dispositæ erant ligneæ quinque ab utraque parte, qua in longitudinem patebat tentorium, ad quinquaginta cubitorum altitudinem; quattuor vero in latitudinem. His superne adaptatum erat epistylium quadratum, quod universum cœnaculi tectum sustentaret. Habebat illud in medio velum coccineum albo prætextum, in tholi formam expansum : ab utraque parte trabes erant, tapetiis obvolutæ albo distinctis turritis, quarum in medio expansa erant picta lacunaria. Quattuor ex columnis palmarum arborum formam referebant : quæ in medio erant, thyrsorum præbebant speciem. Extra has, tribus lateribus circumducta erat porticus, peristylio ornata, fornicato tecto instructa; in qua staret discumbentium comitatus. Hujus pars interior aulæis erat obducta puniceis : quorum in medio certis ex intervallis suspensæ ferarum pelles, cum varietate coloris, tum magnitudine admirabiles. Latus exterius, libero cœlo obversum, myrtis et lauris aliisque idoneis frondibus obumbrabatur. Totum vero solum floribus cujusque generis sparsum erat. Ægyptus enim, quum ob aeris temperiem, tum per eorum industriam qui hortos colunt, quæ parcius etiam suo quæque tempore in aliis regionibus gignuntur, ea copiosissima gignit, et qualibet anni tempestate; ut et rosa et leucoium et quodcumque aliud floris genus nunquam non suppetat. Quare, quum media hieme convivii illius solemnitas celebraretur, mira tunc species peregre venientibus accidebat. Nam qui ad unius coronæ contextum in alia urbe vix reperti flores fuissent, ii largissime et ad coronas tantæ multitudinis convivarum suppetebant, et per

26. « Διέκειτο δὲ ἐπὶ μὲν τῶν τῆς σκηνῆς παραστάδων ζῷα μαρμάρινα τῶν πρώτων τεχνιτῶν ἑκατόν. Ἐν δὲ ταῖς ἀνὰ μέσον χώραις πίνακες τῶν Σικυωνικῶν ζωγράφων, ἐναλλὰξ δ' ἐπίλεκτοι εἰκασίαι παντοῖαι, καὶ χιτῶνες χρυσοϋφεῖς, ἐφαπτίδες τε κάλλισται, τινὲς μὲν εἰκόνας ἔχουσαι τῶν βασιλέων ἐνυφασμένας, αἱ δὲ μυθικὰς διαθέσεις. Ὑπεράνω δὲ τούτων θυρεοὶ περιέκειντο ἐναλλὰξ, ἀργυροῖ τε καὶ χρυσοῖ. Ἐν δὲ ταῖς ἐπάνω τούτων χώραις, οὔσαις ὀκταπήχεσιν, ἄντρα κατεσκεύαστο, κατὰ μὲν τὸ μῆκος τῆς σκηνῆς ἓξ ἐν ἑκατέρᾳ πλευρᾷ, κατὰ πλάτος δὲ τέτταρα· συμπόσιά τε ἀντία ἀλλήλων ἐν αὐτοῖς τραγικῶν τε καὶ κωμικῶν καὶ σατυρικῶν ζῴων (προσώπων Preller.), ἀληθινὸν ἐχόντων ἱματισμὸν, οἷς παρέκειτο καὶ ποτήρια χρυσᾶ. Κατὰ μέσον δὲ τῶν ἄντρων νύμφαι ἐλείφθησαν, ἐν αἷς ἔκειντο Δελφικοὶ χρυσοῖ τρίποδες, ὑποστήματ' ἔχοντες. Κατὰ δὲ τὸν ὑψηλότατον τόπον τῆς ὀροφῆς ἀετοὶ κατὰ πρόσωπον ἦσαν ἀλλήλων χρυσοῖ, πεντεκαιδεκαπήχεις τὸ μέγεθος. Ἔκειντο δὲ κλῖναι σφιγγόποδες ἐν ταῖς δυσὶ πλευραῖς ἑκατόν· ἡ γὰρ κατὰ πρόσωπον ὄψις ἀφεῖτ' ἀναπεπταμένη. Ταύταις δ' ἀμφίταποι ἁλουργεῖς ὑπέστρωντο τῆς πρώτης ἐρέας, καὶ περιστρώματα ποικίλα, διαπρεπῆ ταῖς τέχναις, ἐπῆν. Ψιλαὶ δὲ Περσικαὶ τὴν ἀνὰ μέσον τῶν ποδῶν χώραν ἐκάλυπτον, ἀκριβῆ τὴν εὐγραμμίαν τῶν ἐνυφασμένων ἔχουσαι ζῳδίων. Παρετέθησαν δὲ καὶ τρίποδες τοῖς κατακειμένοις χρυσοῖ, διακόσιοι τὸν ἀριθμὸν, ὥστ' εἶναι δύο κατὰ κλίνην, ἐπ' ἀργυρέων διέδρων. Ἐκ δὲ τῶν ὄπισθεν πρὸς τὴν ἄποψιν ἑκατὸν ἀργυραῖ λεκάναι, καὶ καταχύσεις ἴσαι, παρέκειντο. Ἐπεπήγει δὲ τοῦ συμποσίου κατάντικρυ καὶ ἑτέρα κλίνη πρὸς τὴν τῶν κυλικείων καὶ ποτηρίων τῶν τε λοιπῶν τῶν πρὸς τὴν χρῆσιν ἀνηκόντων κατασκευασμάτων ἔκθεσιν· ἃ δὴ πάντα χρυσᾶ τε ἦν καὶ διάλιθα, θαυμαστὰ ταῖς τέχναις. Τούτων δὲ τὴν μὲν κατὰ μέρος κατασκευὴν καὶ τὰ γένη μακρὸν ἐπεφαίνετό μοι δηλοῦν· τὸ δὲ τοῦ σταθμοῦ πλῆθος εἰς μύρια τάλαντ' ἀργυρίου τὴν σύμπασαν εἶχε κατασκευήν.

27. « Ἡμεῖς δὲ, ἐπειδὴ τὰ κατὰ τὴν σκηνὴν διεληλύθαμεν, ποιησόμεθα καὶ τῆς πομπῆς ἐξήγησιν· ἤγετο γὰρ διὰ τοῦ κατὰ τὴν πόλιν σταδίου. Πρώτη δ' ἐβάδιζεν Ἑωσφόρου· καὶ γὰρ ἀρχὴν εἶχεν ἡ πομπὴ, καθ' ὃν ὁ προειρημένος ἀστὴρ φαίνεται χρόνον. Ἔπειθ' ἡ τοῖς τῶν βασιλέων γονεῦσι κατωνομασμένη. Μετὰ δὲ ταύτας αἱ τῶν θεῶν ἁπάντων, οἰκείαν ἔχουσαι τῆς περὶ ἑκάστων αὐτῶν ἱστορίας διασκευήν. Τὴν δὲ τελευταίαν Ἑσπέρου συνέβαινεν εἶναι, τῆς ὥρας εἰς τοῦτο συναγούσης τὸν καιρόν. Τὰ δὲ κατὰ μέρος αὐτῶν εἴ τις εἰδέναι βούλεται, τὰς τῶν πεντετηρίδων γραφὰς λαμβάνων ἐπισκοπείτω. Τῆς δὲ Διονυσιακῆς πομπῆς πρῶτοι μὲν προῄεσαν οἱ τὸν ὄχλον ἀνείργοντες Σειληνοὶ, πορφυρᾶς χλαμύδας, οἱ δὲ φοινικίδας, ἠμφιεσμένοι. Τούτοις δ' ἐπηκολούθουν Σάτυροι, καθ' ἕκαστον τοῦ σταδίου μέρος εἴκοσι, λαμπάδας φέροντες κισσίνας διαχρύσους. Μεθ' οὓς Νῖκαι, χρυσᾶς ἔχουσαι πτέρυγας. Ἔφερον δ' αὗται θυμιατήρια ἑξαπήχη, κισσίνοις χρυσοῖς κλωσὶ διακεκοσμημένα, ζῳωτοὺς ἐνδεδυκυῖαι χιτῶνας, αὐταὶ

---

tabernaculi solum tanta profusione sparsi erant, ut illud vere divini cujusdam prati speciem præberet.

« Ad postes (*sive* columellas) circa totum tabernaculum disposita erant marmorea signa centum, primariorum artificum opera : et mediis inter illas spatiis suspensæ tabulæ pictæ operis Sicyonii, alternatimque variæ imagines ad vivum expressæ, et tunicæ auro intextæ, et paludamenta pulcerrima, quorum aliis intextæ erant regum imagines, aliis argumenta e fabulis deprompta. Superne super his scuta suspensa erant, alternatim argentea et aurea. Porro locis superioribus, in octo cubitos patentibus, antra constructa erant, sex ab utraque parte in longitudinem tabernaculi, quattuor vero in latitudinem : in eisque convivia, ex adverso alterum alterius, tragicarum et comicarum et satyricarum personarum, vero cultu habituque vestitarum, quibus aurea apposita erant pocula. Medio spatio, quod inter antra relinquebatur, nymphæa erant, in quibus positi aurei tripodes Delphici, suis basibus insistentes. In supremo tecti fastigio aquilæ erant aureæ, mutuo sese respicientes, quindecim cubitorum magnitudine. Secundum duo tabernaculi latera positi erant centum lecti aurei, pedibus in sphingum formam effictis : nam latus oppositum fronti relictum erat apertum. His substrata erant tapetia purpurea, utrimque villosa, e lana præstantissima : superstrata aulæa variegata, eximia arte insignia. Glabri tapetes Persici medium spatium, quod pedibus calcatur, tegebant, accurate delineatas animalium formas aliasque figuras intertextas habentes. Discumbentibus appositæ erant mensæ tripodes aureæ ducentæ, ut essent duæ pro quoque lectulo, argenteis repositoriis innixæ. A parte posteriori, quæ e conspectu remota est, centum pelves positæ erant argenteæ, totidemque labra. Fabrefactum vero etiam erat in parte adversa cœnaculi aliud repositorium, in quo calices et pocula, aliaque ad usum idonea, et vasa diversæ fabricæ exponebantur; quæ erant aurea omnia, et gemmis distincta, admirabili arte fabrefacta. Quorum singulorum structuram, et varia genera enarrare, longum mihi visum est. Sed pondus cunctorum illorum vasorum, in unam summam collatum, decem fere millium fuit talentorum argenti.

« Nunc, postquam quæ ad tabernaculum pertinent exposuimus, *pompam* etiam ipsam enarrabimus. Ducebatur igitur illa per stadium quod est Alexandriæ. Et prima quidem progrediebatur Luciferi pompa : etenim initium tota pompa capiebat, quo tempore stella illa oriebatur. Tum procedebat ea, quæ parentibus regum erat consecrata. Post hanc, deorum omnium dearumque pompæ; quælibet rebus omnibus instructa ornataque, quæ ad uniuscujusque numinis historiam spectant. Postrema pompa Hesperi erat, quoniam anni tempestas ita contrahebat tempus, ut ad seram usque vesperam universa pompa ageretur. Quarum pomparum si quis singularum particulatim rationem cognoscere cupit, is Quinquennalium ludorum descriptionem sumat, et ipse oculis suis lustret. In *Bacchica pompa*, primi incedebant turbam amoventes *Sileni*, purpureas lænas, alii puniceas induti. Hos sequebantur *Satyri*, ab utraque stadii parte viginti, lampadas gestantes hederæ foliis obvolutas auro fulgentibus. Deinde *Victoriæ*, aureas

δὲ πολὺν κόσμον χρυσοῦν περικείμεναι. Μετὰ δὲ ταύτας εἵπετο βωμὸς ἑξάπηχυς διπλοῦς, κισσίνῃ φυλλάδι διαχρύσῳ πεπυκασμένος, ἔχων ἀμπέλινον χρυσοῦν στέφανον, μεσολεύκοις μίτραις κατειλημένον. Ἐπηκολούθουν δ' αὐτῷ παῖδες, ἐν χιτῶσι πορφυροῖς λιβανωτὸν καὶ σμύρναν, ἔτι δὲ κρόκον, ἐπὶ χρυσῶν μαζονόμων φέροντες, ἑκατὸν εἴκοσι. Μεθ' οὓς Σάτυροι τεσσαράκοντα, ἐστεφανωμένοι κισσίνοις χρυσοῖς στεφάνοις· τὰ δὲ σώματα οἱ μὲν ἐκέχριντο ὀστρείῳ, τινὲς δὲ μίλτῳ καὶ χρώμασιν ἑτέροις. Ἔφερον δὲ καὶ οὗτοι στέφανον χρυσοῦν, ἐξ ἀμπέλου καὶ κισσοῦ εἰργασμένον. Μεθ' οὓς Σειληνοὶ δύο ἐν πορφυραῖς χλαμύσι καὶ κρηπῖσι λευκαῖς. Εἶχε δ' αὐτῶν ὁ μὲν πέτασον καὶ κηρύκειον χρυσοῦν, ὁ δὲ σάλπιγγα. Μέσος δὲ τούτων ἐβάδιζεν ἀνὴρ, μείζων τετράπηχυς, ἐν τραγικῇ διαθέσει καὶ προσώπῳ, φέρων χρυσοῦν Ἀμαλθείας κέρας· ὃς προσηγορεύετο Ἐνιαυτός. Ὧ γυνὴ περικαλλεστάτη κατὰ τὸ μέγεθος εἵπετο, πολλῷ χρυσῷ καὶ διαπρεπεῖ κεκοσμημένη, φέρουσα τῇ μὲν μιᾷ τῶν χειρῶν στέφανον περσαίας, τῇ δ' ἑτέρᾳ ῥάβδον φοίνικος· ἐκαλεῖτο δὲ αὕτη Πεντετηρίς. Ταύτῃ δ' ἐπηκολούθουν Ὧραι τέσσαρες διεσκευασμέναι, καὶ ἑκάστη φέρουσα τοὺς ἰδίους καρπούς. Ἐχόμενα τούτων θυμιατήρια δύο κίσσινα ἐκ χρυσοῦ, ἑξαπήχη, καὶ βωμὸς ἀνὰ μέσον τούτων τετράγωνος χρυσοῦ. Καὶ πάλιν Σάτυροι, στεφάνους ἔχοντες κισσίνους χρυσοῦς, φοινικίδας περιβεβλημένοι· ἔφερον δ' οἱ μὲν οἰνοχόην χρυσῆν, οἱ δὲ καρχήσιον. Μεθ' οὓς ἐπορεύετο Φιλίσκος ὁ ποιητὴς, ἱερεὺς ὢν Διονύσου, καὶ πάντες οἱ περὶ τὸν Διόνυσον τεχνῖται. Τούτων δ' ἐφεξῆς ἐφέροντο Δελφικοὶ τρίποδες, ἆθλα τοῖς τῶν ἀθλητῶν χορηγοῖς· ὁ μὲν παιδίσκων, ἐννέα πηχῶν τὸ ὕψος, ὁ δὲ πηχῶν δώδεκα, ὁ τῶν ἀνδρῶν.

« Μετὰ τούτους τετράκυκλος πηχῶν τεσσαρεσκαίδεκα, ὀκτὼ δὲ τὸ πλάτος, ἤγετο ὑπὸ ἀνδρῶν ὀγδοήκοντα καὶ ἑκατὸν, ἐπὶ δὲ ταύτης ἐπῆν ἄγαλμα Διονύσου δεκάπηχυ, σπένδον ἐκ καρχησίου χρυσοῦ, χιτῶνα πορφυροῦν ἔχον διάπεζον, καὶ ἐπ' αὐτοῦ κροκωτὸν διαφανῆ· περιεβέβλητο δὲ ἱμάτιον πορφυροῦν χρυσοποίκιλον. Προέκειτο δὲ αὐτοῦ κρατὴρ Λακωνικὸς χρυσοῦς μετρητῶν πεντεκαίδεκα καὶ τρίπους χρυσοῦς, ἐφ' οὗ θυμιατήριον χρυσοῦν καὶ φιάλαι δύο χρυσαῖ, κασσίας μεσταὶ καὶ κρόκου. Περιέκειτο δ' αὐτῷ καὶ σκιὰς ἐκ κισσοῦ καὶ ἀμπέλου καὶ τῆς λοιπῆς ὀπώρας κεκοσμημένη· προσήρτηντο δὲ καὶ στέφανοι, καὶ ταινίαι, καὶ θύρσοι, καὶ τύμπανα, καὶ μίτραι, πρόσωπά τε σατυρικὰ καὶ κωμικὰ καὶ τραγικά. Τῇ δὲ τετρακύκλῳ ἱερεῖς καὶ ἱέρειαι, καὶ πέρσεις τελεταὶ (αἱ περὶ τὰς τελετὰς conj. Preller.), καὶ θίασοι παντοδαποὶ, καὶ τὰ λίκνα φέρουσαι. Μετὰ δὲ ταῦτα Μακέται, αἱ καλούμεναι Μιμαλλόνες, καὶ Βασσάραι καὶ Λυδαὶ, καταχεχυμέναι τὰς τρίχας, καὶ ἐστεφανωμέναι τινὲς μὲν ὄφεσιν, αἱ δὲ μίλαξι, καὶ ἀμπέλῳ, καὶ κισσῷ· κατεῖχον δὲ ταῖς χερσὶν αἱ μὲν ἐγχειρίδια, αἱ δὲ ὄφεις. Μετὰ δὲ ταύτας ἤγετο τετράκυκλος, πηχῶν ὀκτὼ πλάτος, ὑπὸ ἀνδρῶν ἑξήκοντα, ἐφ' ἧς ἄγαλμα Νύσης ὀκτάπηχυ καθήμενον, ἐνδεδυκὸς μὲν θάψινον χιτῶνα χρυσοποίκιλον, ἱμάτιον

---

habentes alas. Gestabant autem hæ thuribula sex cubitorum, hederæ frondibus aureis ornata : tunicis vestitæ erant auro variegatis, et ipsæ alio multo aureo ornatu nitebant. Has excipiebat *ara* cubitorum sex, duplex, multa fronde hederacea auro fulgente ornata : imposita ei erat corona pampinea ex auro facta, fasciis obvoluta albo distinctis. Eam sequebantur *pueri* purpureis tunicis amicti, centum et viginti, thus et myrrham et crocum aureis in patinis gestantes. Inde *Satyri* quadraginta, hederaceis aureis coronis redimiti : quorum alii corpus ostro, alii minio, aut aliis coloribus tinctum habebant. Gestabant autem hi etiam coronam (majorem) auream, ex vite et hedera confectam. Post hos duo *Sileni*, lænis purpureis et crepidis albis : quorum alter petasum gestabat, et aureum caduceum parvum; alter tubam. Medius autem inter hos incedebat vir majori statura, quattuor cubitorum, habitu et persona tragica, aureum tenens Amaltheæ cornu : *Annum* hunc vocabant. Quem sequebatur mulier pulcerrima statura, multo auro eleganter ornata, altera manu coronam ex persæa gestans, altera palmæ virgam : ea *Penteteris* vocabatur, sive *Lustrum*. Hanc excipiebant quattuor *Anni tempora*, [convenienti] ornatu instructa, unumquodque proprios fructus manu tenens. Proxime sequebantur thuribula duo, hederæ foliis ex auro obvoluta; et ara inter hæc media, quadrata, aurea. Tum rursus Satyri, coronis hederaceis aureis cincti, puniceis tunicis induti : gestabantque horum alii trullam auream, alii carchesium. [Poculi id genus est, sic nominatum.] Post hos incedebat *Philiscus* poeta, qui Bacchi sacerdos erat; et omnes scenici artifices. Deinde ferebantur *Delphici tripodes*, præmia ducibus athletarum destinata : unus, duci adolescentum, novem cubitorum altitudine; alter, duci virorum, cubitorum duodecim.

« Hos sequebatur plaustrum, quattuordecim cubitos in longitudinem, octo in latitudinem patens, quod trahebant homines centum et octoginta. Huic imposita erat *Bacchi statua* cubitorum decem, vinum fundens ex aureo carchesio, tunicam induta purpuream ad talos demissam, et super ea croceam pellucidam; circumjectum vero habebat pallium purpureum auro variegatum. Coram eo positus erat crater aureus, metretas capiens quindecim, et mensa tripus aurea, super qua thuribulum, et duæ phialæ cassia et croco repletæ. Superne obductum erat umbraculum, ex hedera et vite aliarumque arborum frugiferarum frondibus eleganter confectum; suspensæ autem ex eo erant etiam coronæ et tæniæ et thyrsi et tympana et fasciæ et personæ satyricæ et comicæ tragicæque. Currum sequebantur sacerdotes viri et feminæ, et [recens] initiati, et omnis generis *chori Bacchici*, et qui mysticam ferebant *vannum*. Sequebantur mulieres bacchantes, quæ *Macetæ* et *Mimallones* vocantur, et *Bassaræ*, et *Lydæ*, passis crinibus, coronatæque aliæ anguibus, aliæ coronis ex taxi frondibus et vite et hedera : manibus autem tenebant aliæ pugiones, aliæ angues. Post has aliud erat plaustrum, octo cubitorum latitudine, ab hominibus tractum sexaginta : super quo erat *Nysæ* signum octo cubitorum, residens, tunicam indutum colore thapsi [buxeo], variegatam auro;

δὲ ἠμφίεστο Λακωνικόν. Ἀνίστατο δὲ τοῦτο μηχανικῶς, οὐδενὸς τὰς χεῖρας προσάγοντος, καὶ σπεῖσαν ἐκ χρυσῆς φιάλης γάλα, πάλιν ἐκάθητο. Εἶχε δὲ ἐν τῇ ἀριστερᾷ θύρσον ἐστεμμένον μίτραις. Αὕτη δ' ἐστεφάνωτο κισσίνῳ χρυσῷ, καὶ βότρυσι διαλίθοις πολυτελέσιν. Εἶχε δὲ σκιάδα, καὶ ἐπὶ τῶν γωνιῶν τῆς τετρακύκλου κατεπεπήγεσαν λαμπάδες διάχρυσοι τέτταρες. Ἑξῆς εἵλκετο ἄλλη τετράκυκλος, μῆκος πηχῶν εἴκοσι, πλάτος ἑκκαίδεκα, ὑπὸ ἀνδρῶν τριακοσίων· ἐφ' ἧς κατεσκεύαστο ληνὸς, πηχῶν εἴκοσι τεσσάρων, πλάτος πεντεκαίδεκα, πλήρης σταφυλῆς. Ἐπάτουν δὲ ἑξήκοντα Σάτυροι, πρὸς αὐλὸν ᾄδοντες μέλος ἐπιλήνιον· ἐφειστήκει δ' αὐτοῖς Σειληνός· καὶ δι' ὅλης τῆς ὁδοῦ τὸ γλεῦκος ἔρρει. Ἑξῆς ἐφέρετο τετράκυκλος, μῆκος πηχῶν εἴκοσι πέντε, πλάτος τεσσαρεσκαίδεκα· ἤγετο δὲ ὑπὸ ἀνδρῶν ἑξακοσίων· ἐφ' ἧς ἦν ἀσκὸς, τρισχιλίους ἔχων μετρητὰς, ἐκ παρδαλῶν δερμάτων ἐρραμμένος· ἔρρει δὲ καὶ οὗτος, κατὰ μικρὸν ἀνιέμενος, κατὰ πᾶσαν τὴν ὁδόν. Ἠκολούθουν δ' αὐτῷ Σάτυροι καὶ Σειληνοὶ ἑκατὸν εἴκοσιν, ἐστεφανωμένοι, φέροντες οἱ μὲν οἰνοχόας, οἱ δὲ φιάλας, οἱ δὲ θηρικλείους μεγάλας, πάντα χρυσᾶ. (Cf. fr. 3.)

« Ἐχομένως ἤγετο κρατὴρ, ἀργυροῦς ἑξακοσίους χωρῶν μετρητὰς, ἐπὶ τετρακύκλου ἑλκόμενος ὑπὸ ἀνδρῶν ἑξακοσίων. Εἶχε δὲ ὑπὸ τὰ χείλη καὶ τὰ ὦτα καὶ ὑπὸ τὴν βάσιν ζῷα τετορνευμένα, καὶ διὰ μέσου ἐστεφάνωτο στεφάνῳ χρυσῷ διαλίθῳ. Ἑξῆς ἐπεφέρετο κυλικεῖα ἀργυρᾶ δωδεκαπήχη δύο, ὕψος πηχῶν ἕξ. Ταῦτα δ' εἶχεν ἄνω τε ἀκρωτήρια καὶ ἐν ταῖς γάστραις κύκλῳ, καὶ ἐπὶ τῶν ποδῶν ζῷα τριημιπήχη καὶ πηχυαῖα, πλήθει πολλά. Καὶ λουτῆρες μεγάλοι δέκα, καὶ κρατῆρες ἑκκαίδεκα, ὧν οἱ μείζους ἐχώρουν μετρητὰς τριάκοντα, οἱ δ' ἐλάχιστοι πέντε. Εἶτα λέβητες ἕξ, βανωτοὶ (μόνωτοι Preller.) εἴκοσι τέσσαρες, ἐπ' ἐγγυθήκαις (cf. fr. 4) πέντε, καὶ ληνοὶ ἀργυραῖ δύο, ἐφ' ὧν ἦσαν βῖκοι εἴκοσι τέσσαρες, τράπεζά τε ὁλάργυρος δωδεκάπηχυς, καὶ ἄλλαι ἑξαπήχεις τριάκοντα. Πρὸς δὲ τούτοις τρίποδες τέσσαρες, ὧν εἷς μὲν εἶχε τὴν περίμετρον πηχῶν ἑκκαίδεκα, κατάργυρος ὢν ὅλος, οἱ δὲ τρεῖς ἐλάττονες ὄντες διάλιθοι κατὰ μέσον ὑπῆρχον. Μετὰ τούτους ἐφέροντο Δελφικοὶ τρίποδες ἀργυροῖ ὀγδοήκοντα τὸν ἀριθμὸν, ἐλάττους τῶν προειρημένων, ὧν αἱ γωνίαι τετράμετροι· ὑδρίαι εἴκοσι καὶ ἕξ, ἀμφορεῖς Παναθηναϊκοὶ ἑκκαίδεκα, ψυκτῆρες ἑκατὸν ἑξήκοντα· τούτων ὁ μέγιστος ἦν μετρητῶν ἕξ, ὁ δὲ ἐλάχιστος δύο. Ταῦτα μὲν οὖν ἦν ἅπαντα ἀργυρᾶ.

« Ἐχόμενοι δὲ τούτων ἐπόμπευον οἱ τὰ χρυσώματα φέροντες, κρατῆρας Λακωνικοὺς τέτταρας, ἔχοντας στεφάνους ἀμπελίνους. Τετραμέτρητοι ἕτεροι, Κορινθιουργεῖς δύο (οὗτοι δ' εἶχον ἄνωθεν καθήμενα περιφανῆ τετορνευμένα ζῷα, καὶ ἐν τῷ τραχήλῳ καὶ ἐν ταῖς γάστραις πρόστυπα, ἐπιμελῶς πεποιημένα· ἐχώρει δ' ἕκαστος μετρητὰς ὀκτώ) ἐπ' ἐγγυθήκαις. Καὶ ληνὸς, ἐν ᾗ ἦσαν βῖκοι δέκα· ὁλκεῖα δύο, ἑκάτερον χωροῦν μετρητὰς πέντε· κώθωνες διμέτρητοι δύο (cf. fr. 5)· ψυκτῆρες εἴκοσι δύο, ὧν ὁ μέγιστος ἐχώρει μετρητὰς τριάκοντα, ὁ δὲ ἐλάχιστος μετρητήν. Ἐπόμπευσαν δὲ τρίποδες χρυσοῖ μεγάλοι τέτταρες· καὶ

---

pallam autem circumjectam habebat Laconicam. Surgebat hoc simulacrum ex machinatione ingeniose fabrefacta, nemine manum admovente; et, postquam ex aurea phiala lac libasset, rursus residebat. Læva thyrsum tenebat fasciis coronatum; capiti coronam impositam habebat hederaceam ex auro, cum racemis ex gemmis multi pretii. Umbraculum statuam tegebat: et in quattuor plaustri angulis defixæ erant lampades quattuor multo auro fulgentes. Inde rursus aliud plaustrum, longitudine viginti cubitorum, latitudine sedecim, trahebatur ab hominibus trecentis: super quo constructum erat *torcular* viginti quattuor cubitorum in longitudinem, quattuordecim in latitudinem, plenum uvarum. Calcabantque torcular sexaginta Satyri, canticum vindemiale ad tibiam canentes, quibus præerat Silenus, et per totam viam fluebat mustum. Post, aliud transvehebatur plaustrum, longitudine cubitorum viginti quinque, latitudine quattuordecim: quod viri trahebant sexcenti. Super hoc erat *uter*, tria millia continens metretarum, *ex pardalidum pellibus consutus*: fluebat autem et hic per totam viam, paulatim emisso vino. Eum sequebantur Satyri et Sileni centum et viginti, coronati, gestantes alii urceos, phialas alii, alii magna thericlea quæ vocantur pocula, omnia ex auro.

« Inde *crater* sequebatur argenteus, sexcentos metretas capiens, super plaustro a viris sexcentis tracto. Habebat ille et sub labiis et sub auribus et in basi figuras animantium aliasque cælatas: medius autem præcinctus erat aureo serto gemmis distincto. Deinde ferebantur duo *poculorum repositoria* [sive, *pocula*] argentea cubitorum duodecim, altitudine sex cubitorum. Hæc superne habebant figuras eminentes, et in ventre circumcirca; et in pedibus alias, sesquicubitales et cubitales, magno numero. Tum solia ampla decem, et crateres sedecim, quorum majores capiebant metretas triginta, minimi vero metretas quinque. Deinde lebetes sex, monoti viginti quattuor, super repositoriis quinque: et torcularii lacus argentei duo, super quibus urnæ erant viginti quattuor: et mensa tota argentea, duodecim cubitorum, aliæque triginta, cubitorum sex. Ad hæc *tripodes* quattuor: quorum unus, perimetrum sedecim cubitorum, totus argenteus erat; tres reliqui, minores, in medio gemmis erant distincti. Post istos ferebantur Delphici tripodes argentei quadrangulares, prædictis minores, numero LXXX: hydriæ XXVI: amphoræ Panathenaicæ XVI: refrigeratoria vasa CLX; quorum maximum metretas capiebat sex, minimum duo. Hæc igitur omnia *argentea* erant.

« Proximi incedebant, qui *aurea vasa* gestabant: crateres Laconicos quattuor, coronis pampineis cinctos, quattuor metretas capientes. Alii duo erant operis Corinthii, super repositoriis: habebantque hi superne sedentes figuras integras luculenter cælatas, aliasque anaglyphas in collo et in ventre; capiebantque singuli metretas octo. Tum lacus torcularius, in quo erant urnæ decem: labra duo, capiens utrumque metretas quinque: cothones duo, metretas binos

χρυσωματοθήκη χρυσῆ διάλιθος, πηχῶν δέκα ὕψος, ἔχουσα βασμοὺς ἓξ, ἐν οἷς καὶ ζῷα τετραπάλαιστα, ἐπιμελῶς πεποιημένα, πολλὰ τὸν ἀριθμόν· καὶ κυλικεῖα δύο, καὶ ὑάλινα διάχρυσα δύο· ἐγγυθῆκαι χρυσαῖ τετραπήχεις δύο, ἄλλαι ἐλάττους τρεῖς, ὑδρίαι δέκα, βωμὸς τρίπηχυς, μαζονόμια εἴκοσι πέντε. Μετὰ δὲ ταῦτα ἐπορεύοντο παῖδες χίλιοι καὶ ἑξακόσιοι, ἐνδεδυκότες χιτῶνας λευκοὺς, ἐστεφανωμένοι οἱ μὲν κισσῷ, οἱ δὲ πίτυϊ· ὧν διακόσιοι μὲν καὶ πεντήκοντα χοεῖς εἶχον χρυσοῦς, τετρακόσιοι δὲ ἀργυροῦς, ἕτεροι δὲ τριακόσιοι καὶ εἴκοσι ψυκτήρια ἔφερον χρυσᾶ, οἱ δὲ ἀργυρᾶ. Μεθ' οὓς ἄλλοι παῖδες ἔφερον κεράμια πρὸς τὴν τοῦ γλυκισμοῦ χρείαν· ὧν εἴκοσι μὲν ἦν χρυσᾶ, πεντήκοντα δὲ ἀργυρᾶ, τριακόσια δὲ κεκηρογραφημένα χρώμασι παντοίοις. Καὶ κερασθέντων ἐν ταῖς ὑδρίαις καὶ πίθοις πάντες κοσμίως ἐγλυκάνθησαν οἱ ἐν τῷ σταδίῳ. »

Ἑξῆς τούτοις καταλέγει τετραπήχεις τραπέζας· ἐφ' ὧν πολλὰ θέας ἄξια πολυτελῶς κατεσκευασμένα περιήγετο θεάματα. « Ἐν οἷς καὶ ὁ τῆς Σεμέλης θάλαμος, ἐν ᾧ ἔχουσι χιτῶνας τινὲς διαχρύσους καὶ λιθοκολλήτους τῶν πολυτιμήτων. Οὐκ ἄξιον δ' ἦν παραλιπεῖν τήνδε τὴν τετράκυκλον, μῆκος οὖσαν πηχῶν εἴκοσι δύο, πλάτος τεσσαρεσκαίδεκα, ὑπὸ ἀνδρῶν ἑλκομένην πεντακοσίων· ἐφ' ἧς ἄντρον ἦν βαθὺ καθ' ὑπερβολὴν κισσῷ καὶ μίλτῳ. Ἐκ τούτου περιστεραὶ καὶ φάσσαι καὶ τρυγόνες καθ' ὅλην ἐξίπταντο τὴν ὁδὸν, λημνίσκοις τοὺς πόδας δεδεμέναι πρὸς τὸ ῥᾳδίως ὑπὸ τῶν θεωμένων ἁρπάζεσθαι. Ἀνέβλυζον δὲ ἐξ αὐτοῦ καὶ κρουνοὶ δύο, ὁ μὲν γάλακτος, ὁ δὲ οἴνου. Πᾶσαι δ' αἱ περὶ αὐτὸν Νύμφαι στεφάνους εἶχον χρυσοῦς· ὁ δὲ Ἑρμῆς καὶ κηρύκειον χρυσοῦν, ἐσθῆτας δὲ πολυτελεῖς. Ἐπὶ δὲ ἄλλης τετρακύκλου, ἣ περιεῖχε τὴν ἐξ Ἰνδῶν κάθοδον Διονύσου, Διόνυσος ἦν δωδεκάπηχυς, ἐπ' ἐλέφαντος κατακείμενος, ἠμφιεσμένος προφυρίδα, καὶ στέφανον κισσοῦ καὶ ἀμπέλου χρυσοῦν ἔχων, εἶχεν ἐν ταῖς χερσὶ θυρσόλογχον χρυσοῦν· ὑπεδέδετο δ' ἐμβάδας χρυσογραφεῖς. Προεκάθητο δ' αὐτοῦ ἐπὶ τῷ τραχήλῳ τοῦ ἐλέφαντος σατυρίσκος πεντάπηχυς, ἐστεφανωμένος πίτυος στεφάνῳ χρυσῷ, τῇ δεξιᾷ αἰγείῳ κέρατι χρυσῷ σημαίνων. Ὁ δὲ ἐλέφας σκευὴν εἶχε χρυσῆν, καὶ περὶ τῷ τραχήλῳ κίσσινον χρυσοῦν στέφανον. Ἠκολούθουν δὲ τούτῳ παιδίσκαι πεντακόσιαι, κεκοσμημέναι χιτῶσι πορφυροῖς, χρυσῷ διεζωσμέναι. Ἐστεφάνωντο δὲ αἱ μὲν ἡγούμεναι ἑκατὸν εἴκοσι χρυσοῖς πιτυΐνοις στεφάνοις, ἠκολούθουν δὲ αὐταῖς Σάτυροι ἑκατὸν εἴκοσι, πανοπλίας οἱ μὲν ἀργυρᾶς, οἱ δὲ χαλκᾶς ἔχοντες. Μετὰ δὲ τούτους ἐπορεύοντο ὄνων ἶλαι πέντε, ἐφ' ὧν ἦσαν Σειληνοὶ καὶ Σάτυροι ἐστεφανωμένοι. Τῶν δὲ ὄνων οἱ μὲν χρυσᾶς, οἱ δὲ ἀργυρᾶς προμετωπίδας καὶ σκευασίας εἶχον.

« Μετὰ δὲ τούτους ἐλεφάντων ἅρματα ἀφείθη εἴκοσι τέσσαρα, καὶ συνωρίδες τράγων ἑξήκοντα, κώλων δώδεκα, ὀρύγων ἑπτὰ, βουβάλων πεντεκαίδεκα, στρουθῶν συνωρίδες ὀκτὼ, ὀνελάφων ἑπτὰ, καὶ συνωρίδες τέσσαρες ὄνων ἀγρίων, ἅρματα τέσσαρα. Ἐπὶ δὲ

---

capientes; vasa refrigeratoria viginti duo; quorum maximum capiebat triginta metretas; minimum, metretam. Transferebantur etiam tripodes aurei magni quattuor : et aureæ supellectilis repositorium aureum gemmis distinctum, decem cubitorum altitudine, gradus habens sex, e quibus eminebant magno numero figuræ exstantes in quattuor palmorum altitudinem, solerter fabrefactæ : et poculorum armaria duo aurea, itemque duo vitrea (*sive* crystallina) auro distincta : scrinia aurea duo, cubitorum quattuor; alia minora tria; hydriæ decem; ara tricubitalis; lances distribuendis mazis inservientes viginti duæ. Post hæc ingrediebantur pueri mille et sexcenti, albis tunicis vestiti, coronati alii hedera, alii pinea : quorum ducenti et quinquaginta ferebant congios aureos, quadringenti vero argenteos; alii vero trecenti et viginti, ferebant vasa refrigeratoria aurea, reliqui vero argentea. Post hos alii pueri lagenas gestabant ad gustandum mustum, viginti aureas, quinquaginta argenteas, trecentas vero ceris pictas, variis colorum generibus. Et liquore in has ex hydriis et doliis misto, modeste demulsi sunt omnes qui in stadio erant. »

Post hæc commemorat idem auctor mensas quattuor cubitorum, super quibus multa visu digna pretiose elaborata circumferebantur spectacula. « In his erat *Semeles thalamus nuptialis* : in quo conspiciebantur signa tunicas induta auro et gemmis distincta pretiosissimis. Nec vero par erat prætermittere plaustri illius commemorationem, cujus longitudo cubitorum erat viginti duorum, latitudo cubitorum quattuordecim; trahebatur autem ab hominibus quingentis. Super quo *antrum* erat mirum in modum hedera et taxo umbratum : e quo columbæ, et palumbi et turtures per totam evolabant viam, fasciolis pedes ligati, quo facilius caperentur a spectatoribus. Ex eodem antro duo scaturiebant fontes; alter lac, vinum alter fundens. Nymphæ autem omnes, quæ deo præsto sunt, [*sive*, quæ circa antrum sunt,] coronas gestabant aureas; Mercurius vero etiam caduceum aureum, et vestes pretiosas. In alio plaustro, quo *reditus Bacchi ex India* continebatur, Bacchus erat duodecim cubitorum; elephanto insidens, purpura vestitus, et corona ornatus aurea hederacea et pampinea, manibus thyrsum aureum tenens mucronatum, soleis calceatus auro pictis. Ante ipsum, collo elephanti insidebat Satyriscus quinquecubitalis, coronatus corona pinea ex auro, dextra vero caprinum cornu tenens, quasi signum daret. Aureus elephanti ornatus erat; et collum corona hederacea ex auro cinctum. Sequebantur hunc puellæ quingentæ, purpureis ornatæ tunicis, et auro cinctæ : coronatæ autem erant centum et viginti, quæ ceteris præibant, pineis coronis aureis. Has sequebantur Satyri centum et viginti, toto corpore armati, argenteis alii armis, alii æneis. Post hos incedebant asinorum turmæ quinque, quibus insidebant Sileni Satyrique coronati. Asinorum alii frontalia reliquumque ornatum ex auro habebant, alii ex argento.

« Post hos prodierunt *elephantorum* currus viginti quattuor; et caprorum bigæ sexaginta; *colorum* [e cervino genere animans est] duodecim; orygum septem; bubalorum

πάντων τούτων ἀναβεβήκει παιδάρια, χιτῶνας ἔχοντα ἡνιοχικοὺς καὶ πετάσους. Παραναβεβήκει δὲ παιδισκάρια, διεσκευασμένα πελταρίοις καὶ θυρσολόγχοις, κεκοσμημένα ἱματίοις καὶ χρυσίοις. Ἐστεφάνωτο δὲ τὰ μὲν ἡνιοχοῦντα παιδάρια πίτυϊ, τὰ δὲ παιδισκάρια κισσῷ. Ἐπῆσαν δὲ καὶ συνωρίδες καμήλων, ἐξ ἑκατέρου μέρους τρεῖς· αἷς ἐπηκολούθουν ἀπῆναι ὑφ' ἡμιόνων ἀγόμεναι. Αὗται δ' εἶχον σκηνὰς βαρβαρικάς, ἐφ' ὧν ἐκάθηντο γυναῖκες Ἰνδαὶ καὶ ἕτεραι, κεκοσμημέναι ὡς αἰχμάλωτοι. Κάμηλοι δ' αἱ μὲν ἔφερον λιβανωτοῦ μνᾶς τριακοσίας, σμύρνης τριακοσίας, κρόκου καὶ κασσίας καὶ κινναμώμου καὶ ἴριδος καὶ τῶν λοιπῶν ἀρωμάτων διακοσίας. Ἐχόμενοι τούτων ἦσαν Αἰθίοπες δωροφόροι, ὧν οἱ μὲν ἔφερον ὀδόντας ἑξακοσίους, ἕτεροι δὲ ἐβένου κορμοὺς δισχιλίους, ἄλλοι χρυσοῦς καὶ ἀργυροῦς κρατῆρας ἑξήκοντα, καὶ ψήγματα χρυσίου. Μεθ' οὓς ἐπόμπευσαν κυνηγοὶ δύο, ἔχοντες σιβύνας ἐπιχρύσους. Ἤγοντο δὲ καὶ κύνες δισχίλιοι τετρακόσιοι, οἱ μὲν Ἰνδοὶ, οἱ λοιποὶ δὲ Ὑρκανοὶ καὶ Μολοσσοὶ καὶ ἑτέρων γενῶν. Ἑξῆς ἄνδρες ἑκατὸν πεντήκοντα, φέροντες δένδρα, ἐξ ὧν ἀνήρτητο θηρία παντοδαπὰ καὶ ὄρνεα. Εἶτ' ἐφέροντο ἐν ἀγγείοις ψιττακοὶ, καὶ ταῴ, καὶ μελεαγρίδες, καὶ φασιανοὶ ὄρνιθες, καὶ ἄλλοι Αἰθιοπικοὶ, πλήθει πολλοί. » (Cf. fr. 6.) Εἰπὼν δὲ καὶ ἄλλα πλεῖστα, καὶ καταλέξας ζώων ἀγέλας, ἐπιφέρει· « Πρόβατα Αἰθιοπικὰ ἑκατὸν τριάκοντα, Ἀράβια τριακόσια, Εὐβοϊκὰ εἴκοσι, ὁλόλευκοι βόες Ἰνδικοὶ εἴκοσι ἕξ, Αἰθιοπικοὶ ὀκτὼ, ἄρκτος μὲν λευκὴ μεγάλη μία, παρδάλεις τεσσαρεκαίδεκα, πάνθηρες ἑκκαίδεκα, λυγκία τέσσαρα, ἄρκηλοι τρεῖς, καμηλοπάρδαλις μία, ῥινόκερως Αἰθιοπικὸς εἷς.

« Ἑξῆς ἐπὶ τετρακύκλου Διόνυσος περὶ τὸν τῆς Ῥέας βωμὸν καταπεφευγὼς, ὅτε ὑπὸ Ἥρας ἐδιώκετο, στέφανον ἔχων χρυσοῦν, Πριάπου αὐτῷ παρεστῶτος, ἐστεφανωμένου χρυσῷ κισσίνῳ. Τὸ δὲ τῆς Ἥρας ἄγαλμα στεφάνην εἶχε χρυσῆν. Ἀλεξάνδρου δὲ καὶ Πτολεμαίου ἀγάλματα, ἐστεφανωμένα στεφάνοις κισσίνοις ἐκ χρυσοῦ. Τὸ δὲ τῆς Ἀρετῆς ἄγαλμα, τὸ παρεστὸς τῷ Πτολεμαίῳ, στέφανον εἶχεν ἐλαίας χρυσοῦν. Καὶ Πρίαπος δ' αὐτοῖς συμπαρῆν, ἔχων στέφανον κίσσινον ἐκ χρυσοῦ. Κόρινθος δ' ἡ πόλις, παρεστῶσα τῷ Πτολεμαίῳ, ἐστεφάνωτο διαδήματι χρυσῷ. Παρέκειντο δὲ πᾶσι τούτοις κυλικεῖον μεστὸν χρυσωμάτων, κρατήρ τε χρυσοῦς, μετρητῶν πέντε. Τῇ δὲ τετρακύκλῳ ταύτῃ ἠκολούθουν γυναῖκες, ἔχουσαι ἱμάτια πολυτελῆ καὶ κόσμον· προσηγορεύοντο δὲ πόλεις, αἵ τ' ἀπ' Ἰωνίας, καὶ λοιπαὶ Ἑλληνίδες, ὅσαι τὴν Ἀσίαν καὶ τὰς νήσους κατοικοῦσαι ὑπὸ τοὺς Πέρσας ἐτάχθησαν· ἐφόρουν δὲ πᾶσαι στεφάνους χρυσοῦς. Ἐφέρετο καὶ ἐπ' ἄλλων τετρακύκλων θύρσος ἐνενηκοντάπηχυς χρυσοῦς, καὶ λόγχη ἀργυρᾶ ἑξηκοντάπηχυς, καὶ ἐν ἄλλῃ φαλλὸς χρυσοῦς, πηχῶν ἑκατὸν εἴκοσι, διαγεγραμμένος, καὶ διαδεδεμένος στέμμασι διαχρύσοις, ἔχων ἐπ' ἄκρου ἀστέρα χρυσοῦν, οὗ ἦν ἡ περίμετρος πηχῶν ἕξ.

« Πολλῶν οὖν καὶ ποικίλων εἰρημένων ἐν ταῖς πομπαῖς ταύταις, μόνα ἐξελεξάμεθα, ἐν οἷς ἦν χρυσὸς

quindecim; struthionum bigæ octo; onelaphorum septem; et asinorum silvestrium bigæ quattuor, totidemque quadrigæ. Quibus omnibus insidebant pueruli, aurigarum habitu, petasati: juxta illos sedebant puelli minores, pelta armati et thyrso mucronato, eleganti vestitu, et multo auro ornati: ac coronati quidem erant aurigantes pueri pineis coronis; puelli comites, hederaceis. Sequebantur bigæ camelorum ab utraque parte tres: quas excipiebant carpenta a mulis tracta. His imposita erant tentoria barbarica, in quibus sedebant mulieres Indicæ aliæque, captivarum habitu. Cameli [deinde alii] portabant thuris libras trecentas, myrrhæ trecentas; croci, et cassiæ, et cinnamomi et iridis et aliorum aromatum, ducentas. Proxime sequebantur Æthiopes dona ferentes: quorum alii gestabant dentes elephantorum sexcentas; alii, stipitum ebeni duo millia; alii, aureos et argenteos crateras sexaginta, et ramenta auri. Tum procedebant venatores duo [*forte*, bis mille,] venabula gestantes inaurata. Ducebantur vero etiam canes bis mille quadringenti: alii Indici, ceteri Hyrcani, Molossi, et aliorum generum. Deinde viri centum et quinquaginta gestabant arbores, quibus alligatæ erant feræ omnis generis et aves. Tum ferebantur, in caveis, psittaci, et pavones, et meleagrides, et phasiani, et aliæ aves Æthiopicæ, ingenti copia. » Alia insuper plurima postquam enarravit idem auctor, gregesque multos commemoravit animalium, hæc subjungit: « Oves Æthiopicæ centum et triginta, Arabicæ trecentæ, Euboicæ viginti, albi boves Indici viginti sex, Æthiopici octo, ursus albus ingentis staturæ unus, pardales quattuordecim, pantheræ sedecim, lynces quattuor, *arceli* [ex pardalium genere] tres, *camelopardalis* una, rhinoceros Æthiopicus unus.

« Deinde super plaustro cernebatur *Bacchus ad Rheæ aram confugiens*, quum eum Juno persequeretur: aurea corona cinctus erat, adstabatque ei Priapus, hederacea corona ex auro coronatus. Junonis vero simulacrum limbum habebat aureum. *Alexandri* vero et *Ptolemæi* signa coronis hederaceis ex auro erant redimita: Virtutis signum vero, adstans Ptolemæo, coronam habebat oleagineam ex auro. Et cum his quoque Priapus aderat, corona hederacea ex auro cinctus. Corinthus vero civitas, Ptolemæo adstans, diademate aureo redimita erat. In eodem cum his omnibus vehiculo locatum erat poculorum repositorium, vasis aureis onustum; et crater aureus, quinque capiens metretas. Hoc vehiculum sequebantur mulieres, pretiosis vestibus reliquoque cultu ornatæ: his nomina erant civitatum, partim Ionicarum, partim aliarum Græcarum, quotquot vel Asiam vel insulas incolentes Persis paruerant: erant autem omnes aureis coronis redimitæ. Transvehebantur porro aliis vehiculis Thyrsus aureus nonaginta cubitorum, et lancea argentea cubitorum sexaginta. Et in alio, Phallus aureus cubitorum centum et viginti, varie pictus, et sertis revinctus auro distinctis: in vertice stellam habebat, cujus circumferentia sex cubitorum.

« Tam multa igitur, tamque varia quum in his pompis commemoraverimus, ea sola selegimus in quibus aurum

καὶ ἄργυρος. Καὶ γὰρ διαθέσεις πολλαὶ ἀκοῆς ἦσαν ἄξιαι, καὶ θηρίων πλήθη, καὶ ἵππων, καὶ λέοντες παμμεγέθεις εἴκοσι καὶ τέσσαρες. Ἦσαν δὲ καὶ ἄλλαι τετράκυκλοι, οὐ μόνον εἰκόνας βασιλέων φέρουσαι, ἀλλὰ καὶ θεῶν πολλαί. Μεθ' ἃς χορὸς ἐπόμπευσεν ἀνδρῶν ἑξακοσίων· ἐν οἷς κιθαρισταὶ συνεφώνουν τριακόσιοι, ἐπιχρύσους ἔχοντες ὅλας κιθάρας καὶ στεφάνους χρυσοῦς. Μεθ' οὓς ταῦροι διῆλθον δισχίλιοι ὁμοιοχρώματοι, χρυσοκέρῳ, προμετωπίδας χρυσᾶς καὶ ἀνὰ μέσον στεφάνους ὅρμους τε καὶ αἰγίδας πρὸ τῶν στηθῶν ἔχοντες· ἦν δ' ἅπαντα ταῦτα χρυσᾶ.

« Καὶ μετὰ ταῦτα Διὸς ἤγετο πομπὴ καὶ ἄλλων παμπόλλων θεῶν, καὶ ἐπὶ πᾶσιν Ἀλεξάνδρου, ὃς ἐφ' ἅρματος ἐλεφάντων ἀληθινῶν ἐφέρετο χρυσοῦς, Νίκην καὶ Ἀθηνᾶν ἐξ ἑκατέρου μέρους ἔχων. Ἐπόμπευσαν δὲ καὶ θρόνοι πολλοί, ἐξ ἐλέφαντος καὶ χρυσοῦ κατεσκευασμένοι· ὧν ἐφ' ἑνὸς ἔκειτο στεφάνη χρυσῆ, ἐπ' ἄλλου δίκερας χρυσοῦν, ἐπ' ἄλλου δὲ ἦν στέφανος χρυσοῦς, καὶ ἐπ' ἄλλου δὲ κέρας ὁλόχρυσον. Ἐπὶ δὲ τὸν Πτολεμαίου τοῦ Σωτῆρος θρόνον στέφανος ἐπέκειτο ἐκ μυρίων κατεσκευασμένος χρυσῶν. Ἐπόμπευσε δὲ καὶ θυμιατήρια χρυσᾶ τριακόσια καὶ πεντήκοντα, καὶ βωμοὶ δὲ ἐπίχρυσοι, ἐστεφανωμένοι χρυσοῖς στεφάνοις· ὧν ἑνὶ παρεπεπήγεσαν δᾷδες χρυσαῖ δεκαπήχεις τέσσαρες. Ἐπόμπευσαν δὲ καὶ ἐσχάραι ἐπίχρυσοι δώδεκα· ὧν ἡ μὲν δωδεκάπηχυς τῇ περιμέτρῳ, τεσσαρακοντάπηχυς ὕψει, ἡ δὲ πηχῶν πεντεκαίδεκα. Ἐπόμπευσαν δὲ καὶ Δελφικοὶ τρίποδες χρυσοῖ ἐννέα, ἐκ πηχῶν τεσσάρων· ἄλλοι ὀκτώ, πηχῶν ἕξ· ἄλλος πηχῶν τριάκοντα, ἐφ' οὗ ἦν ζῷα χρυσᾶ πενταπήχη, καὶ στέφανος κύκλῳ χρυσοῦς ἀμπέλινος. Παρῆλθον δὲ καὶ φοίνικες ἐπίχρυσοι ὀκταπήχεις ἑπτά, καὶ κηρύκειον ἐπίχρυσον πηχῶν τεσσαράκοντα πέντε, καὶ κεραυνὸς ἐπίχρυσος πηχῶν τεσσαράκοντα, ναός τε ἐπίχρυσος, οὗ ἡ περίμετρος πηχῶν τεσσαράκοντα· δίκερας πρὸς τούτοις ὀκτάπηχυ. Πολὺ δὲ καὶ ζῴων πλῆθος ἐπιχρύσων συνεπόμπευεν, ὧν ἦν τὰ πολλὰ δωδεκαπήχη· καὶ θηρία ὑπεράγοντα τοῖς μεγέθεσι, καὶ ἀετοὶ πηχῶν εἴκοσι. Στέφανοί τ' ἐπίχρυσοι ἐπόμπευσαν τρισχίλιοι διακόσιοι, ἕτερός τε μυστικὸς χρυσοῦς, λίθοις πολυτελέσι κεκοσμημένος, ὀγδοηκοντάπηχυς· οὗτος δὲ περιετίθετο τῷ τοῦ Βερενικείου θυρώματι, αἰγίς τε ὁμοίως χρυσῆ. Ἐπόμπευσαν δὲ καὶ στεφάναι χρυσαῖ πάνυ πολλαί, ἃς ἔφερον παιδίσκαι πολυτελῶς κεκοσμημέναι· ὧν μία δίπηχυς εἰς ὕψος, τὴν δὲ περίμετρον ἔχουσα ἑκκαίδεκα πηχῶν. Ἐπόμπευσε δὲ καὶ θώραξ χρυσοῦς πηχῶν δώδεκα, καὶ ἕτερος ἀργυροῦς πηχῶν ὀκτωκαίδεκα, *** ἐννέα, ἔχων ἐφ' ἑαυτὸν κεραυνοὺς χρυσοῦς δεκαπήχεις δύο, καὶ στέφανον δρυὸς διάλιθον· ἀσπίδες χρυσαῖ εἴκοσι, πανοπλίαι χρυσαῖ ἑξήκοντα τέσσαρες, κνημῖδες χρυσαῖ τριπήχεις δύο, λεκάναι χρυσαῖ δώδεκα, φιάλαι πολλαὶ πάνυ τὸν ἀριθμόν, οἰνοχόαι τριάκοντα, ἐξάλειπτρα μεγάλα δέκα, ὑδρίαι δώδεκα, μαζονόμια πεντήκοντα, τράπεζαι διάφοροι, κυλικεῖα χρυσωμάτων πέντε, κέρας ὁλόχρυσον πηχῶν τριάκοντα. Ταῦτα δὲ

erat aut argentum. Erant enim etiam alii multi apparatus memoratu digni, et animalium multitudo, et equorum, et leones eximiæ staturæ viginti quattuor. Erant vero et alia plaustra, non modo regum imagines, sed et deorum vehentia, bene multa. Post quæ chorus progrediebatur virorum sexcentorum : in quibus citharistæ trecenti concinebant, totas inauratas habentes citharas, et coronas aureas. Post hos transiere tauri bis mille, colore similes, cornibus inauratis, cum frontalibus aureis, et coronis inter cornua, et torquibus, et ægidibus ante pectora, cunctis aureis.

« Post ista ducebatur *Jovis pompa*, aliorumque plurimorum deorum : et postrema omnium *Alexandri*, qui in aureo transvehebatur curru, quem veri [*Indici* ?] trahebant elephanti : a latere utrimque adstabant ei Victoria et Minerva. Transvehebantur etiam sellæ multæ ex ebore et auro fabrefactæ : quarum super una positus erat aureus limbus; super alia, duplex cornu aureum; super alia, corona aurea; super alia, cornu ex solido auro totum. Super *Ptolemæi* vero *Soteris* sella posita corona erat ex aureis decies mille fabrefacta. Delata sunt quoque thuribula aurea trecenta et quinquaginta; et aræ auro obductæ, impositis aureis coronis : in earum ararum una firmatæ erant faces quattuor aureæ, cubitorum decem. Producti sunt etiam foci auro obducti duodecim : quorum unus perimetrum habebat cubitorum duodecim, altitudinem quadraginta cubitorum : alius, quindecim cubitos in ambitu habebat. Transferebantur porro Delphici tripodes aurei novem, quilibet quattuor cubitorum; alii octo, cubitorum sex; unus, triginta cubitorum, super quo exstabant figuræ aureæ quinquecubitales, et cingebat eum corona pampinea ex auro. Prætervehebantur porro palmæ arbores octocubitales inauratæ septem; et caduceus inauratus, cubitorum quadraginta quinque; fulmen inauratum, quadraginta cubitorum; et ædicula auro obducta, quadraginta cubitorum in circuitu; ad hæc, duplex cornu octo cubitorum. Ferebatur præterea simulacrorum auro obductorum magna multitudo, quorum pleraque duodecim cubitorum; et animantia immanis magnitudinis, et aquilæ viginti cubitorum. Tum coronæ aureæ deferebantur ter mille ducentæ : et alia *mystica corona* aurea, pretiosis lapidibus ornata, octoginta cubitorum (hæc fuit, qua cincta erat porta ædis Berenicæ;) et *ægis*, pariter aurea. Deferebantur item limbi aurei magno admodum numero, quos gestabant puellæ pretiose ornatæ : eorum unus erat, cujus altitudo duorum cubitorum, ambitus cubitorum sedecim. Lorica etiam cernebatur aurea, duodecim cubitorum : et alia argentea, cubitorum octodecim, *** novem, super qua erant fulmina aurea duo decemcubitalia, et corona querna gemmis distincta. Tum clypei aurei viginti; totius corporis armaturæ aureæ sexaginta quattuor; ocreæ aureæ trium cubitorum duæ; pelves aureæ duodecim; phialarum ingens multitudo; gutti vinarii triginta sex; unguentaria vasa magna decem; hydriæ duodecim; mazonomia quinquaginta; mensæ diversi generis; calicum aureorum repositoria quinque; cornu, totum ex auro, cubitorum triginta. Erant autem aurea ista vasa præter illa, quæ in Bacchi pompa delata sunt. Deinde sequebantur adhuc plaustra

τὰ χρυσώματα ἐκτὸς ἦν τῶν ἐν τῇ τοῦ Διονύσου πομπῇ διενεχθέντων. Εἶτ' ἀργυρωμάτων ἅμαξαι τετρακόσιαι, καὶ χρυσωμάτων εἴκοσι, ἀρωμάτων δὲ ὀκτακόσιαι.

« Ἐπὶ δὲ πᾶσιν ἐπόμπευσαν αἱ δυνάμεις αἱ ἱππικαὶ καὶ πεζικαὶ, πᾶσαι καθωπλισμέναι θαυμασίως. Πεζοὶ μὲν ἐς πέντε μυριάδας καὶ ἑπτακισχιλίους καὶ ἑξακοσίους, ἱππεῖς δὲ δισμύριοι τρισχίλιοι διακόσιοι. Πάντες δ' οὗτοι ἐπόμπευσαν, τὴν ἁρμόζουσαν ἑκάστῳ ἠμφιεσμένοι στολὴν, καὶ τὰς προσηκούσας ἔχοντες πανοπλίας. Ἐκτὸς δ' ὧν πάντες οὗτοι εἶχον πανοπλιῶν, καὶ ἄλλαι πλεῖσται ἦσαν ἀποκείμεναι, ὧν οὐδὲ τὸν ἀριθμὸν ἀναγράψαι ῥᾴδιον· » Κατέλεξε δ' αὐτὸν ὁ Καλλίξενος. « Ἐστεφανώθησαν δ' ἐν τῷ ἀγῶνι καὶ στεφάνοις χρυσοῖς εἴκοσι· Πτολεμαῖος δὲ ὁ πρῶτος καὶ Βερενίκη εἴκοσι τρισὶν ἐφ' ἁρμάτων χρυσῶν καὶ τεμένεσιν ἐν Δωδώνῃ. Καὶ ἐγένετο τὸ δαπάνημα τοῦ νομίσματος τάλαντα δισχίλια διακόσια τριάκοντα ἐννέα, μναῖ πεντήκοντα· καὶ ταῦτ' ἠριθμήθη πάντα παρὰ τοῖς οἰκονόμοις, διὰ τὴν τῶν στεφανούντων προθυμίαν, πρὸ τοῦ τὰς θέας παρελθεῖν. Ὁ δὲ Φιλάδελφος Πτολεμαῖος, υἱὸς αὐτῶν, εἴκοσι χρυσαῖς, δυσὶ μὲν ἐφ' ἁρμάτων χρυσῶν, ἐπὶ δὲ κιόνων ἑξαπήχει μιᾷ, πενταπήχεσι πέντε, τετραπήχεσιν ἕξ. » Multa in his obscura sunt. Adi interpretes.

3.

Ad hanc pompæ descriptionem sæpius respicit Athenæus locis hisce : XI, p. 474, E : Καρχήσιον. Καλλίξενος ὁ Ῥόδιος ἐν τοῖς Περὶ Ἀλεξανδρείας φησὶν, ὅτι ποτήριόν ἐστιν ἐπίμηκες, συνηγμένον εἰς μέσον ἐπιεικῶς, ὦτα ἔχον μέχρι τοῦ πυθμένος καθήκοντα.

Idem XI, p. 472, A : Ἀδαῖος δ' ἐν τοῖς Περὶ διαθέσεως, τὸ αὐτὸ ὑπολαμβάνει θηρίκλειον εἶναι καὶ καρχήσιον. Ὅτι δὲ διαφέρει, σαφῶς παρίστησι Καλλίξενος, ἐν τοῖς Περὶ Ἀλεξανδρείας φάσκων, τινὰς ἔχοντας θηρικλείους πομπεύειν, τοὺς δὲ καρχήσια. Ὁποῖον δ' ἐστὶ τὸ καρχήσιον, ἐν τοῖς ἑξῆς λεχθήσεται.

Idem V, p. 210, A : Ἐν τούτοις ὁ Λυσίας εἰπὼν ὅτι καὶ χαλκῆ ἦν ἡ ἐγγυθήκη, σαφῶς παρίστησιν, ὡς καὶ ὁ Καλλίξενος εἴρηκε, λεβήτων αὐτὰς ὑποθήματα εἶναι. Οὕτως γὰρ καὶ Πολέμων κ. τ. λ. (v. fr. 58.) Cf. Harpocration v. ἐγγυθήκη : Εἴη δ' ἂν σκεῦός τι πρὸς τὸ κρατῆρας ἢ λέβητας ἤ τι τοιούτων οὐχ ἀλλότριον ἐπικεῖσθαι ἐπιτήδειον εἶναι, ὡς Καλλίξενός τε ἐν δ' Περὶ Ἀλεξανδρείας ὑποσημαίνει, καὶ Δαΐμαχος ὁ Πλαταιεὺς ἐν β' Περὶ Ἰνδικῆς (fr. 4).

XI, p. 483, F : Καλλίξενος δ' ἐν τετάρτῳ Περὶ Ἀλεξανδρείας, ἀναγράφων τὴν τοῦ Φιλαδέλφου πομπὴν, καὶ καταλέγων πολλὰ ἐκπώματα, γράφει καὶ τάδε· « Κώθωνες διμέτρητοι δύο. »

IX, p. 387, C : Καλλίξενος δ' ὁ Ῥόδιος ἐν τετάρτῃ Περὶ Ἀλεξανδρείας, διαγράφων τὴν γενομένην πομπὴν ἐν Ἀλεξανδρείᾳ Πτολεμαίου τοῦ Φιλαδέλφου καλουμένου βασιλέως, ὡς μέγα θαῦμα περὶ τῶν ὀρνίθων τούτων οὕτως γράφει· « Εἶτα ἐφέροντο ἐν ἀγγείοις ψιττακοὶ καὶ ταῲ καὶ μελεαγρίδες καὶ φασιανοὶ καὶ ὄρνιθες Αἰθιοπικοὶ πλήθει πολλοί. »

Adde XV, p. 677, D : Σειληνὸς δ' ἐν ταῖς Γλώσσαις φησίν· « Ἴσθμὸν στέφανον. » Φιλητᾶς δέ φησι· « Στέφανος. Ἤγουν ὁμωνυμία ἀμφοτέρωθι, οἷον τῆς κεφαλῆς καὶ τοῦ πρώτου κόσμου. Λέγω δὲ τὸ ἐπὶ τοῦ φρέατος καὶ τοῦ ἐγχειριδίου ἴσθμιον. » Τιμαχίδας δὲ καὶ Σιμίας, οἱ Ῥόδιοι, ἀποδιδόασιν ἓν ἀνθ' ἑνὸς « Ἴσθμιον, στέφανον, » οὗ μνημονεύει καὶ Καλλίξενος, ὁ Ῥόδιος καὶ αὐτὸς γένος, ἐν τοῖς Περὶ Ἀλεξανδρείας γράφων οὕτως.* * * *.

4.

Plinius H. N. XXXVI, 9, 14 : *Alexandriæ statuit unum* (obeliscum) *octoginta cubitorum Ptolemæus Philadelphus, quem exciderat Nectabis rex purum : majusque opus fuit in devehendo statuendove multo, quam in exscindendo, et Satyro architecto aliqui devectum tradunt rate : Callixenus a Phœnice, fossa perducta usque jacentem obeliscum e Nilo. Navesque duas in latitudinem patulas, pedalibus ex eodem lapide ad rationem geminati per duplicem mensuram ponderis oneratas, ita ut subirent obeliscum pendentem extremitatibus suis in ripis utrinque : postea ejectis laterculis allevatas naves excepisse onus statutum. Excisos autem sex tales in monte eodem, et artificem donatum talentis quinquaginta. Hic fuit in Arsinoe positus a rege supra dicto, munus amoris in conjugem eandemque sororem, Arsinoen.* Pro *Callixenus* Harduinus edidit *Callisthenes*. Perperam.

---

vasorum argenteorum quadringenta, et aureorum vasorum viginti, aromatum vero octingenta.

« Post ista omnia in pompa procedebant *copiæ* et *equestres et pedestres*, admirabilem in modum omnes armatæ. Erat autem peditum numerus centum quinquaginta septem millium et sexcentorum : equitum vero numerus viginti trium millium et ducentorum. Hi igitur omnes prodibant, congruente cuique generi veste induti, et conveniente totius corporis armatura tecti. Præter armaturas vero, quibus omnes induti erant, plurimæ aliæ in horreis erant repositæ, quarum difficile est numerum inire. » (Iniit tamen eum Callixenus.) « Coronati vero sunt in certamine etiam coronis aureis viginti : Ptolemæus vero primus et Berenice viginti tribus, super curribus aureis, et delubris Dodonæ (?). Et fuit impensa pecuniæ, talenta bis mille ducenta triginta novem, minæ quinquaginta : et hæc omnia numerata sunt apud administratores fisci, propter coronantium studium, priusquam finita essent spectacula. Philadelphus vero Ptolemæus, filius illorum, viginti aureis coronis : duabus quidem super curribus aureis; in columnis vero, sexcubitali una, quinquecubitalibus quinque, quatricubitalibus sex. »

ΖΩΓΡΑΦΩΝ ΚΑΙ ΑΝΔΡΙΑΝΤΟΠΟΙΩΝ ΑΝΑΓΡΑΦΗ.

Photius cod. 161 de Sopatri Eclogis: Ὁ δὲ δωδέκατος αὐτῷ λόγος συνήθροισται ἐξ ἄλλων τε διαφόρων καὶ ἐκ τῆς τοῦ Καλλιξένου ζωγράφων καὶ ἀνδριαντοποιῶν ἀναγραφῆς.

PTOLEMÆUS MEGALOPOLITANUS.

« Ptolemæi Euergetæ et Philopatoris temporibus floruisse videtur Ptolemæus, Agesarchi filius, Megalopolitanus, qui historiam scripsit Ptolemæi Philopatoris, quarti regis Ægyptii. Nec cur homo Megalopolitanus res ejus gestas scriberet, caussa nulla erat. Nam Cleomenes, rex Spartanus, Megalopolim frustra obsistente Philopœmene ceperat, diripuerat, incenderat. Paullo post vero ab Antigono, qui Achæis venerat auxilio, devictus in Ægyptum fugerat ad Ptolemæum Euergetem, qui opem ei promisit adversus Achæos. Sed altero post anno moritur Euergetes, succedit vero Philopator, qui Cleomenem in carcerem compegit. Ita Achæi, quibus et se junxerant Megalopolitani, Philopatoris beneficio liberati fuerunt gravissimi belli metu, quod a Cleomene et Ægyptiis impendebat. Nec indignus plane erat Philopator, cujus res gestæ proderentur: nam imperium quidem auspicatus fuit a parricidio, homo impius; sed multa tamen strenue gessit, præsertim adversus Antiochum M. Nam ereptam ei Cœlesyriam iterum Ægyptio addidit regno. Ista igitur aliaque hic Agesarchi filius persequebatur. » Hæc Vossius noster De Hist. gr. p. 157.

Ceterum dubitari vix potest quin noster Ptolemæus intelligendus sit apud Polybium XVIII, 38, 8, ubi hæc: Ὁ γὰρ προειρημένος ἀνὴρ (sc. Polycrates Argivus) καὶ κατὰ τὸν πατέρα μὲν (sc. Ptolemæi Epiphanis), ἔτι νέος ὤν, οὐδενὸς δοκεῖ τῶν περὶ τὴν αὐλὴν δευτερεύειν, οὔτε κατὰ τὴν πίστιν, οὔτε κατὰ τὰς πράξεις· ὁμοίως δὲ κατὰ τὸν ἐνεστῶτα βασιλέα. Πιστευθεὶς γὰρ τῆς Κύπρου καὶ τῶν ἐν ταύτῃ προσόδων ἐν καιροῖς ἐπισφαλέσι καὶ ποικίλοις, οὐ μόνον διεφύλαξε τῷ παιδὶ τὴν νῆσον, ἀλλὰ καὶ πλῆθος ἱκανὸν ἤθροισε χρημάτων, ἃ τότε παρεγεγόνει κομίζων τῷ βασιλεῖ, παραδεδωκὼς τὴν ἀρχὴν τῆς Κύπρου Πτολεμαίῳ τῷ Μεγαλοπολίτῃ (Ol. 145, 4. 197). Τυχὼν δὲ διὰ ταῦτα μεγάλης ἀποδοχῆς καὶ περιουσίας ἐν τοῖς ἑξῆς χρόνοις, μετὰ ταῦτα, προβαινούσης τῆς ἡλικίας, ὁλοσχερῶς εἰς ἀσέλγειαν ἐξώκειλε καὶ βίον ἀσυρῆ. Παραπλησίαν δέ τινα τούτῳ φήμην ἐκληρονόμησεν ἐπὶ γήρως καὶ Πτολεμαῖος ὁ Ἀγησάνδρου (Ἀγησάρχου scr.). Περὶ ὧν, ὅταν ἐπὶ τοὺς καιροὺς ἔλθωμεν, οὐκ ὀκνήσομεν διασαφεῖν τὰ παρακολουθήσαντα ταῖς ἐξουσίαις αὐτῶν ἀπρεπῆ.

Idem XXVII, 12 (Ol. 152, 1. 172 a. C.): Πτολεμαῖος, ὁ στρατηγὸς ὁ κατὰ Κύπρον, οὐδαμῶς Αἰγυπτιακὸς γέγονεν, ἀλλὰ νουνεχὴς καὶ πρακτικός. Παραλαβὼν γὰρ τὴν νῆσον, ἔτι νηπίου τοῦ βασιλέως (sc. Πτολ. Φιλομήτορος) ὄντος, ἐγίγνετο μὲν ἐπιμελῶς περὶ συναγωγὴν χρημάτων, ἐδίδου δ' ἁπλῶς οὐδὲν οὐδενί, καίπερ αἰτούμενος πολλάκις ὑπὸ τῶν βασιλικῶν διοικητῶν καὶ καταλαλούμενος πικρῶς ἐπὶ τῷ μηδὲν προΐεσθαι. Τοῦ δὲ βασιλέως εἰς ἡλικίαν παραγεγονότος, συνθεὶς πλῆθος ἱκανὸν χρημάτων ἐξαπέστειλεν· ὥστε καὶ τὸν Πτολεμαῖον αὐτὸν καὶ τοὺς περὶ τὴν αὐλὴν εὐδοκῆσαι τῇ πρότερον αὐτοῦ συστολῇ καὶ τῷ μηδὲν προΐεσθαι.

Utroque Polybii loco eundem Ptolemæum intelligendum esse censet Schweighæuserus. Quod addubito. Nam Ptolemæo Agesarchi filio Cyprum Polycrates tradidit an. 197 a. C.; altero autem Polybii loco Ptolemæus Cypri administrationem suscepisse dicitur puerulo rege Ptolemæo Philometore, id est, post an. 181 a. C. Igitur duos Ptolemæos Cypri administratores distinxerim. Juniorem indicaverit auct. Maccab. II, 10, 12: Πτολεμαῖος γὰρ ὁ καλούμενος Μάκρων... κατηγορούμενος ὑπὸ τῶν φίλων πρὸς τὸν Εὐπάτορα (sc. Ἀντίοχον), καὶ προδότης παρέκαστα ἀκούων διὰ τὸ τὴν Κύπρον ἐμπιστευθέντα ὑπὸ τοῦ Φιλομήτορος ἐκλιπεῖν, καὶ πρὸς Ἀντίοχον τὸν Ἐπιφανῆ ἀναχωρῆσαι, μήτ' εὐγενῆ τὴν ἐξουσίαν ἔχων, ὑπ' ἀθυμίας φαρμακεύσας ἑαυτὸν ἐξέλιπε τὸν βίον. — Contra nostri Ptolemæi Ἀγησάρχου (sic, recte, codex) mentio fit in Polybii Exc. De insid. (v. tom. II, præfat.) Num idem est, qui eo tempore quo Cleomenes periit, Alexandriæ præfectus erat (Polyb. V, 39, 3)?

ΑΙ ΠΕΡΙ ΤΟΝ ΦΙΛΟΠΑΤΟΡΑ ΙΣΤΟΡΙΑΙ.

1.

E LIBRO PRIMO.

Clemens Alex. Protr. c. 3, p. 13 Sylb.: Πτολεμαῖος δὲ ὁ τοῦ Ἀγησάρχου ἐν τῷ πρώτῳ τῶν Περὶ τὸν Φιλοπάτορα ἐν Πάφῳ λέγει ἐν τῷ τῆς Ἀφροδίτης ἱερῷ Κινύραν τε καὶ τοὺς Κινύρου ἀπογόνους κεκηδεῦσθαι.

Arnobius VI, 4: *Agesarchi Ptolemæus de Philopatore quem edidit primo Cinyram regem Paphi cum familia omni sua, imo cum omni prosapia in Veneris templo situm esse literarum auctoritate declarat.*

2.

E LIBRO SECUNDO.

Athenæus VI, p. 246, C : Πτολεμαῖος δ' ὁ τοῦ Ἀγησάρχου, Μεγαλοπολίτης γένος, ἐν τῇ δευτέρᾳ τῶν Περὶ τὸν Φιλοπάτορα ἱστοριῶν συμπότας φησὶ τῷ βασιλεῖ συνάγεσθαι ἐξ ἁπάσης τῆς πόλεως, οὓς προσαγορεύεσθαι γελοιαστάς.

3.

E LIBRO TERTIO.

Idem X, p. 425, F : Κλεινοῦς δὲ τῆς οἰνοχόου Πτολεμαίου τοῦ βασιλέως, ἐπίκλην δὲ Φιλαδέλφου, μνημονεύει Πτολεμαῖος ὁ τοῦ Ἀγησάρχου, ἐν τῇ τρίτῃ τῶν περὶ Φιλοπάτορα ἱστοριῶν.

4.

Idem XIII, p. 578, A : Πτολεμαῖος δ' ὁ τοῦ Ἀγησάρχου ἐν ταῖς περὶ τὸν Φιλοπάτορα ἱστορίαις βασιλέων ἐρωμένας ἀναγράφων, φησί· « Φιλίππου τοῦ Μακεδόνος αὐξήσαντος Φίλινναν τὴν ὀρχηστρίδα, ἐξ ἧς καὶ γεννῆσαι Ἀριδαῖον, τὸν μετὰ Ἀλέξανδρον βασιλεύσαντα· Δημητρίου δὲ τοῦ Πολιορκητοῦ μετὰ τὰς προειρημένας Μανίαν, Ἀντιγόνου δὲ Δημώ, ἐξ ἧς Ἀλκυονέα γεννηθῆναι, Σελεύκου δὲ τοῦ νεωτέρου Μύσταν καὶ Νῦσαν. » Cf. Heraclidæ Lembi fr. 4.

HISTORIA (PTOLEMÆI IV) PHILOPATORIS.

2.

Ptolemæus, Agesarchi filius, genere Megalopolitanus, secundo libro De rebus Philopatoris, compotores ait regi ex tota urbe cogi solitos, eosque jocatores fuisse appellatos.

3.

Clinûs puellæ, quæ apud Ptolemæum regem cognomine Philadelphum pincernæ munere fungi solita erat, meminit Ptolemæus Agesarchi filius in tertio libro De rebus Philopatoris.

4.

Ptolemæus Agesarchi filius in Philopatoris historia regum amasias recensens hæc scribit : « Philippus Macedo Philinnam saltatricem in dignitatem evexit, ex qua etiam Aridæum genuit, qui post Alexandrum regnavit : Demetrius vero Poliorcetes, post prædictas, Maniam : Antigonus Demo, e qua natus est Alcyoneus : Seleucus vero junior Mystam et Nysam. »

HEGESIANAX. MNESIPTOLEMUS. EUPHORIO.

HEGESIANAX ALEXANDRINUS E TROADE. (CEPHALON GERGITHIUS.)

Strabo XIII, p. 589 : Ἐν δὲ τῇ Λαμψακηνῇ τόπος εὐάμπελος Γεργίθιον· ἦν δὲ καὶ πόλις Γέργιθα, ἐκ τῶν ἐν Κυμαίᾳ Γεργίθων· ἦν γὰρ κἀκεῖ πόλις πληθυντικῶς καὶ θηλυκῶς λεγομένη αἱ Γεργίθες· ὅθενπερ ὁ Γεργίθιος ἦν Κεφάλων.

Dionysius Hal. A. R. I, 72, p. 180 R. : Κεφάλων μὲν γὰρ ὁ Γεργίθιος συγγραφεὺς παλαιὸς πάνυ κτλ. (fr. 8).

Athenæus IX, p. 393, D : Ὁ δὲ τὰ Κεφαλίωνος ἐπιγραφόμενα Τρωικὰ συνθεὶς Ἡγησιάναξ ὁ Ἀλεξανδρεύς κτλ. (v. fr. 3).

Idem III, p. 80, B. : Δημήτριος δ' ὁ Σκήψιος ἐν τῷ πεντεκαιδεκάτῳ τοῦ Τρωικοῦ διακόσμου, εὐφώνους φησὶ γίνεσθαι τοὺς μὴ σύκων ἐσθίοντας. Ἡγησιάνακτα γοῦν τὸν Ἀλεξανδρέα, τὸν τὰς Ἱστορίας γράψαντα, κατ' ἀρχὰς ὄντα ταπείνηχον (ὄντα πένητα vgo) καὶ τραγῳδόν φησι γενέσθαι καὶ ὑποκριτικὸν καὶ εὔηχον, ὀκτωκαίδεκα ἐτῶν σύκων μὴ γευσάμενον.

Idem IV, p. 155, B : Δημήτριος δ' ὁ Σκήψιος ἐν τῷ δωδεκάτῳ τοῦ Τρωικοῦ διακόσμου· « Παρ' Ἀντιόχῳ (φησὶ) τῷ βασιλεῖ τῷ μεγάλῳ προσαγορευθέντι, ἐν τῷ δείπνῳ πρὸς ὅπλα ὠρχοῦντο οὐ μόνον οἱ βασιλέως φίλοι, ἀλλὰ καὶ αὐτὸς ὁ βασιλεύς. Ἐπεὶ δὲ καὶ εἰς Ἡγησιάνακτα, τὸν Ἀλεξανδρέα ἀπὸ Τρωάδος, τὸν τὰς Ἱστορίας γράψαντα, ἡ τῆς ὀρχήσεως τάξις ἐγένετο, ἀναστὰς εἶπε· Πότερον, ὦ βασιλεῦ, κακῶς ὀρχούμενόν με θεάσασθαι βούλει, ἢ καλῶς ἐπαγγέλλοντός μου ἴδια ποιήματα θέλεις ἀκροάσασθαι; Κελευσθεὶς οὖν λέγειν, οὕτως ἦσε τὸν βασιλέα, ὥστ' ἐράνου τε ἀξιωθῆναι, καὶ τῶν φίλων εἷς γενέσθαι. »

Hegesianactem cum Lysia et Menippo Antiochi Magni legatum Corinthum missum esse ad T. Quinctium et ad decem legatos Romanos discimus ex Polybio XXX, 30, 4. 33, 3; Appian. Syr. c. 6.

Steph. Byz. : Τρωιάς, ἡ χώρα τοῦ Ἰλίου, ἡ ἐκαλεῖτο Τευκρὶς καὶ Δαρδανία καὶ Ξάνθη. Τὸ ἐθνικὸν Τρωαδεύς. Ἐντεῦθεν ἦν καὶ Ἡγησιάναξ γραμματικὸς, γράψας περὶ τῆς Δημοκρίτου λέξεως βιβλίον ἓν καὶ περὶ ποιητικῶν λέξεων, ἦν δὲ Τρωαδεύς.

Igitur Hegesianax ex Troade Alexandrinus, familiaris Antiochi Magni, ab eoque legati munere honorifico ornatus, in literis artibusque se ostendit et historicum et poetam et tragœdum, necnon grammaticum. Historica opera condidisse videtur duo, *Troica* sive Historiæ et (si fides habenda Pseudo-Plutarcho) *Libyca* (fr. 11). Verum *Troicorum* opus in fronte gerebat nomen *Cephalionis Gergithii*, sive fraus hæc ipsius fuerit Hegesianactis, sive serioris cujusdam. Illud probabilius. Testis rei nobis est Demetrius Scepsius, vir eruditissimus, qui in *Troico Diacosmo* sæpius Hegesianactis mentionem injecisse videtur.

Cephalon ille vel, ut in Athenæi libris est, Cephalion (1), apud Dionysium vocatur συγγραφεὺς παλαιὸς πάνυ. Quod quam verum sit nescio, neque is est Dionysius, in cujus verba de ejusmodi rebus possis jurare. Si quidem ea quæ Strabo de Gallis Ilium occupantibus (c. 278 a. C.) ex Hegesianacte refert, ad Troica Pseudo-Cephalionis referenda sunt, sequitur Cephalionem non ita multo antiquiorem Hegesianacte fuisse. Quod Strabo Hegesianactem, non vero Cephalionem laudat, nullius est momenti, quum fraudis historiam ex Demetrio Scepsio haud dubie compertam haberet. Quamquam statui potest Cephalionem postrema Trojanæ ditionis fata suo nomine exposuisse, eamque partem, tamquam continuationem historiæ, adjunxisse perantiquo, quod dicebat, operi Cephalionis.

Alter Cephalion, Hadriani æqualis, in octavo Musarum libro Alexandri historiam conflaverat ex auctoribus triginta, ἐν οἷς καὶ ἡ Κεφαλίωνος ἱστορία (Photius cod. 68). Quod ita intelligit Sainte-Croix (*Exam. crit.* p. 60), ut Cephalionem hunc juniorem Alexandri res peculiari opere tractasse, atque hoc in Musis suis citasse statuat. Id verum esse potest, quamvis putaveris Photium, si expressis verbis hoc indicatum reperisset, locuturum fuisse paullo distinctius. Ut nunc verba se habent, Photius ipse nescivisse videtur, num auctor se ipse an alium citaverit. Nihil itaque obstat quin Alexandri res a Gergithio nostro descriptas esse censeas. Quodsi est, sequeretur, quod etiam Strabonis locus innuere videtur, Cephalionem nostrum Alexandro vel æqualem ætate vel posteriorem fuisse.

Poetica et grammatica Hegesianactis scripta ad nos nihil pertinent.

(1) Distinguendus est ab Cephalione, historico, qui sub Hadriano floruit, quemque Suidas Γεργίθιον dicens cum Nostro videtur confudisse. — Κεφαλίων miles in inscript. Attica memoratur ap. Bœckh. C. I. I, p. 296, 5. Cf. Dindf. in St. Thes. tom. IV, p. 1501 B.

ΤΡΩΙΚΑ.

1.

Parthenius Erot. c. 4 : Περὶ Οἰνώνης. (Ἱστορεῖ Νίκανδρος ἐν τῷ Περὶ ποιητῶν καὶ Κεφάλων ὁ Γεργίθιος ἐν Τρωικοῖς.) Ἀλέξανδρος ὁ Πριάμου βουκολῶν κατὰ τὴν Ἴδην ἠράσθη τῆς Κεβρῆνος θυγατρὸς Οἰνώνης· λέγεται δὲ ταύτην ἔκ του θεῶν κατεχομένην θεσπίζειν περὶ τῶν μελλόντων, καὶ ἄλλως δὲ ἐπὶ συνέσει φρενῶν ἐπὶ μέγα διαβεβοῆσθαι. Ὁ οὖν Ἀλέξανδρος αὐτὴν ἀγαγόμενος παρὰ τοῦ πατρὸς εἰς τὴν Ἴδην, ὅπου αὐτῷ οἱ σταθμοὶ ἦσαν, εἶχε γυναῖκα καὶ αὐτῇ φιλοφρονούμενος μηδαμᾶ ** προλείψειν, ἐν περισσοτέρᾳ τε τιμῇ ἄξειν· ἡ δὲ συνιέναι μὲν ἔφασκεν, εἰς τὸ παρὸν ὡς δὴ πάνυ αὐτῆς ἐρῴη, χρόνον μέντοι τινὰ γενήσεσθαι, ἐν ᾧ ἀπαλλάξας αὐτὴν εἰς τὴν Εὐρώπην περαιωθήσεται κἀκεῖ πτοηθεὶς ἐπὶ γυναικὶ ξένῃ πόλεμον ἐπάξεται τοῖς οἰκείοις. Ἐξηγεῖτο δὲ ὡς δεῖ αὐτὸν ἐν τῷ πολέμῳ τρωθῆναι, καὶ ὅτι οὐδεὶς αὐτὸν οἷός τε ἔσται ὑγιῆ ποιῆσαι ἢ αὐτή. Ἑκάστοτε δὲ ἐπιλεγομένης αὐτῆς ἐκεῖνος οὐκ εἴα μεμνῆσθαι. Χρόνου δὲ προϊόντος, ἐπειδὴ Ἑλένην ἔγημεν, ἡ μὲν Οἰνώνη μεμφομένη τῶν πραχθέντων τὸν Ἀλέξανδρον εἰς Κεβρῆνα, ὅθεν περ ἦν γένος, ἀπεχώρησεν, ὁ δὲ παρήκοντος ἤδη τοῦ πολέμου διατοξευόμενος Φιλοκτήτῃ τιτρώσκεται. Ἐν νῷ δὲ λαβὼν τὸ τῆς Οἰνώνης ἔπος, ὅτε ἔφατο αὐτὸν πρὸς αὐτῆς μόνης οἷόν τε εἶναι ἰαθῆναι, κήρυκα πέμπει δεησόμενον, ὅπως ἐπειχθεῖσα ἀκέσηταί τε αὐτὸν καὶ τῶν παροιχομένων λήθην ποιήσηται, ἅτε δὴ κατὰ θεῶν βούλησίν γε ἀφικομένων· ἡ δὲ αὐθαδέστερον ἀπεκρίνατο, ὡς χρὴ παρ' Ἑλένην αὐτὸν ἰέναι κἀκείνης δεῖσθαι, αὐτὴ δὲ μάλιστα ἠπείγετο, ἔνθα δὴ ἐπέπυστο κεῖσθαι αὐτόν. Τοῦ δὲ κήρυκος τὰ λεχθέντα παρὰ τῆς Οἰνώνης θᾶττον ἀπαγγείλαντος ἀθυμήσας ὁ Ἀλέξανδρος ἐξέπνευσεν, Οἰνώνη δέ, ἐπεὶ νέκυν ἤδη κατὰ γῆς κείμενον ἐλθοῦσα ἴδεν, ἀνῴμωξέν τε καὶ πολλὰ κατολοφυραμένη διεχρήσατο ἑαυτήν. Historiam Apollodorus quoque narrat in Bibl. III, 12, 6. Cf. Conon c. 23.

2.

Parthenii Erotic. c. 34 : Περὶ Κορύθου. (Ἱστορεῖ Ἑλλάνικος (fr. 126) Τρωικῶν * καὶ Κεφάλων ὁ Γεργίθιος.) Ἐκ δὲ Οἰνώνης καὶ Ἀλεξάνδρου παῖς ἐγένετο Κόρυθος. Οὗτος ἐπίκουρος ἀφικόμενος εἰς Ἴλιον Ἑλένης ἠράσθη καὶ αὐτὸν ἐκείνη μάλα φιλοφρόνως ὑπεδέχετο· ἦν δὲ τὴν ἰδέαν κράτιστος· φωράσας δὲ αὐτὸν ὁ πατὴρ ἀνεῖλεν. Νίκανδρος μέντοι τὸν Κόρυθον οὐκ Οἰνώνης, ἀλλὰ Ἑλένης καὶ Ἀλεξάνδρου φησὶν γενέσθαι. Uberius hæc narrat Conon Narrat. 23.

3.

Athenæus IX, p. 393, D : Ὁ δὲ τὰ Κεφαλίωνος ἐπιγραφόμενα Τρωικὰ συνθεὶς Ἡγησιάναξ ὁ Ἀλεξανδρεὺς καὶ τὸν Ἀχιλλεῖ μονομαχήσαντα Κύκνον φησὶ τραφῆναι ἐν Λευκόφρυϊ πρὸς τοῦ ὁμωνύμου ὄρνιθος. Cf. de Cycni historia Aristot. Rhetor. II, 22; Ovid. Metam. XII, 140; Diodor. V, 83; Strabo p. 604; schol. Theocrit. XVI, 49; Tzetz. Lyc. 233.

4.

Dionys. Hal. A. R. I, 49, p. 122 R., de Ænea ·

TROICA.

1.

De Œnone. (Narrat Nicander in libro De poetis et Cephalon Gergithius in Troicis.) Alexander Priami filius in Ida boves pascens Cebrenis filiam amabat Œnonen. Dicitur autem hanc numine correptam futura prædicere solitam, atque alioqui etiam ob singularem animi prudentiam ubique magni nominis fuisse. Alexander igitur abductam eam a parente in Idam, ubi stativa sua posuerat, uxorem habebat et amanter ei [*pollicitus est*] se nunquam ipsam deserturam, sed in summo honore habiturum esse. Illa vero dixit intelligere se nunc quidem ipsam ab eo vehementer amari, at tempus futurum esse, quo, ipsâ neglectâ, in Europam esset trajecturus, ubi amore peregrinæ mulieris implicitus, bellum propriæ patriæ inducturus esset. Exposuitque amplius quomodo futurum esset, ut in bello saucietur et a nemine sanari possit nisi ab ipsa. Hæc etsi quavis occasione mulier repeteret, ille tamen animum non animadvertebat neque sinebat ejus rei meminisse. Temporis autem progressu quum Helenam uxorem duxisset, Œnone indignata ob ea quæ fecerat Alexander, ad Cebrenem, unde genus ducebat, reversa est. Ille vero, quum bellum jam supervenisset, jaculo a Philocteta petitus, vulneratur. Tum in animum revocatis Œnones verbis, quibus dixerat ab ipsa sola eum posse sanari, præconem mittit oraturum, ut accurrat ac medeatur, præteritorumque obliviscatur, utpote quæ deorum ex voluntate accidissent. Œnone autem contumeliosius respondit, debere eum Helenam adire atque hanc deprecari; nihilominus tamen ipsa festinanter accurrit ubi decumbere Alexandrum perceperat. At quum præco responsum Œnones citius retulisset, animum despondens Alexander exspiravit. Œnone autem superveniens quum mortuum jam in terra jacentem conspiceret, gemitu edito magnoque ejulatu, se ipsam interemit.

2.

De Corytho. (Narrat Hellanicus in Troicorum libris et Cephalon Gergithius.) Ex Œnone et Alexandro puer natus est Corythus. Is auxiliarius Ilium profectus Helenæ amore captus est; illa vero valde amanter ipsum vicissim amplectebatur : erat enim forma pulcerrimus. Deprehensum autem ipsum pater occidit. Nicander tamen Corythum, non Œnones, sed Helenæ et Alexandri filium fuisse dicit.

3.

Hegesianax Alexandrinus, auctor libri qui Cephalionis Troica inscribitur, Cycnum illum, qui cum Achille singulari certamine pugnavit, ait a cognomine avi enutritum fuisse in Leucophrye (i. e. *Tenedo*) insula.

4.

Quæ post Æneæ discessum sunt secuta, plerisque dubitationem longe majorem afferunt. Quidam eum in Thra-

Τὰ δὲ μετὰ τὴν ἔξοδον ἔτι πλείω παρέχει τοῖς πολλοῖς ἀπορίαν. Οἱ μὲν γὰρ ἕως Θρᾴκης ἀγαγόντες αὐτὸν, ἐκεῖ λέγουσι τελευτῆσαι τὸν βίον, ὧν ἔστι Κεφάλων τε Γεργίθιος καὶ Ἡγήσιππος ὁ Περὶ Παλλήνης γράψας, ἄνδρες ἀρχαῖοι καὶ λόγου ἄξιοι.

Ex eodem Cephalione secundum Lobeckium (Aglaoph. p. 1223) hausit Dionys. l. l. c. 61 : Ἴασος ἐν τῇ νήσῳ (Σαμοθρᾴκῃ) κεραυνῷ πληχθεὶς τελευτᾷ Δημητρὸς εὐνὴν ὀριγνώμενός οἱ ἔχειν.

5.

Steph. Byz. : Ἀρίσβη, πόλις τῆς Τρωάδος, Μυτιληναίων ἄποικος, ἧς οἰκισταὶ Σκαμάνδριος καὶ Ἀσκάνιος υἱὸς Αἰνείου. Κεῖται μεταξὺ Περκώτης καὶ Ἀβύδου. Κεφάλων δέ φησιν, ὅτι Δάρδανος ἀπὸ Σαμοθρᾴκης ἐλθὼν εἰς τὴν Τρωάδα τὴν Τεύκρου τοῦ Κρητὸς τὴν θυγατέρα γαμεῖ Ἀρίσβην. Ἑλλάνικος δὲ Βάτειαν (Ἄτειαν vulgo ; Ἄντειαν cod. Rhedig.) αὐτήν φησι. Cf. Hellanicus fr. 130 ; Ephorus fr. 21.

6.

Stephan. Byz. : Γραικός, ὁ Ἕλλην, ὀξυτόνως, ὁ Θεσσαλοῦ υἱός, ἀφ' οὗ Γραικοὶ οἱ Ἕλληνες. Κεφάλων δὲ καὶ τὸν Γράνικον ποταμὸν ἐντεῦθεν κληθῆναι.

7.

Festus p. 266 ed. Müller : *Romam appellatam esse Cephalon Gergithius (qui de adventu Æneæ in Italiam videtur conscripsisse) ait ab homine quodam comite Æneæ; eum enim occupato monte, qui nunc Palatius* [Palatinus] *dicitur, urbem condidisse, atque eam Rhomam nominasse.*

8.

Dionys. Hal. A. R. I, 72, p. 180 R. : Κεφάλων μὲν γὰρ ὁ Γεργίθιος συγγραφεὺς παλαιὸς πάνυ, δευτέρᾳ γενεᾷ μετὰ τὸν Ἰλιακὸν πόλεμον ἐκτίσθαι φησὶ τὴν πόλιν ὑπὸ τῶν ἐξ Ἰλίου διασωθέντων σὺν Αἰνείᾳ· οἰκιστὴν δὲ αὐτῆς ἀποφαίνει τὸν ἡγησάμενον τῆς ἀποικίας Ῥῶμον· τοῦτον δ' εἶναι τῶν Αἰνείου παίδων ἕνα· τέτταρας δέ φησιν Αἰνείᾳ γενέσθαι παῖδας, Ἀσκάνιον, Εὐρυλέοντα, Ῥωμύλον, Ῥῶμον. Εἴρηται δὲ Δημαγόρᾳ καὶ Ἀγαθύλλῳ καὶ ἄλλοις συχνοῖς ὅ τε χρόνος καὶ ὁ τῆς ἀποικίας ἡγεμὼν ὁ αὐτός. Eadem ex Dionysio Euseb. Chr. p. 45, et Syncell. p. 192, B, ubi pro Γεργίθιος est Γεργησαῖος. Cf. Niebuhr. I, p. 188. Agathyllus (Agathymus Syncell. et Euseb.) poemate res Arcadiæ scripsit ; vid. Dionys. p. 123 R.

9.

Etym. M. p. 490, 1 : Καπύη, πόλις Ἰταλίας, ἣν Ῥῶμος καὶ Ῥωμύλος υἱοὶ Ἄρεως ἔκτισαν, ὥς φησι Κεφάλων ὁ Γεργίθιος. Οὕτως Ὧρος· ἄλλοι δὲ ἀπὸ Κάπυος τοῦ Τρωικοῦ. Martem patrem aliunde intulit grammaticus.

10.

Strabo XIII, p. 594 : Ἡγησιάναξ δὲ τοὺς Γαλάτας περαιωθέντας ἐκ τῆς Εὐρώπης ἀναβῆναι μὲν εἰς τὴν πόλιν (sc. τὸ Ἴλιον) δεομένους ἐρύματος· παραχρῆμα δ' ἐκλιπεῖν διὰ τὸ ἀτείχιστον. Hæc ex Demetrio Scepsio, ex quo antecedentia, Strabo hausit.

ΛΙΒΥΚΑ.

E LIBRO TERTIO.

11.

Plutarch. Par. min. c. 23, p. 351, D : Καλπούρνιος Κράσσος, ἀνὴρ τῶν ἐπισήμων, Ῥηγούλῳ συστρατευόμενος, ἐπέμφθη εἰς Μασσύλους, πορθήσων φρούριόν τι δυσάλωτον, τοὔνομα Γαραίτιον. Αἰχμάλωτος

---

ciam usque deducunt, et ibi vitam finiisse dicunt, quorum in numero sunt Cephalon Gergithius et Hegesippus, qui res Pallenes scripsit, viri prisci, celebres et fide digni.

5.

Arisbe, urbs Troadis, Mytilenæorum colonia, cujus conditores Scamandrius et Ascanius Æneæ filius. Sita est inter Percoten et Abydum. Cephalon vero dicit Dardanum e Samothracia in Troadem profectum Teucri Cretensis filiam Arisbam uxorem duxisse. Hellanicus eam Batiam nominat.

6.

Græcus, Thessali filius, a quo Hellenes dicti sunt Græci. Cephalon vero etiam Granicum fluvium ab eo nomen habere ait.

8.

Cephalion Gergithius, scriptor antiquissimus, generatione post Troicum bellum secunda urbem fuisse conditam ait ab illis qui cum Ænea ex Ilio incolumes profugerant ; ejusque conditorem fuisse affirmat Romum, coloniæ ducem ; hunc autem fuisse unum ex Æneæ filiis : Æneam enim quattuor habuisse filios, Ascanium, Euryleontem, Romulum et Romum. Demagoras etiam et Agathyllus et multi alii et idem tempus et eundem coloniæ ducem fuisse testantur.

9.

Capua, urbs Italiæ, quam Romus et Romulus, Martis filii, condiderunt, ut Cephalon Gergithius dicit, testante Horo.

10.

Hegesianax scribit Gallos, quum ex Europa in Asiam trajecissent et munito loco opus habuissent, in eam adscendisse urbem ; quia vero muris careret, statim eam deseruisse.

LIBYCA.

11.

Calpurnius Crassus, vir illustris, Reguli legatus, in Massylos missus ut Garætium castellum superatu difficile oppugnaret, captus est. Quumque esset Saturno immolandus, Bisaltia, regis filia, adamans eum victorem prodito patre fecit, ac se ipsam ob ipsius discessum jugulavit. Hegesianax tertio libro rerum Libycarum.

δὲ ληφθεὶς, ἔμελλε θύεσθαι τῷ Κρόνῳ. Βισαλτία δὲ, τοῦ βασιλέως θυγάτηρ, ἐρασθεῖσα προέδωκε τὸν πατέρα, καὶ νικηφόρον ἐκεῖνον ἐποίησεν. Ἀναστρέψαντος δ' αὐτοῦ, ἡ κόρη κατέσφαξεν ἑαυτήν· ὡς Ἡσιάναξ (scr. Ἡγησιάναξ) ἐν τρίτῳ Λιβυκῶν.

Φαινόμενα carmine ab Hegesianacte scripta esse discimus ex Arati Vita p. 55, 92 et p. 56, 11 ed. Westerm. Inde deprompta sunt quæ citantur ap. Hygin. Poet. astron. II, 26, 29 (p. 370. 381. 404 Munck.); apud Plutarch. De facie in orbe lunæ c. 3, p. 920, E (p. 1127 ed. Did.), et 921 B, ubi nomen scriptoris est Ἀγησιάναξ (de qua scripturæ varietate in similibus nominibus obvia vide Welcker. *Cycl.* p. 278, not. 448). De libris Hegesianactis Περὶ τῆς Δημοκρίτου λέξεως βιβλίον ἕν, et Περὶ ποιητικῶν λέξεων, vide Stephan. Byz., v. Τρωιάς, quem locum supra apposuimus.

MNESIPTOLEMUS.

Quemadmodum Hegesianax, sic etiam Mnesiptolemus et Euphorion in aula Antiochi Magni degebant. Mnesiptolemus Syriæ regum historiam scripsisse ex loco Athenæi colligitur. Fragmenta non supersunt. Testimonia vero Athenæi exstant duo hæcce :

Athenæus XV, p. 697, D : Ὁ δὲ αὐτὸς οὗτος συγγραφεὺς (sc. Δημήτριος Σκήψιος) κἀν τῷ ἐννεακαιδεκάτῳ τῆς αὐτῆς πραγματείας (sc. τοῦ Τρωικοῦ διακόσμου) Μνησιπτολέμου φησί ποτε τοῦ ἱστοριογράφου, τοῦ παρὰ τῷ Ἀντιόχῳ τῷ προσαγορευθέντι μεγάλῳ πλεῖστον ἰσχύσαντος, υἱὸν γενέσθαι Σέλευκον τὸν τῶν ἱλαρῶν ᾀσμάτων ποιητήν· οὗπερ συνεχῶς ᾄδειν εἰώθασι·

Κἀγὼ παιδοφιλήσω· πολύ μοι κάλλιον ἢ γαμεῖν.
Παῖς μὲν γὰρ παρεὼν κἠν πολέμῳ μᾶλλον ἐπωφελεῖ.

Idem X, p. 432, B : Ἔπινον οἱ πολλοὶ καὶ ἄλφιτα ἐπιβάλλοντες τῷ οἴνῳ, ὡς ὁ Δελφὸς Ἡγήσανδρός φησιν. Ἐπίνικος γοῦν, Μνησιπτολέμου ἀνάγνωσιν ποιησαμένου τῶν Ἱστοριῶν, ἐν αἷς ἐγέγραπτο ὡς Σέλευκος ἀπηλφίτισε, γράψας δρᾶμα Μνησιπτόλεμον καὶ κωμῳδῶν αὐτὸν καὶ περὶ τῆς πόσεως ταῖς ἐκείνου χρώμενος φωναῖς, ἐποίησε λέγοντα·

Ἐπ' ἀλφίτου πίνοντα τοῦ θέρους ποτὲ
ἰδὼν Σέλευκον ἡδέως τὸν βασιλέα,
ἔγραψα καὶ παρέδειξα τοῖς πολλοῖς, ὅτι,
κἂν τὸ τυχὸν ᾖ πραγμάτιον ἢ σφόδρ' εὐτελὲς,
σεμνὸν δύναται τοῦθ' ἡ δύναμις ἡ 'μὴ ποιεῖν.
« Γέροντα Θάσιον τόν τε γῆς ἀπ' Ἀτθίδος
ἰσμὸν μελίσσης τῆς ἀκραχόλου γλυκὺν,
συγκυρκανήσας ἐν σκύφῳ χυτῆς λίθου,
Δήμητρος ἀκτῇ πᾶν γεφυρώσας ὑγρὸν,
κατησίμωκα πῶμα, καύματος λύσιν. »

Cf. Meinek. Fragm. Com. tom. IV, p. 505.

Subjicere liceat mentionem *Simonidis ex Magnesia ad Sipylum urbe oriundi*, poetæ epici, qui pugnam, qua Galatarum equitatum fudit Antiochus primus, carmine cecinisse videtur. Memoria hujus viri universa unico, quantum sciam, Suidæ loco continetur satis illo corrupto : Σιμωνίδης, Μάγνης Σιπύλου, ἐποποιός. Γέγονεν ἐπὶ Ἀντιόχου τοῦ Μεγάλου· καὶ γέγραφε τὰς Ἀντιόχου [τοῦ Μεγάλου] πράξεις καὶ (κατὰ conj. Bernhardy) τὴν πρὸς Γαλάτας μάχην, ὅτε μετὰ τῶν ἐλεφάντων τὴν ἵππον αὐτοῦ (αὐτῶν correx. viri docti) ἔφθειρε (ἔφθειραν nonnulli libri). Verba τοῦ μεγάλου uncinis inclusit Bernhardyus; τοῦ Σωτῆρος conj. Meinek. ad Euphor. p. 16.

EUPHORION CHALCIDENSIS.

Suidas : Εὐφορίων, Πολυμνήστου, Χαλκιδεὺς ἀπὸ Εὐβοίας, μαθητὴς ἐν τοῖς φιλοσόφοις Λακύδου καὶ Πρυτάνιδος, καὶ ἐν τοῖς ποιητικοῖς Ἀρχεβούλου τοῦ Θηραίου ποιητοῦ, οὗ καὶ ἐρώμενος λέγεται γενέσθαι. Ἐγεννήθη δὲ ἐν τῇ ρκς' Ὀλυμπιάδι, ὅτε καὶ Πύρρος ἡττήθη ὑπὸ Ῥωμαίων, καὶ ἐγένετο τὴν ἰδέαν μελίχρους, πολύσαρκος, κακοσκελής. Τῆς Ἀλεξάνδρου, τοῦ βασιλεύσαντος Εὐβοίας, υἱοῦ δὲ Κρατέρου, γυναικὸς Νικαίας στερξάσης αὐτὸν, εὔπορος σφόδρα γεγονὼς ἦλθε πρὸς Ἀντίοχον τὸν Μέγαν ἐν Συρίᾳ βασιλεύοντα, καὶ προέστη ὑπ' αὐτοῦ τῆς ἐκεῖσε δημοσίας βιβλιοθήκης· καὶ τελευτήσας ἐκεῖ τέθαπται ἐν Ἀπαμείᾳ, ὡς δέ τινες ἐν Ἀντιοχίᾳ.

Fuse docteque de his disputavit Aug. Meinekius (De Euphorionis vita et scriptis, etc. Gedani 1823, et in Analectis Alexandrinis) ad quem lectorem relegamus. Cf. Clinton. ad Ol. 126, 3 et p. 511.

Præter carmina varii generis, quæ recensere ab instituto nostro alienum, Euphorion etiam prosa oratione nonnulla, quæ ad historiam pertinent, composuit. Sunt vero hæc :

1. Περὶ τῶν Ἀλευαδῶν (fr. 1-3). Quem librum temere Suidas tribuit Ephoro juniori : « Ἔφορος, ἱστορικὸς, ὁ νεώτερος· ἔγραψε δὲ τὰς Γαλιηνοῦ πράξεις ἐν βιβλίοις κζ'. Κορινθιακά. Περὶ τῶν Ἀλευαδῶν καὶ ἄλλα. » Mirum sane, Meinek. ait, videri debet, quod tertii vel quarti post Christum sæculi scriptor in tali argumento versatus esse dicitur, quod ab illius ætatis ingenio maxime alienum putandum est. Itaque in eam incidi suspicionem, ut Suidam, aut suo ipsius aut aliorum errore deceptum, Ephoro tribuisse censerem, quæ rectius Euphorioni tribuisset. Ephori nomen quum sæpenumero in Euphorum depravatum sit, hoc ipsum rursus quam proclivi errore cum Euphorione permutari potuerit, in promptu est. Nec minorem dubitatio-

nem alterum opus Ephoro juniori tributum, Κορινθιακά, injicit, quod ipsum quoque si quis, eodem argumento ductus, Euphorioni vindicare voluerit, ego certe non repugnabo; nisi forte utriusque scripti celebrem illum, quem omnes novimus, Ephorum auctorem fuisse conjicias. » De Ephoro noli cogitare. Κορινθιακά ejusdem haud dubie sunt auctoris qui citatur ἐν τῷ Περὶ Ἰσθμίων, de quibus in ipsis Corinthiacis egerit. Similiter Theseus Κορινθιακά et Περὶ Ἰσθμίων scripsisse dicitur.

2. Ὑπομνήματα ἱστορικά (fr. 4 sqq.), rerum mirabilium maximam partem farrago, uti videtur. His subjecimus fragmenta librorum :

3. Περὶ Ἰσθμίων.

4. Περὶ μελοποιϊῶν (μελοποιῶν?).

ΠΕΡΙ ΤΩΝ ΑΛΕΥΑΔΩΝ.

1.

Clemens Alex. Strom. I, p. 389 ed. Sylb. : Εὐφορίων δὲ ἐν τῷ Περὶ Ἀλευαδῶν (vgo Ἀλιάδων) κατὰ Γύγην αὐτὸν (sc. τὸν Ὅμηρον) τίθησι γεγονέναι, ὃς βασιλεύειν ἤρξατο ἀπὸ τῆς ὀκτωκαιδεκάτης Ὀλυμπιάδος· ὃν καί φησι πρῶτον ὠνομάσθαι τύραννον. *Cf.* Ebert. Diss. Sic. p. 159; Hippias fr. 2.

2.

Schol. Theocrit. XVI, 34 : Τὰ δὲ περὶ Ἀλεύαν τοῦ Σίμου (libri Σιμίου) πάντα ἀνεῖλεκτο (libri ἀνείλετο) Εὐφορίων. Cf. Bœckh. ad Pindar. p. 331.

3.

Quinctilian. X, 2, de carmine Simonidis Dioscurorum ope servati : *Est autem magna inter auctores dissensio Glaucone Carystio an Leocrati an Agatharcho an Scopæ scriptum sit id carmen, et Pharsali fuerit hæc domus, ut ipse quodam loco significare Simonides videtur, atque Apollodorus et Eratosthenes et Euphorio, an Crannone, ut Apollas et Callimachus.*

ΙΣΤΟΡΙΚΑ ΥΠΟΜΝΗΜΑΤΑ.

4.

Athenæus IV, p. 154, C : Εὐφορίων δὲ ὁ Χαλκιδεὺς ἐν Ἱστορικοῖς ὑπομνήμασιν οὕτω γράφει· « Παρὰ δὲ τοῖς Ῥωμαίοις προτίθεσθαι πέντε μνᾶς τοῖς ὑπομένειν βουλομένοις τὴν κεφαλὴν ἀποκοπῆναι πελέκει, ὥστε τοὺς κληρονόμους κομίσασθαι τὸ ἆθλον· καὶ πολλάκις ἀπογραφομένους πλείους, δικαιολογεῖσθαι καθ' ὃ δικαιότατός ἐστιν ἕκαστος αὐτὸς ἀποτυμπανισθῆναι. » « Ex Athenæo profecit Eustathius ad Odyss. p. 1837. Cf. Roberti Titii Assert. V, 14, p. 120. » *Meinek.*

5.

Idem XV, p. 700, D : Εὐφορίων δ' ἐν Ἱστορικοῖς ὑπομνήμασι Διονύσιόν φησι τὸν νεώτερον Σικελίας τύραννον Ταραντίνοις εἰς τὸ Πρυτανεῖον ἀναθεῖναι λυχνεῖον δυνάμενον καίειν τοσούτους λύχνους, ὅσος ὁ τῶν ἡμερῶν ἐστιν ἀριθμὸς εἰς τὸν ἐνιαυτόν. Cf. Polycriti Mendæi fr. 7.

6.

Ælianus H. A. XVII, 28 : Εὐφορίων δὲ ἐν τοῖς Ὑπομνήμασι λέγει τὴν Σάμον ἐν τοῖς παλαιοτάτοις τοῦ χρόνου ἐρήμην, γενέσθαι τε ἐν αὐτῇ θηρία μεγέθει μὲν μέγιστα, ἄγρια δὲ καὶ προσπελάσαι τῳ δεινά, καλεῖσθαι δὲ μὴν νηάδας, ἅπερ οὖν καὶ μόνῃ τῇ βοῇ ῥηγνύναι τὴν γῆν. Παροιμίαν οὖν ἐν τῇ Σάμῳ διαρρεῖν τὴν λέγουσαν· Μεῖζον βοᾷ τῶν νηάδων. Ὀστᾶ δὲ ἔτι καὶ νῦν αὐτῶν δείκνυσθαι μεγάλα ὁ αὐτός φησι. *Cf.* Eugeonis fr. 1, tom. II, p. 16.

Ex iisdem Ὑπομνήμασι fluxerint quæ Ælianus l. l. VII, 43 ex Euphorione narrat de cultu Samio Διονύσου κεχηνότος (fr. 122 ed. Meinek.). Locus Æliani corruptissimus, nec sine codicum auxilio sanandus. Uberius eandem rem exponit

---

DE ALEUADIS.

1.

Euphorion in libro De Aleuadis Homerum vixisse ait Gygis temporibus, qui regnavit inde ab Olympiade duodevicesima, quemque primum tyrannum nominatum esse tradit.

2.

Aleuæ, Simo nati, res omnes exposuit Euphorion.

COMMENTARII HISTORICI.

4.

Euphorion Chalcidensis in Commentariis historicis sic scribit : « Apud Romanos quinque minas his proponi, qui sibi caput amputari ultro patiantur ea conditione, ut hæredes ipsorum pretium illud accipiant : fierique interdum, ut, quum plures nomen suum sint professi, veluti jure disceptent illi inter se, unoquoque contendente æquum esse, ut ipse præ ceteris supplicio afficiatur. »

5.

Euphorion in Commentariis historicis ait juniorem Dionysium, Siciliæ tyrannum, Tarentinis in prytaneum dedicasse candelabrum, in quo tot ardere possent lucernæ, quot numero dies sunt totius anni.

6.

Euphorion in Commentariis scriptum reliquit Samum quum olim desertissimam fuisse, tum in ea bestias feras et infestas obviis maxima magnitudine, nomine Neades fuisse, quarum sola voce terra discederet; indeque profectum esse id proverbium quod vulgo Samii dicunt : *Magis clamat quam Neades*. Idemque refert ossa earum maxima vel sua ipsius ætate exstitisse.

Elpis Samius ap. Plinium H. N. VIII, 26. Cf. Preller. ad Polemon. p. 109. — His adde locum Clementis Alex. Protrept. p. 11 Sylb. : Πρόβατον, ὡς φησιν Εὐφορίων, σέβουσι Σάμιοι. Cf. Aristoteles ap. Ælian. H. A. XII, 40.

7.

Athenæus II, p. 44, F : Εὐφορίων δὲ ὁ Χαλκιδεὺς οὕτω που γράφει· « Λασύρτας Λασιώνιος οὐδὲ προσεδεῖτο ποτοῦ, καθάπερ οἱ ἄλλοι, οὖρον δὲ προΐετο, καθάπερ πάντες ἄνθρωποι. Καὶ πολλοὶ διὰ φιλοτιμίαν ἐπεχείρησαν παρατηρῆσαι· καὶ ἀπέστησαν πρὸ τοῦ εὑρεῖν τὸ πραττόμενον. Θέρους γὰρ ὥρᾳ καὶ τριακονθήμερον προσεδρεύοντες καὶ οὐδενὸς μὲν ὁρῶντες ἀπεχόμενον ἁλμυροῦ, τὴν κύστιν δ' αὐτοῦ ἔχοντα, συνεπείσθησαν ἀληθεύειν. Ἐχρῆτο δὲ καὶ τῷ ποτῷ, ἀλλ' οὐδὲν ἧττον οὐ προσεδεῖτο τούτου. Hæc ex Ὑπομνήμασι deprompta esse non dubito. Similis generis rem memorabilem ex Euphorione affert Helladius Chrestom. p. 971, b : Εὐφορίων ἱστορεῖ τινὰ ἐνύπνια μηδέπου (μηδέποτε conj. Meinek.) ἑωρακέναι. — Fortasse etiam quæ de vite prodigiosa apud Ægas Achaicas ex Euphorione prodit schol. Venet. ad Il. XIII, 21 (fr. 132 M. Eadem ex cod. Reg. 3060 fol. 7 exscripsit Miller. in *Journal. d. sav.* 1839, p. 715) nec non alia nonnulla libro, de quo agimus, vindicanda sunt; quanquam ea est Euphorionis operum indoles, ut de his judicium magnopere fluctuet.

ΠΕΡΙ ΙΣΘΜΙΩΝ.

8.

Athenæus IV, p. 182, E : Εὐφορίων δὲ ὁ ἐποποιὸς ἐν τῷ Περὶ Ἰσθμίων, « Οἱ νῦν, φησί, καλούμενοι ναβλισταὶ καὶ πανδουρισταὶ καὶ σαμβυκισταὶ καινῷ μὲν οὐδενὶ χρῶνται ὀργάνῳ· τὸν γὰρ βάρωμον καὶ βάρβιτον, ὧν Σαπφὼ καὶ Ἀνακρέων μνημονεύουσι, καὶ τὴν μάγαδιν καὶ τὰ τρίγωνα καὶ τὰς σαμβύκας ἀρχαῖα εἶναι· ἐν γοῦν Μυτιλήνῃ μίαν τῶν Μουσῶν πεποιῆσθαι ὑπὸ Λεσβοθέμιδος ἔχουσαν σαμβύκην.

Idem XIV, p. 635, A : Εὐφορίων δ' ἐν τῷ Περὶ Ἰσθμίων, παλαιὸν μέν φησιν ὄργανον εἶναι τὴν μάγαδιν, μετασκευασθῆναι δ' ὀψέ ποτε, καὶ σαμβύκην μετονομασθῆναι. Πλεῖστον δ' εἶναι τοῦτο τὸ ὄργανον ἐν Μυτιλήνῃ, ὡς καὶ μίαν τῶν Μουσῶν ἔχουσαν αὐτὸ ὑπὸ Λεσβοθέμιδος ποιηθῆναι, ἀρχαίου ἀγαλματοποιοῦ.

Idem XIV, p. 635, F : Εὐφορίων τε ἐν τῷ Περὶ Ἰσθμίων, τὰ πολύχορδά φησι τῶν ὀργάνων ὀνόμασι μόνον παρηλλάχθαι· παμπάλαιον δ' αὐτῶν εἶναι τὴν χρῆσιν.

9.

Idem XIV, p. 633, F : Περὶ σαμβύκης, ἔφη ὁ Μασσούριος, ὀξύφθογγον εἶναι μουσικὸν ὄργανον τὴν σαμβύκην, διειλέχθαι τε περὶ αὐτοῦ Εὐφορίωνα τὸν [αὐτὸν] ἐποποιὸν ἐν τῷ Περὶ Ἰσθμίων, χρῆσθαι φήσας αὐτῷ Πάρθους καὶ Τρωγλοδύτας τετραχόρδῳ ὄντι· ἱστορεῖν δὲ τοῦτο καὶ Πυθαγόραν ἐν τῷ Περὶ Ἐρυθρᾶς θαλάσσης.

ΠΕΡΙ ΜΕΛΟΠΟΙΩΝ.

10.

Idem IV, p. 184, A : Εὐφορίων δ' ὁ ἐποποιὸς ἐν τῷ Περὶ μελοποιῶν (μελοποιῶν Dalech.) τὴν μὲν μονοκάλαμον σύριγγα Ἑρμῆν εὑρεῖν, τινὰς δ' ἱστορεῖν Σεύθην καὶ Ῥωνάκην τοὺς Μήδους (l. Μαίδους), τὴν δὲ πολυκάλαμον Σιληνὸν, Μαρσύαν δὲ τὴν κηρόδετον (τὴν δὲ πολ. Σιληνὸν Μαρσύαν, τὴν κηρόδετον Salmasius probante Meinekio).

7.

Euphorion Chalcidensis alicubi sic scribit : « Lasyrtas Lasionius non quemadmodum ceteri homines potu opus habebat, at urinam tamen emittebat, sicuti alii omnes. Et multi cognoscendæ rei cupidi, observare eum aggressi sunt, sed priusquam id quod res esset reperissent destiterunt. Nam quum æstatis tempore per triginta dies ei adsedissent, vidissentque eum nullius quidem salsi cibi abstinentem, et suam (*non alienam, ut præstigiatores*) vesicam habentem : persuasi sunt vera eum dicere. Utebatur quidem etiam interdum potione, sed ea nihilominus opus non habebat. »

DE ISTHMIIS.

8.

Euphorio, poeta epicus, in libro de Isthmiis : « Qui nunc sunt, ait, qui Nablistæ, Panduristæ, Sambucistæ vocantur, nullo novo utuntur instrumento : nam *baromum* ac *barbiton*, quorum Sappho et Anacreon meminerunt, itemque *magadin* et *triangula* et *sambucas* antiqua ait esse instrumenta. Mytilenæ sane unam ex Musis, Lesbothemidis opus, sambucam manu tenentem conspici.

9.

De *sambuca* dixit Masurius, esse eam musicum instrumentum acutum sonum edens, de eoque verba fecisse Euphorionem eundem qui epicorum quoque carminum auctor est, in libro De Isthmiis; quo instrumento usos esse ait Parthos et Troglodytas, quattuor fidibus tenso; tradere autem hæc etiam Pythagoram in libro De mari Erythræo.

DE CARMINUM MODULATIONIBUS..

10.

Euphorion, epicus poeta, in libro De carminum modulationibus, fistulam uno calamo constantem ait Mercurium invenisse; a nonnullis vero inventores ejus memorari Seuthen et Ronacem Mædos (*i. e. Thraces*); pluribus vero calamis constantem, cera compactam, invenisse Silenum Marsyam.

DIOCLES PEPARETHIUS.

Athenæus II, p. 44, E : Διοκλῆ τὸν Πεπαρήθιόν φησι Δημήτριος ὁ Σκήψιος μέχρι τέλους ψυχρὸν ὕδωρ πεπωκέναι. Hic Diocles a Τρωικοῦ διακόσμου auctore (de cujus ætate v. Clinton. ad an. 190) commemoratus nescio an idem sit cum Diocle Peparethio, incertæ ætatis scriptore, qui Romanorum a Trojanis oriundorum antiquissimam exposuit historiam, idque ita quidem, ut primus summis lineis eam adumbraret narrationem, quam deinde Fabius Pictor aliique in plerisque adoptarunt. Refert rem Plutarchus (fr. 2 init.). Cujus testimonium cur in dubium nonnulli vocaverint, atque Dioclem potius sua ex Fabio hausisse autument, causam idoneam protulerunt nullam (*). Quanquam recte fortasse Niebuhrius contendit Plutarchum non ipsum Dioclem ante oculos habuisse, sed juniorem quendam scriptorem, qui priorum sententias auctorum simul attulerit. Certe Dioclem, græcum hominem, tam prolixa et tam accurate ad antiquitates Romanas accommodata narratione, qualis est Fabiana, origines urbis tradidisse, non admodum verisimile est. Contra totus ex Diocle Fabius in iis pependerit, quibus Romanæ fabulæ cum Græcis vel Trojanis conjunguntur. In his vero num Hellanici potissimum vestigia Diocles legerit, ut censet Dahlmannus (*Forschungen*, II, p. 139), an alius scriptoris, nescimus. Ceterum titulum operis fuisse suspicor Κτίσεις vel fortassis Ἀποικίαι (v. fr. 3). Præterea laudantur Dioclis Περσικὰ et Περὶ ἡρώων opus, quod cujusnam Dioclis fuerit ignoro. Neque magis liquet de Αἰτωλικῶν libris Dioclis Rhodii (**).

(*) De Diocle præter Niebuhrium cf. Schlegel. in *Heidelberg. Jahrb.* tom. IX, p. 878; Blum., *Einleitg in Roms alt. Gesch.* p. 94; Wachsmuth. *D. ælltere Gesch. d. ræm. Staats* p. 25; Heeren. *De font. Plut.* p. 138, p 68. 73; Ulrici. *Charact. d. alt. Historiogr.* p. 94 sq.; Krause, *Vit. histor. rom.* p. 33; Hertz. *De Luciis Cinciis* (Berolin. 1842) p. 15; Klausen. *Æneas u. d. Penaten* p. 595. Westermann. in *Paulys* Realenc. s. v.

(**) Notandi præterea : *Diocles* nescio qui, Homeri interpres, ap. schol. Hom. Od. ξ, 132; τ, 457. — *Diocles Magnes*, cujus Ἐπιδρομὴν τῶν φιλοσόφων laudat Diog. L. I, 8, 162; X, 11. Idem est auctor Βίων φιλοσόφων sæpenumero ap. Diog. L. citatus. Ad *Dioclem* quendam libros nonnullos scripsit Chrysippus D. L. VII, 200. — *Diocles duo Pythagorei* ap. Iamblich. V. P. c. 35. 36. *D. Elaita*, musicus, ap. Suid. — *D. Phliasius*, vel *Atheniensis*, comicus (v. Meinek. Com. I, p. 153). — *Diocles*, auctor ὀψαρτυτικῶν ap. Athen. p. 516 C. — *Diocles Carystius*, medicus sæpissime a plurimis laudatus. — Alius Diocles Carystius, rhetor Augusti temporibus, ap. Senecam in Controv. sæpius. — Alios ejusdem nominis viros v. ap. Theocrit. XII, 29, Aristophan. Acharn. 774, Plutarch. Thes. 10, Polybium V, 17, V, 69, 5, Plutarch. Moral. p. 1037 Didot; Appian. Mithrid. c. 78, Plutarch. Arat. c. 18, Euseb. in Olympionic., Ol. 13 et 178. Cf. etiam Steph. Thes. Gr. s. h. v.

(ΚΤΙΣΕΙΣ.)

1.

Festus p. 269 ed. Müller. : « Diocles Peparethius ait Iliam, Numitor*is Al*bani regis filiam, gemellos edidisse, quos *in i*ma Tiberis ripa, jussu Amulii tyranni, *ex*positos, cum juxta ficum postea appellatam a *Rom*ulo Ruminalem jacerent, a lupa *lac*tatos et a pico Martio nutritos esse : post repertos a Faustulo Accam Larentiam, ejus uxorem, educasse. *Pler*ique tamen conscio et alimenta præbente Nu*mito*re nutritos aiunt, quod Ilia ex Marte se *pep*erisse eos asseverabat, ac secreto literis, omni *deni*que liberali disciplina Gabis institutos *atque* excultos esse : ac cum in exercendo corpore pri*mam* pueritiam transigerent et inter æquales *omnes* præstarent robore, Romulum et Rhomum *nomi*natos esse. »

In codice Festi ea tantum leguntur, quæ literis italicis exaravimus. Reliqua ex Plutarcho (Rom. c. 3 sqq.) suppleverunt Ursinus et Müllerus, quem vide.

2.

Plutarch. Rom. c. 3 : Τοῦ δὲ πίστιν ἔχοντος λόγου μάλιστα καὶ πλείστους μάρτυρας, τὰ μὲν κυριώτατα πρῶτος εἰς τοὺς Ἕλληνας ἐξέδωκε Διοκλῆς ὁ Πεπαρήθιος, ᾧ καὶ Φάβιος Πίκτωρ ἐν τοῖς πλείστοις ἐπηκολούθησε. Γεγόνασι δὲ καὶ περὶ τούτου ἕτεραι διαφοραί· τύπῳ δὲ εἰπεῖν τοιοῦτός ἐστι. Τῶν ἀπ' Αἰνείου γεγονότων ἐν Ἄλβῃ βασιλέων εἰς ἀδελφοὺς δύο, Νομήτορα καὶ Ἀμούλιον, ἡ διαδοχὴ καθῆκεν.

DE URBIUM ORIGINIBUS.

2.

Receptissimæ historiæ et a plurimis approbatæ Peparethius Diocles præcipua quæque primus apud Græcos edidit, quem in plerisque secutus est Fabius Pictor. Et quanquam de his quoque aliæ habentur narrandi varietates, lineamenta hujus relationis sunt hujusmodi. Ex Æneæ posteris, qui Albæ regnabant, ad duos fratres regnum devenit, Numitorem et Amulium. Universo patrimonio ab Amulio in sortes diviso duas, ita ut ab altera parte regnum, ab altera opes et advectum Troja aurum poneret, sumpsit regnum Numitor. Amulii igitur quum esset ex divitiis quam Numitoris potentia amplior, facile eum regno exuit : ejusque filiam, ne prolem haberet veritus, Vestæ sacerdotem constituit, ut perpetuo cœlebs et virgo viveret : quam Iliam alii vocant,

Ἀμουλίου δὲ νείμαντος τὰ πάντα δίχα τῇ τε βασιλείᾳ τὰ χρήματα καὶ τὸν ἐκ Τροίας κομισθέντα χρυσὸν ἀντιθέντος, εἵλετο τὴν βασιλείαν ὁ Νομήτωρ. Ἔχων οὖν ὁ Ἀμούλιος τὰ χρήματα καὶ πλέον ἀπ' αὐτῶν δυνάμενος τοῦ Νομήτορος τήν τε βασιλείαν ἀφείλετο ῥᾳδίως, καὶ φοβούμενος ἐκ τῆς θυγατρὸς αὐτοῦ γενέσθαι παῖδας ἱέρειαν τῆς Ἑστίας ἀπέδειξεν, ἄγαμον καὶ παρθένον ἀεὶ βιωσομένην. Ταύτην οἱ μὲν Ἰλίαν, οἱ δὲ Ῥέαν, οἱ δὲ Σιλουίαν ὀνομάζουσι. Φωρᾶται δὲ μετ' οὐ πολὺν χρόνον κυοῦσα παρὰ τὸν καθεστῶτα ταῖς Ἑστιάσι νόμον. Καὶ τὸ μὲν ἀνήκεστα μὴ παθεῖν αὐτὴν, ἡ τοῦ βασιλέως θυγάτηρ Ἀνθὼ παρῃτήσατο, δεηθεῖσα τοῦ πατρός· εἵρχθη δὲ, καὶ δίαιταν εἶχεν ἀνεπίμικτον, ὅπως μὴ λάθῃ τεκοῦσα τὸν Ἀμούλιον. Ἔτεκε δὲ δύο παῖδας ὑπερφυεῖς μεγέθει καὶ κάλλει. Δι' ὃ καὶ μᾶλλον ὁ Ἀμούλιος φοβηθεὶς ἐκέλευσεν αὐτοὺς ὑπηρέτην λαβόντα ῥῖψαι. Τοῦτον ἔνιοι Φαυστύλον ὀνομάζεσθαι λέγουσιν, οἱ δ' οὐ τοῦτον, ἀλλὰ τὸν ἀνελόμενον. Ἐνθέμενος οὖν εἰς σκάφην τὰ βρέφη κατέβη μὲν ἐπὶ τὸν ποταμὸν ὡς ῥίψων· ἰδὼν δὲ κατιόντα πολλῷ ῥεύματι καὶ τραχυνόμενον ἔδεισε προσελθεῖν· ἐγγὺς δὲ τῆς ὄχθης καταθεὶς ἀπηλλάσσετο. Τοῦ δὲ ποταμοῦ κατακλύζοντος ἡ πλήμμυρα τὴν σκάφην ὑπολαβοῦσα καὶ μετεωρίσασα πρᾴως κατήνεγκεν εἰς χωρίον ἐπιεικῶς μαλθακὸν, ὃ νῦν Κερμαλὸν καλοῦσι, πάλαι δὲ Γερμανὸν, ὡς ἔοικεν, ὅτι καὶ τοὺς ἀδελφοὺς γερμανοὺς ὀνομάζουσιν.

Ἦν δὲ πλησίον ἐρινεὸς, ὃν Ῥωμινάλιον ἐκάλουν, ἢ διὰ τὸν Ῥωμύλον, ὡς οἱ πολλοὶ νομίζουσιν, ἢ διὰ τὸ τὰ μηρυκώμενα τῶν θρεμμάτων ἐκεῖ διὰ τὴν σκιὰν ἐνδιάζειν, ἢ μάλιστα διὰ τὸν τῶν βρεφῶν θηλασμόν· ὅτι τήν τε θηλὴν ῥοῦμαν ὠνόμαζον οἱ παλαιοὶ, καὶ θεόν τινα τῆς ἐκτροφῆς τῶν νηπίων ἐπιμελεῖσθαι δοκοῦσαν ὀνομάζουσι Ῥουμυλίαν, καὶ θύουσιν αὐτῇ νηφάλια καὶ γάλα τοῖς ἱεροῖς ἐπισπένδουσιν. Ἐνταῦθα δὴ τοῖς βρέφεσι κειμένοις τήν τε λύκαιναν ἱστοροῦσι θηλαζομένην καὶ δρυοκολάπτην τινὰ παρεῖναι συνεκτρέφοντα καὶ φυλάττοντα. Νομίζεται δ' Ἄρεος ἱερὰ τὰ ζῷα· τὸν δὲ δρυοκολάπτην καὶ διαφερόντως Λατῖνοι σέβονται καὶ τιμῶσιν· ὅθεν οὐχ ἥκιστα πίστιν ἔσχεν ἡ τεκοῦσα τὰ βρέφη τεκεῖν ἐξ Ἄρεος φάσκουσα. Καίτοι τοῦτο παθεῖν αὐτὴν ἐξαπατηθεῖσαν λέγουσιν ὑπὸ τοῦ Ἀμουλίου διαπαρθενευθεῖσαν ἐν ὅπλοις ἐπιφανέντος αὐτῇ καὶ συναρπάσαντος. Οἱ δὲ, τοὔνομα τῆς τροφοῦ δι' ἀμφιβολίαν ἐπὶ τὸ μυθῶδες ἐκτροπὴν τῇ φήμῃ παρασχεῖν. Λούπας γὰρ ἐκάλουν οἱ Λατῖνοι τῶν τε θηρίων τὰς λυκαίνας καὶ τῶν γυναικῶν τὰς ἑταιρούσας· εἶναι δὲ τοιαύτην τὴν Φαυστύλου γυναῖκα τοῦ τὰ βρέφη θρέψαντος, Ἄκκαν Λαρεντίαν ὄνομα. Ταύτῃ δὲ καὶ θύουσι Ῥωμαῖοι, καὶ χοὰς ἐπιφέρει τοῦ Ἀπριλίου μηνὸς αὐτῇ ὁ τοῦ Ἄρεος ἱερεὺς, καὶ Λαρεντίαν καλοῦσι τὴν ἑορτήν.

Ἑτέραν δὲ τιμῶσι Λαρεντίαν ἐξ αἰτίας τοιαύτης. Ὁ νεωκόρος τοῦ Ἡρακλέους ἀλύων, ὡς ἔοικεν, ὑπὸ σχολῆς προύθετο πρὸς τὸν θεὸν διακυβεύειν, ὑπειπὼν ὅτι νικήσας μὲν αὐτὸς ἕξει τι παρὰ τοῦ θεοῦ χρηστόν· ἡττηθεὶς δὲ τῷ θεῷ τράπεζαν ἄφθονον παρέξει καὶ γυναῖκα καλὴν συναναπαυσομένην. Ἐπὶ τούτοις, τὰς μὲν ὑπὲρ τοῦ θεοῦ τιθεὶς, τὰς δ' ὑπὲρ αὑτοῦ ψήφους, ἀνεφάνη νικώμενος. Εὐσυνθετεῖν δὲ βουλόμενος, καὶ δικαιῶν ἐμμένειν τοῖς ὁρισθεῖσι, δεῖπνόν τε τῷ θεῷ παρεσκεύασε, καὶ τὴν Λαρεντίαν οὖσαν ὡραίαν, οὔπω δὲ ἐπιφανῆ, μισθωσάμενος, εἱστίασεν ἐν τῷ ἱερῷ κλίνην ὑποστορέσας· καὶ μετὰ τὸ δεῖπνον συνεῖρξεν, ὡς δὴ τοῦ θεοῦ ἕξοντος

---

alii Rheam; sunt et qui Silviam. Non multo autem post tempore deprehenditur prægnans, præter legem Vestalibus virginibus constitutam. Quæ ne ultimo supplicio afficeretur, regis filia Antho a patre precibus obtinuit: in custodiam tamen, ne inscio Amulio pareret, data est, et remota ab hominum consortio. Illa gemellos edidit mira corporis proceritate et specie. Qua re magis Amulius commotus imperat ministro, ut ablatos exponat. Huic Faustulo quidam nomen, alii autem non huic, verum ei, qui hos sustulit, fuisse tradunt. Minister igitur infantes imposuit alveo, ac velut expositurus eos descendit ad fluvium: quem inflatum quum cerneret et rapidum, non est ausus accedere; sed ad proxima ripæ expositis, recessit. Fluvio evagato, suscipiens alveum alluvies et leniter subvehens in locum detulit satis mollem; Cermalum vocant nunc, quondam, ut videtur, Germanum, quoniam fratres appellant germanos.

Erat juxta ficus, quam Ruminalem dicebant; ut vulgi est opinio, a Romulo; vel quia pecora ruminantia illic propter umbram meridiantur; vel, quod maxime probatur, propter puerorum lactationem, mammam enim vocabant rumam prisci, et deam quandam infantium educationis præsidem Rumiliam dicunt, eique sacrificium faciunt absque vino, lac invergentes sacris. Ibi vero jacuisse pueros, ad quos lupam tradunt lactantem commeasse, et picum Martium nutriendis et servandis præsto fuisse. Marti ea animalia sacra habentur; et picum Martium præcipuo honore venerantur Latini; unde puerperæ major habita fides ex Marte peperisse se asseveranti. Quamvis in eam opinionem venisse dicatur decepta fraude Amulii, qui armatus ad eam accessisset et raptam virginitate privasset. Sunt qui ferant, nutricis nomen ob vocabuli ambiguitatem gestæ rei famam in fabulositatem extulisse. Lupas enim Latini, præter notam significationem, etiam vocabant eas quæ corpus vulgabant: cujuscemodi Faustuli uxorem puerorum nutritii fuisse Accam Larentiam nomine. Huic etiam sacra Romani faciunt, et mense Aprili flamen Martialis libat, et Larentialia vocant festum.

Alteram item colunt Larentiam ex causa hujuscemodi. Herculis ædituus forte otii fallendi gratia, ut fertur, cum deo talis ludere statuit hac lege, si vicisset, ut ille quippiam sibi conferret boni; victus, ut deo ipse lautum epulum et concubitum præberet formosæ mulieris. In hanc legem talos jacit pro deo; inde pro se, quibus victus apparuit. Hinc quum stare pactis et conditioni vellet conventæ satisfacere, cœnam deo instruxit, Larentiamque formosam puellam, nondum famosam, mercede conductam lecto strato convivio excepit in templo; ubi post cœnam conclusit eam, tanquam fruituro ipsa deo. Ac fama tenet Her-

αὐτήν. Καὶ μέντοι καὶ τὸν θεὸν ἐντυχεῖν λέγεται τῇ γυναικὶ, καὶ κελεῦσαι βαδίζειν ἕωθεν ἐπὶ τὴν ἀγορὰν, καὶ τὸν ἀπαντήσαντα πρῶτον ἀσπασαμένην ποιεῖσθαι φίλον. Ἀπήντησεν οὖν αὐτῇ τῶν πολιτῶν ἀνὴρ ἡλικίας τε πόρρω ἥκων, καὶ συνειλοχὼς οὐσίαν ἱκανήν· ἄπαις δὲ καὶ βεβιωκὼς ἄνευ γυναικὸς, ὄνομα Ταρρούτιος. Οὗτος ἔγνω τὴν Λαρεντίαν, καὶ ἠγάπησε, καὶ τελευτῶν ἀπέλιπε κληρονόμον ἐπὶ πολλοῖς καὶ καλοῖς κτήμασιν, ὧν ἐκείνη τὰ πλεῖστα τῷ δήμῳ κατὰ διαθήκας ἔδωκε. Λέγεται δὲ αὐτὴν ἔνδοξον οὖσαν ἤδη, καὶ θεοφιλῆ νομιζομένην, ἀφανῆ γενέσθαι περὶ τοῦτον τὸν τόπον, ἐν ᾧ καὶ τὴν προτέραν ἐκείνην Λαρεντίαν κεῖσθαι. Καλεῖται δὲ νῦν ὁ τόπος Βήλαυρον, ὅτι τοῦ ποταμοῦ πολλάκις ὑπερχεομένου, διεπεραιοῦντο πορθμείοις κατὰ τοῦτο τὸ χωρίον εἰς ἀγοράν. Τὴν δὲ πορθμείαν, βηλατούραν καλοῦσιν. Ἔνιοι δὲ λέγουσι τὴν εἰς τὸν ἱππόδρομον φέρουσαν ἐξ ἀγορᾶς πάροδον ἱστίοις καταπεταννύναι τοὺς τὴν θέαν παρέχοντας, ἐντεῦθεν ἀρχομένους. Ῥωμαϊστὶ δὲ τὸ ἱστίον βῆλον ὀνομάζουσι. Διὰ ταῦτα μὲν ἔχει τιμὰς ἡ δευτέρα Λαρεντία παρὰ Ῥωμαίοις.

Τὰ δὲ βρέφη Φαυστύλος Ἀμουλίου συφορβὸς ἀνείλετο λαθὼν ἅπαντας· ὡς δ' ἔνιοι φασὶ τῶν εἰκότων ἐχόμενοι μᾶλλον, εἰδότος τοῦ Νομήτορος καὶ συγχορηγοῦντος τροφὰς κρύφα τοῖς τρέφουσι. Καὶ γράμματα λέγονται καὶ τἄλλα μανθάνειν οἱ παῖδες εἰς Γαβίους κομισθέντες, ὅσα χρὴ τοὺς εὖ γεγονότας. Κληθῆναι δὲ καὶ τούτους ἀπὸ τῆς θηλῆς ἱστοροῦσι Ῥωμύλον καὶ Ῥῶμον, ὅτι θηλάζοντες ὤφθησαν τὸ θηρίον. Ἡ μὲν οὖν ἐν τοῖς σώμασιν εὐγένεια, καὶ νηπίων ὄντων, εὐθὺς ἐξέφαινε μεγέθει καὶ ἰδέᾳ τὴν φύσιν. Αὐξόμενοι δὲ, θυμοειδεῖς ἦσαν ἀμφότεροι, καὶ φρονήματα πρὸς τὰ φαινόμενα δεινὰ, καὶ τόλμαν ὅλως ἀνέκπληκτον ἔχοντες· ὁ δὲ Ῥωμύλος γνώμῃ τε χρῆσθαι μᾶλλον ἐδόκει, καὶ πολιτικὴν ἔχειν σύνεσιν, ἐν ταῖς περὶ νομὰς καὶ κυνηγίας πρὸς τοὺς γειτνιῶντας ἐπιμιξίαις πολλὴν ἑαυτοῦ παρέχων κατανόησιν ἡγεμονικοῦ μᾶλλον ἢ πειθαρχικοῦ φύσει γεγονότος. Διὸ τοῖς μὲν ὁμοφύλοις καὶ ταπεινοτέροις προσφιλεῖς ἦσαν, ἐπιστάτας δὲ καὶ διέπους βασιλικοὺς καὶ ἀγελάρχας, ὡς μηδὲν αὐτῶν ἀρετῇ διαφέροντας, ὑπερφρονοῦντες, οὔτ' ἀπειλῆς ἐφρόντιζον οὔτε ὀργῆς. Ἐχρῶντο δὲ διατριβαῖς καὶ διαίταις ἐλευθερίοις, οὐ τὴν σχολὴν ἐλευθέριον ἡγούμενοι καὶ τὴν ἀπονίαν, ἀλλὰ γυμνάσια καὶ θήρας καὶ δρόμους, καὶ τὸ λῃστὰς ἀλέξασθαι, καὶ κλῶπας ἑλεῖν, καὶ βίας ἐξελέσθαι τοὺς ἀδικουμένους. Ἦσαν δὴ διὰ ταῦτα περιβόητοι.

Diodorus V, 55 : Τὴν δὲ νῆσον τὴν ὀνομαζομένην Ῥόδον πρῶτοι κατῴκησαν οἱ προσαγορευόμενοι Τελχῖνες· οὗτοι δ' ἦσαν υἱοὶ μὲν Θαλάττης, ὡς ὁ μῦθος παραδέδωκε, μυθολογοῦνται δὲ μετὰ Καφείρας τῆς Ὠκεανοῦ θυγατρὸς ἐκθρέψαι Ποσειδῶνα, Ῥέας αὐτοῖς παρακαταθεμένης τὸ βρέφος. Γενέσθαι δ' αὐτοὺς καὶ τεχνῶν τινων εὑρετὰς καὶ ἄλλα τῶν εἰς τὸν βίον χρησίμων τοῖς ἀνθρώποις εἰσηγήσασθαι. Ἀγάλματά τε θεῶν πρῶτοι κατασκευάσαι λέγονται, καί τινα τῶν ἀρχαίων ἀφιδρυμάτων ἀπ' ἐκείνων ἐπωνομάσθαι· παρὰ μὲν γὰρ Λινδίοις Ἀπόλλωνα Τελχίνιον προσαγορευθῆναι, παρὰ δὲ Ἰαλυσίοις Ἥραν καὶ νύμφας Τελχινίας, παρὰ δὲ Καμειρεῦσιν Ἥραν Τελχινίαν. Λέγονται δ' οὗτοι καὶ γόητες γεγονέναι καὶ παράγειν ὅτε βούλοιντο νέφη τε καὶ ὄμβρους καὶ χαλάζας, ὁμοίως δὲ καὶ χιόνα ἐφέλκεσθαι. Ταῦτα δὲ καθάπερ καὶ τοὺς μάγους ποιεῖν ἱστοροῦσιν. Ἀλλάττειν δὲ καὶ τὰς ἰδίας μορφὰς, καὶ εἶναι φθονεροὺς ἐν τῇ διδασκαλίᾳ τῶν τεχνῶν. Ποσειδῶνα δὲ ἀνδρωθέντα ἐρασθῆναι τῆς τῶν Τελχίνων ἀδελφῆς Ἁλίας, καὶ μιχθέντα ταύτῃ γεννῆσαι παῖδας ἓξ μὲν ἄρρενας, μίαν δὲ θυγατέρα Ῥόδον, ἀφ' ἧς τὴν νῆσον ὀνομασθῆναι. Γενέσθαι δὲ κατὰ τὸν καιρὸν τοῦτον ἐν τοῖς πρὸς ἕω μέρεσι τῆς νήσου τοὺς κληθέντας γίγαντας· ὅτε δὴ καὶ Ζεὺς λέγεται καταπεπολεμηκὼς Τιτᾶνας ἐρασθῆναι μιᾶς τῶν νυμφῶν Ἱμαλίας ὀνομαζομένης, καὶ τρεῖς ἐξ αὐτῆς τεκνῶσαι παῖδας, Σπαρταῖον, Κρόνιον, Κύτον. Κατὰ δὲ τὴν τούτων ἡλικίαν φασὶν Ἀφροδίτην ἐκ Κυθήρων κομιζομένην εἰς Κύπρον καὶ προσορμιζομένην τῇ νήσῳ κωλυθῆναι ὑπὸ τῶν Ποσειδῶνος υἱῶν, ὄντων ὑπερηφάνων καὶ ὑβριστῶν· τῆς δὲ θεοῦ διὰ τὴν ὀργὴν ἐμβαλούσης αὐτοῖς μανίαν, μιγῆναι αὐτοὺς βίᾳ τῇ μητρὶ καὶ πολλὰ κακὰ δρᾶν τοὺς ἐγχωρίους. Ποσειδῶνα δὲ τὸ γεγονὸς αἰσθόμενον τοὺς υἱοὺς κρύψαι κατὰ γῆς διὰ τὴν πεπραγμένην αἰσχύνην, οὓς κληθῆναι προσηῴους δαίμονας· Ἁλίαν δὲ ῥίψασαν ἑαυτὴν εἰς τὴν θάλατταν Λευκοθέαν ὀνομασθῆναι καὶ τιμῆς ἀθανάτου τυχεῖν παρὰ τοῖς ἐγχωρίοις.

LVI. Χρόνῳ δ' ὕστερον προαισθομένους τοὺς Τελχῖνας τὸν μέλλοντα γίνεσθαι κατακλυσμὸν, ἐκλιπεῖν τὴν νῆσον καὶ διασπαρῆναι. Λύκον δ' ἐκ τούτων παραγενόμενον εἰς τὴν Λυκίαν, Ἀπόλλωνος Λυκίου ἱερὸν ἱδρύσασθαι παρὰ τὸν Ξάνθον ποταμόν. Τοῦ δὲ κατακλυσμοῦ γενομένου, τοὺς μὲν ἄλλους διαφθαρῆναι, τῆς δὲ νήσου διὰ τὴν ἐπομβρίαν ἐπιπολασάντων τῶν ὑγρῶν λιμνάσαι τοὺς ἐπιπέδους τόπους· ὀλίγους δ' εἰς τὰ μετέωρα τῆς νήσου συμφυγόντας διασωθῆναι, ἐν οἷς ὑπάρχειν καὶ τοὺς Διὸς παῖδας. Ἥλιον δὲ κατὰ μὲν τὸν μῦθον ἐρασθέντα τῆς Ῥόδου τήν τε νῆσον ἀπ' αὐτῆς ὀνομάσαι Ῥόδον καὶ τὸ ἐπιπολάζον ὕδωρ ἀφανίσαι· ὁ δ' ἀληθὴς λόγος ὅτι κατὰ τὴν ἐξ ἀρχῆς σύστασιν τῆς νήσου πηλώδους οὔσης ἔτι καὶ μαλακῆς, τὸν Ἥλιον ἀναξηράναντα τὴν πολλὴν ὑγρότητα ζωογονῆσαι τὴν γῆν, καὶ γενέσθαι τοὺς κληθέντας ἀπ' αὐτοῦ Ἡλιάδας ἑπτὰ τὸν ἀριθμὸν καὶ τοὺς λαοὺς ὁμοίως αὐτόχθονας. Ἀκολούθως

1.

Rhodus insula Telchinum olim sedes erat. Hos Thalassa progenitos cum Caphira, Oceani filia, Neptunum a Rhea ipsorum fidei commissum educasse fabula tradit. Artes etiam nonnullas invenisse, aliaque vitæ hominum in usum deduxisse, nec non primas deorum imagines elaborasse dicuntur, unde quædam simulacrorum veterum nominibus eorum insignita essent. Nam apud Lindios Apollinem Telchinium vocari, apud Ialysios Junonem et Nymphas Telchinias, apud Camirenses Junonem Telchiniam. Præstigiatores tamen etiam fuisse perhibentur, qui, quando vellent, nubes grandinemque et nives, quod magos alioqui factitare prædicant, inducerent, formasque immutarent, et doctrinam artium inviderent aliis. Neptunus autem, ut porro memorant, jam adultus, Haliam sororem Telchinum amavit, eamque ea commixtus liberos genuit, sex quidem mares, unamque filiam nomine Rhodum. Hinc nomen insulæ datum. Fuerunt tempestate illa, in ea insulæ parte, quæ occidentem spectat, Gigantes. Tunc etiam Juppiter, Titanibus debellatis, nymphæ cujusdam (Himaliæ ei nomen) amore tenebatur, et ex ea tres filios, Spartæum, Cronium et Cytum, procreavit. Horum ætate Venus, e Cytheris Cyprum petens, ad insulam appulit. Sed quum aditu a Neptuni filiis superbis et injuriosis prohiberetur, ira percita furorem illis injecit, quo acti vi matrem constuprarunt, et multa popularibus nocumenta intulerunt. Quo Neptunus cognito, filios ob rei turpitudinem terra occuluit; unde Dæmones seu Genii Orientales appellati sunt. Halia vero, postquam in mare se projecerat, cum Leucotheæ nomine divinos honores apud incolas adepta est.

LVI. Post hæc quum venturum Telchines diluvium præsagirent, ex insula egressi huc illuc dispersi sunt. Quorum e numero Lycus in Lyciam profectus, Lycii Apollinis fanum ad Xanthum fluvium exstruxit. Diluvio tandem ingruente, plurimi quidem interibant, quod depressa et plana insulæ loca continua imbrium præcipitatione longe lateque stagnarent; pauci vero, qui ad editiora perfugerant, salvi remanebant. Inter quos Jovis etiam nati fuerunt. Ceterum Sol, ut fabula quidem refert, Rhodi amore captus, insulam ejus nomine dignatus est, et aquarum redundantiam abolevit. Rei

δὲ τούτοις νομισθῆναι τὴν νῆσον ἱερὰν Ἡλίου καὶ τοὺς μετὰ ταῦτα γενομένους Ῥοδίους διατελέσαι περιττότερον τῶν ἄλλων θεῶν τιμῶντας τὸν Ἥλιον ὡς ἀρχηγὸν τοῦ γένους αὐτῶν. Εἶναι δὲ τοὺς ἑπτὰ υἱοὺς Ὄχιμον, Κέρκαφον, Μάκαρα, Ἀκτῖνα, Τενάγην, Τριόπαν, Κάνδαλον, θυγατέρα δὲ μίαν, Ἠλεκτρυώνην, ἣν ἔτι παρθένον οὖσαν μεταλλάξαι τὸν βίον καὶ τιμῶν τυχεῖν παρὰ Ῥοδίοις ἡρωικῶν. Ἀνδρωθεῖσι δὲ τοῖς Ἡλιάδαις εἰπεῖν τὸν Ἥλιον, οἵτινες ἂν Ἀθηνᾷ θύσωσι πρῶτοι, παρ' ἑαυτοῖς ἕξουσι τὴν θεόν· τὸ δ' αὐτὸ διασαφῆσαι λέγεται τοῖς τὴν Ἀττικὴν κατοικοῦσι. Διὸ καί φασι τοὺς μὲν Ἡλιάδας διὰ τὴν σπουδὴν ἐπιλαθομένους ἐνεγκεῖν πῦρ [καὶ] ἐπιθεῖναι [τότε] τὰ θύματα, τὸν δὲ τότε βασιλεύοντα τῶν Ἀθηναίων Κέκροπα ἐπὶ τοῦ πυρὸς θῦσαι ὕστερον. Διόπερ φασὶ διαμένειν μέχρι τοῦ νῦν τὸ κατὰ τὴν θυσίαν ἴδιον ἐν τῇ Ῥόδῳ καὶ τὴν θεὸν ἐν αὐτῇ καθιδρῦσθαι. Περὶ μὲν οὖν τῶν ἀρχαιολογουμένων παρὰ Ῥοδίοις οὕτω τινὲς μυθολογοῦσιν· ἐν οἷς ἐστι καὶ Ζήνων ὁ τὰ περὶ ταύτης συνταξάμενος.

Quæ deinde de antiquiore Rhodi insulæ historia apud Diodorum (cap. 57-59) leguntur, quum arcte antecedentibus juncta sint et patriæ rerum scriptorem prodant manifesto, dubitari nequit quin ex eodem potissimum Zenone hausta sint.

2.

Idem V, 57 : Οἱ δ' Ἡλιάδαι διάφοροι γενηθέντες τῶν ἄλλων ἐν παιδείᾳ διήνεγκαν καὶ μάλιστ' ἐν ἀστρολογίᾳ. Εἰσηγήσαντο δὲ καὶ περὶ τῆς ναυτιλίας πολλὰ καὶ τὰ περὶ τὰς ὥρας διέταξαν. Εὐφυέστατος δὲ γενόμενος Τενάγης ὑπὸ τῶν ἀδελφῶν διὰ φθόνον ἀνῃρέθη· γνωσθείσης δὲ τῆς ἐπιβουλῆς, οἱ μετασχόντες τοῦ φόνου πάντες ἔφυγον. Τούτων δὲ Μάκαρ μὲν εἰς Λέσβον ἀφίκετο, Κάνδαλος δὲ εἰς τὴν Κῶ· Ἀκτὶς δ' εἰς Αἴγυπτον ἀπάρας ἔκτισε τὴν Ἡλιούπολιν ὀνομαζομένην, ἀπὸ τοῦ πατρὸς θέμενος τὴν προσηγορίαν· οἱ δ' Αἰγύπτιοι ἔμαθον παρ' αὐτοῦ τὰ περὶ τὴν ἀστρολογίαν θεωρήματα. Ὕστερον δὲ παρὰ τοῖς Ἕλλησι γενομένου κατακλυσμοῦ, καὶ διὰ τὴν ἐπομβρίαν τῶν πλείστων ἀνθρώπων ἀπολομένων, ὁμοίως τούτοις καὶ τὰ διὰ τῶν γραμμάτων ὑπομνήματα συνέβη φθαρῆναι. Δι' ἣν αἰτίαν οἱ Αἰγύπτιοι καιρὸν εὔθετον λαβόντες ἐξιδιοποιήσαντο τὰ περὶ τὴν ἀστρολογίαν, καὶ τῶν Ἑλλήνων διὰ τὴν ἄγνοιαν μηκέτι τῶν γραμμάτων ἀντιποιουμένων, ἐνίσχυσεν ὡς αὐτοὶ πρῶτοι τὴν τῶν ἄστρων εὕρεσιν ἐποιήσαντο. Ὁμοίως δὲ καὶ Ἀθηναῖοι κτίσαντες ἐν Αἰγύπτῳ πόλιν τὴν ὀνομαζομένην Σάϊν, τῆς ὁμοίας ἔτυχον ἀγνοίας διὰ τὸν κατακλυσμόν. Δι' ἃς αἰτίας πολλαῖς ὕστερον γενεαῖς Κάδμος ὁ Ἀγήνορος ἐκ τῆς Φοινίκης πρῶτος ὑπελήφθη κομίσαι γράμματα εἰς τὴν Ἑλλάδα· καὶ ἀπ' ἐκείνου τὸ λοιπὸν οἱ Ἕλληνες ἔδοξαν ἀεί τι προσευρίσκειν περὶ τῶν γραμμάτων, κοινῆς τινος ἀγνοίας κατεχούσης τοὺς Ἕλληνας. Τριόπας δὲ, πλεύσας εἰς τὴν Καρίαν, κατέσχεν ἀκρωτήριον τὸ ἀπ' ἐκείνου Τριόπιον κληθέν. Οἱ δὲ λοιποὶ τοῦ Ἡλίου παῖδες διὰ τὸ μὴ μετασχεῖν τοῦ φόνου κατέμειναν ἐν τῇ Ῥόδῳ, καὶ κατῴκησαν ἐν τῇ Ἰαλυσίᾳ κτίσαντες πόλιν Ἀχαΐαν. Ὧν ὁ πρεσβύτερος Ὄχιμος βασιλεύων ἔγημε μίαν τῶν ἐγχωρίων νυμφῶν Ἡγητορίαν, ἐξ ἧς ἐγέννησε θυγατέρα Κυδίππην τὴν μετὰ ταῦτα Κυρβίαν μετονομασθεῖσαν·

---

autem veritas hæc est : sub primam rerum omnium constitutionem, quum insula cœnosa esset et mollis, Sol humore desiccato terram fœcundavit. Unde exorti qui Heliadæ ab ipso denominantur septem numero, et populus hominum æque atque illi terrigenarum. His convenienter insulam Soli consecratam existimant, et nati exinde Rhodii perpetuo Solem præ ceteris diis, tanquam generis sui auctorem, impensius colunt. Nomina septem ejus filiorum sunt Ochimus, Cercaphus, Macar, Actis, Tenages, Triopas et Candalus. Filiæ autem unicæ Electryone nomen erat; quæ adhuc virgo defuncta, heroïcos a Rhodiis honores sibi tributos habet. Heliadis ergo virilem ætatem adeptis, Sol prædixit, fore ut qui principes Minervæ sacra facerent, hi perpetuo deæ præsentia fruerentur. Id quod Atticis etiam vaticinatus dicitur. Accidit igitur ut Heliadæ præ festinatione obliviscerentur ignem prius focis admovere, quam victimas imponerent; Cecrops autem, tunc temporis Atheniensium rex, licet posterior immolaret, flammis tamen prior hostias adoleret. Ob id peculiaris quidam ritus sacrorum adhuc in Rhodo observatur, deæque simulacrum in hac fixum est. De antiquitatibus ergo Rhodiorum hæc quidam literis prodiderunt, inter quos etiam Zeno est, qui Rhodi historiam contexuit.

2.

Heliadæ autem, quum aliis hominibus præstarent, in disciplinis et maxime astrologicis excelluere. Ab his navigandi quoque scientia exculta, horæque in certas vices distributæ sunt. Acerrimo inter eos ingenio Tenages erat; ideoque fratrum invidia sublatus est. Detectis vero insidiis, cædis auctores et conscii solum verterunt omnes. Atque ita Macar in Lesbum, Candalus in Co pervenit. Actis vero in Ægyptum profectus Heliopolim condidit, parentis nomen illi imponens. Et ab hoc Ægyptii astrologiæ scientiam acceperunt. Post quum in Græcia diluvio oppressa maxima pars hominum periisset, literarum monumentis simul deletis, hanc Ægyptii occasionem adepti, studium astrologiæ sibi mancipárunt : quumque Græci per ignorantiam literarum culturam non amplius sibi vindicarent, ipsos omnium primos astrorum notitiam reperisse rumor invaluit. Sic etiam Athenienses, licet Sain in Ægypto urbem condidissent, tamen eidem oblivionis errori diluvium obnoxios fecit. Quam ob causam post multa inde secula Cadmus Agenoris ex Phœnicia in Græciam literas attulisse creditur : et post hunc Græci literis inventis subinde adjecisse aliquid putantur, quum communis Græcos ignorantia teneret. Triopas autem in Cariam trajecit, ibique promontorium, quod Triopium ab eo dicitur, occupavit. Reliqui Solis nati, a culpa cædis alieni, in Rhodo permanserunt, et condita Achaia urbe (quæ postea Cyrbe denominata est), in Ialysia deinceps habitarunt. Regia autem potestas erat penes Ochimum, ætate maximum : qui ducta in matrimonium Hegetoria, Nympharum una, filiam ex ea suscepit Cydippen, quæ Cyrbiæ nomen deinde

ἣν γήμας Κέρκαφος ὁ ἀδελφὸς διεδέξατο τὴν βασιλείαν. Μετὰ δὲ τὴν τούτου τελευτὴν διεδέξαντο τὴν ἀρχὴν [οἱ] υἱοὶ τρεῖς, Λίνδος, Ἰάλυσος, Κάμειρος. Ἐπὶ δὲ τούτων γενομένης μεγάλης πλημμυρίδος, ἐπικλυσθεῖσα ἡ Κύρβη ἔρημος ἐγένετο, αὐτοὶ δὲ διείλοντο τὴν χώραν, καὶ ἕκαστος ἑαυτοῦ πόλιν ὁμώνυμον ἔκτισε.

LVIII. Κατὰ δὲ τούτους τοὺς χρόνους Δαναὸς ἔφυγεν ἐξ Αἰγύπτου μετὰ τῶν θυγατέρων· καταπλεύσας δὲ τῆς Ῥοδίας εἰς Λίνδον καὶ προσδεχθεὶς ὑπὸ τῶν ἐγχωρίων, ἱδρύσατο τῆς Ἀθηνᾶς ἱερὸν καὶ τὸ ἄγαλμα τῆς θεοῦ καθιέρωσε. Τῶν δὲ τοῦ Δαναοῦ θυγατέρων τρεῖς ἐτελεύτησαν κατὰ τὴν ἐπιδημίαν τὴν ἐν τῇ Λίνδῳ, αἱ δ' ἄλλαι μετὰ τοῦ πατρὸς Δαναοῦ εἰς Ἄργος ἐξέπλευσαν. Μικρὸν δ' ὕστερον τούτων τῶν χρόνων Κάδμος ὁ Ἀγήνορος ἀπεσταλμένος ὑπὸ τοῦ βασιλέως κατὰ ζήτησιν τῆς Εὐρώπης, κατέπλευσεν εἰς τὴν Ῥοδίαν· κεχειμασμένος δ' ἰσχυρῶς κατὰ τὸν πλοῦν καὶ πεποιημένος εὐχὰς ἱδρύσασθαι Ποσειδῶνος ἱερὸν, διασωθεὶς ἱδρύσατο κατὰ τὴν νῆσον τοῦ θεοῦ τούτου τέμενος καὶ τῶν Φοινίκων ἀπέλιπέ τινας τοὺς ἐπιμελησομένους. Οὗτοι δὲ καταμιγέντες Ἰαλυσίοις διετέλεσαν συμπολιτευόμενοι τούτοις· ἐξ ὧν φασι τοὺς ἱερεῖς κατὰ γένος διαδέχεσθαι τὰς ἱερωσύνας. Ὁ δ' οὖν Κάδμος καὶ τὴν Λινδίαν Ἀθηνᾶν ἐτίμησεν ἀναθήμασιν, ἐν οἷς ἦν χαλκοῦς λέβης ἀξιόλογος κατεσκευασμένος εἰς τὸν ἀρχαῖον ῥυθμόν· οὗτος δ' εἶχεν ἐπιγραφὴν Φοινικικοῖς γράμμασιν, ἅ φασι πρῶτον ἐκ Φοινίκης εἰς τὴν Ἑλλάδα κομισθῆναι. Μετὰ δὲ ταῦτα τῆς Ῥοδίας γῆς ἀνείσης ὄφεις ὑπερμεγέθεις, συνέβη πολλοὺς τῶν ἐγχωρίων ὑπὸ τῶν ὄφεων διαφθαρῆναι. Διόπερ οἱ περιλειφθέντες ἔπεμψαν εἰς Δῆλον τοὺς ἐπερωτήσοντας τὸν θεὸν περὶ τῆς τῶν κακῶν ἀπαλλαγῆς. Τοῦ δ' Ἀπόλλωνος προστάξαντος αὐτοῖς παραλαβεῖν Φόρβαντα μετὰ τῶν συνακολουθούντων αὐτῷ, καὶ μετὰ τούτων κατοικεῖν τὴν Ῥόδον· οὗτος δ' ἦν υἱὸς μὲν Λαπίθου, διέτριβε δὲ περὶ Θετταλίαν μετὰ πλειόνων ζητῶν χώραν εἰς κατοίκησιν· τῶν δὲ Ῥοδίων μεταπεμψαμένων αὐτὸν κατὰ τὴν μαντείαν καὶ μεταδόντων τῆς χώρας, ὁ μὲν Φόρβας ἀνεῖλε τοὺς ὄφεις, καὶ τὴν νῆσον ἐλευθερώσας τοῦ φόβου, κατῴκησεν ἐν τῇ Ῥοδίᾳ· γενόμενος δὲ καὶ τἄλλα ἀνὴρ ἀγαθὸς, ἔσχε τιμὰς ἡρωικὰς μετὰ τὴν τελευτήν.

LIX. Ὕστερον δὲ τούτων Ἀλθαιμένης ὁ Κατρέως υἱὸς τοῦ Κρητῶν βασιλέως περί τινων χρηστηριαζόμενος ἔλαβε χρησμὸν ὅτι πεπρωμένον ἐστὶν αὐτῷ τοῦ πατρὸς αὐτόχειρα γενέσθαι. Βουλόμενος οὖν τοῦτο τὸ μύσος ἐκφυγεῖν, ἑκουσίως ἔφυγεν ἐκ τῆς Κρήτης μετὰ τῶν βουλομένων συναπᾶραι, πλειόνων ὄντων. Οὗτος μὲν οὖν κατέπλευσε τῆς Ῥοδίας εἰς Κάμειρον· ἐπὶ δ' ὄρους Ἀταβύρου Διὸς ἱερὸν ἱδρύσατο τοῦ προσαγορευομένου Ἀταβυρίου, ὅπερ ἔτι καὶ νῦν τιμᾶται διαφερόντως, κείμενον ἐπί τινος ὑψηλῆς ἄκρας, ἀφ' ἧς ἔστιν ἀφορᾶν τὴν Κρήτην. Ὁ μὲν οὖν Ἀλθαιμένης μετὰ τῶν συνακολουθησάντων κατῴκησεν ἐν τῇ Καμείρῳ, τιμώμενος ὑπὸ τῶν ἐγχωρίων· ὁ δὲ πατὴρ αὐτοῦ Κατρεὺς, ἔρημος ὢν ἀρρένων παίδων καὶ διαφερόντως ἀγαπῶν τὸν Ἀλθαιμένην, ἔπλευσεν εἰς Ῥόδον, φιλοτιμούμενος εὑρεῖν τὸν υἱὸν καὶ ἀπαγαγεῖν εἰς Κρήτην. Τῆς δὲ κατὰ τὸ πεπρωμένον ἀνάγκης ἐπισχυούσης, ὁ μὲν Κατρεὺς ἀπέβη μετά τινων ἐπὶ τὴν Ῥοδίαν νυκτὸς, καὶ γενομένης συμπλοκῆς καὶ μάχης πρὸς τοὺς ἐγχωρίους, ὁ Ἀλθαιμένης ἐκβοηθῶν ἠκόντισε λόγχῃ καὶ δι' ἄγνοιαν παίσας ἀπέκτεινε τὸν πατέρα. Γνωσθείσης δὲ τῆς

usurpavit; per cujus nuptias Cercaphus illius frater ad regnum pervenit. Post obitum hujus tres in principatum filii successerunt, Lindus, Ialysus, Camirus. Quorum temporibus ingens exorta inundatio Cyrben vastam et desertam fecit. Ipsi vero regionem inter se partiti sunt, et unusquisque sui nominis urbem ædificavit.

LVIII. Eo tempore Danaus, ex Ægypto cum filiarum agmine profugus, in Rhodum trajecit, et ab indigenis exceptus templum Minervæ statuit, eique delubrum consecravit. In hac Danai peregrinatione tres ei filiæ in Lindo fato concesserunt; ceteræ cum patre Argos profectæ sunt. Non ita longe post Cadmus Agenoris, ad investigationem Europæ a rege amandatus, et ipse Rhodum petebat. Dum autem vehementi jactatur tempestate, ad templum Neptuno condendum voto sese obligat. Superatis ergo periculis, in hac insula fanum dedicat, et nonnullos ex Phœnicibus sacrorum curatores relinquit. Hi in ejusdem cum Ialysiis civitatis societatem coaluere, atque ex horum familiis sacerdotum fieri successionem aiunt. Tum Lindiam etiam Minervam donariis Cadmus honoravit, inter quæ fuit æneus lebes, opus memorabile, antiqua concinnitate fabrefactum. Phœnicias hic literas insculptas habebat, quas ex Phœnice primum in Græciam allatas autumant. Rhodiorum inde terra serpentes produxit immanes, qui plurimis incolarum perniciem afferebant. Superstites ergo, missis in Delum legatis, de averruncatione præsentis mali deum consuluerunt. Jussit autem Apollo ut cum Phorbante ejusque sociis possessionem insulæ participarent. Erat is Lapithæ filius, et tum in Thessalia cum pluribus aliis subsistebat, commodam habitationi terram quærens. Arcessitus igitur a Rhodiis, et in communionem terræ susceptus Phorbas, serpentibus deletis, insulam ex metu illo exemit, inque Rhodo deinceps permansit. Tandem, quod in aliis quoque bonum se virum præstitisset, heroici post mortem honoris præmia tulit.

LIX. Post illud tempus Althæmenes, Catrei Cretensium regis filius, oraculum de quibusdam sciscitans, responsum accepit, fato constitutum esse ut sua manu patrem occidat. Hoc nefas ut effugeret, sponte cum aliis quamplurimis, qui ultro se adjungebant, in exilium abiit, et in Rhodi urbem Camirum trajecit. Illic in Atabyro monte Jovis Atabyrii templum fundavit, quod magna honorum solemnitate etiam hodie frequentatur. In cacumine excelso positum est, unde ad Cretam usque prospectus excurrit. Althæmenes ergo cum aliis eum secutis Camiri habitationem adeptus, honoribus eximiis a civibus afficiebatur. At pater ejus Catreus, cui nulla soboles mascula superesset, amore eximio Althæmenis impulsus, in Rhodum iter suscepit, hoc unice expetens, ut natum alicubi repertum in Cretam postliminio reduceret. Et jam insuperabilis eum fati necessitas urgebat. Noctu igitur cum aliquot suorum in Rhodum exscendit. Inter quos et

πράξεως, ὁ μὲν Ἀλθαιμένης οὐ δυνάμενος φέρειν τὸ μέγεθος τῆς συμφορᾶς, τὰς μὲν ἀπαντήσεις καὶ ὁμιλίας τῶν ἀνθρώπων παρέκαμπτε, διδοὺς δ' ἑαυτὸν εἰς τὰς ἐρημίας ἦλᾶτο μόνος καὶ διὰ τὴν λύπην ἐτελεύτησεν· ὕστερον δὲ κατά τινα χρησμὸν τιμὰς ἔσχε παρὰ Ῥοδίοις ἡρωικάς. Βραχὺ δὲ πρὸ τῶν Τρωικῶν Τληπόλεμος ὁ Ἡρακλέους φεύγων διὰ τὸν Λικυμνίου θάνατον, ὃν ἀκουσίως ἦν ἀνῃρηκώς, ἔφυγεν ἐξ Ἄργους ἑκουσίως· χρησμὸν δὲ λαβὼν ὑπὲρ ἀποικίας μετά τινων λαῶν κατέπλευσεν εἰς τὴν Ῥόδον, καὶ προσδεχθεὶς ὑπὸ τῶν ἐγχωρίων αὐτοῦ κατῴκησε. Γενόμενος δὲ βασιλεὺς πάσης τῆς νήσου τήν τε χώραν ἐπ' ἴσης κατεκληρούχησε καὶ τἄλλα διετέλεσεν ἄρχων ἐπιεικῶς. Τὸ δὲ τελευταῖον μετ' Ἀγαμέμνονος στρατεύων εἰς Ἴλιον, τῆς μὲν Ῥόδου τὴν ἡγεμονίαν παρέδωκε Βούτᾳ τῷ ἐξ Ἄργους αὐτῷ μετασχόντι τῆς φυγῆς, αὐτὸς δ' ἐπιφανὴς ἐν τῷ πολέμῳ γενόμενος ἐτελεύτησεν ἐν τῇ Τρῳάδι.

Præterea Diodorus ex Zenone petivisse mihi videtur narrationem uberrimam (lib. XX, 81-100) de bello quod contra Antigonum et Demetrium Poliorceten Rhodii sustinuerunt. Nam color narrationis scriptorem res patrias tractantem coarguit. Porro quod Diodorus XX, 81 in gloriam Rhodiorum civitatis monet, testamentum Alexandri apud Rhodios depositum fuisse, mirum in modum concinit cum iis quæ leguntur apud Pseudocallisthenem p. 147 sq., ubi ipsius testamenti apographum (ex eodem, puto, Zenone) exhibetur. V. Præfat. in Pseudocall. p. XXIII. — Denique Zenonis Rhodii nomen supplendum esse in titulo Prienensi (Corp. Inscr. II, n. 2905) conjecimus ad Mæandrii Milesii fragm. 3, p. 337, ubi vide.

3.

Polybius (Exc. Vales.) XVI, cap. 14: Ἐπεὶ δέ τινες τῶν τὰς κατὰ μέρος γραφόντων πράξεις γεγράφασι καὶ περὶ τούτων τῶν καιρῶν, ἐν οἷς τά τε κατὰ Μεσσηνίους καὶ τὰ κατὰ τὰς προειρημένας ναυμαχίας συνετελέσθη, βούλομαι βραχέα περὶ αὐτῶν διαλεχθῆναι. Ποιήσομαι δὲ οὐ πρὸς ἅπαντας, ἀλλ' ὅσους ὑπολαμβάνω μνήμης ἀξίους εἶναι καὶ διαστολῆς· εἰσὶ δ' οὗτοι Ζήνων καὶ Ἀντισθένης οἱ Ῥόδιοι.. Τούτους δὲ ἀξίους εἶναι κρίνω διὰ πλείους αἰτίας. Καὶ γὰρ κατὰ τοὺς καιροὺς γεγόνασι, καὶ πατρίδι πεπολίτευνται, καὶ καθόλου πεποίηνται τὴν πραγματείαν οὐχ ὠφελείας χάριν, ἀλλὰ δόξης καὶ τοῦ καθήκοντος ἀνδράσι πολιτικοῖς. Τῷ δὲ τὰς αὐτὰς γράφειν ἡμῖν πράξεις, ἀναγκαῖόν ἐστι μὴ παρασιωπᾶν, ἵνα μὴ τῷ τῆς πατρίδος ὀνόματι καὶ τῷ δοκεῖν οἰκειοτάτας εἶναι Ῥοδίοις τὰς κατὰ θάλατταν πράξεις, ἡμῶν ἀντιδοξούντων πρὸς αὐτούς, ἔνιοι μᾶλλον ἐπακολουθήσωσιν ἐκείνοις, ἤπερ ἡμῖν, οἱ φιλομαθοῦντες. Οὗτοι τοιγαροῦν ἀμφότεροι πρῶτον μὲν τὴν περὶ Λάδην ναυμαχίαν οὐχ ἧττω τῆς περὶ Χίον, ἀλλ' ἐνεργεστέραν καὶ παραβολωτέραν ἀποφαίνουσι, καὶ τῇ κατὰ μέρος τοῦ κινδύνου χρείᾳ καὶ συντελείᾳ, καὶ καθόλου, φασί, τὸ νίκημα γεγονέναι κατὰ τοὺς Ῥοδίους. Ἐγὼ δὲ διότι μὲν δεῖ ῥοπὰς διδόναι ταῖς αὑτῶν πατρίσι τοὺς συγγραφέας συγχωρήσαιμ' ἄν, οὐ μὴν τὰς ἐναντίας τοῖς συμβεβηκόσιν ἀποφάσεις ποιεῖσθαι περὶ αὐτῶν. Ἱκανὰ γὰρ τὰ κατ' ἄγνοιαν γιγνόμενα τοῖς γράφουσιν, ἃ διαφυγεῖν ἀνθρω-

---

insulanos oborto statim conflictu, Althæmenes ad opem suis ferendam excurrens, hastæ jactu ignarus patrem occidit. Qui casus ubi innotuit, magnitudinem calamitatis Althæmenes non sustinens, omnem deinceps hominum occursum et consuetudinem aversabatur, solusque in desertis oberrans locis, mœrore tandem exstinctus est. Heroici tamen ei post oraculi jussu honores a Rhodiis delati sunt. Hinc paullo ante bellum Trojanum Tlepolemus, Herculis filius, ob Licymnii cædem, quam invitus commiserat, sponte Argos exilio mutaverat, et postquam super colonia responsum acceperat, cum aliquanta populi manu in Rhodum transmisit, ubi ab incolis receptus consedit. Rex deinde totius insulæ creatus, agrum sortito in æquas partes divisit, et cetera etiam ad æquitatis normam administravit. Tandem cum Agamemnone contra Ilium expeditionem facturus imperium Butæ, qui Argis cum ipso profugerat, tradidit; ipse vero illustrem eo bello meritus gloriam in Troade occubuit.

3.

Sed quoniam nonnulli ex iis qui particulares Historias condiderunt, de his quoque temporibus scripsere, quibus et ista Messeniis acciderunt, et pugnatæ sunt navales illæ pugnæ, quæ a nobis expositæ sunt, fert animus, pauca de ipsis illis scriptoribus disserere. Dicam autem non de omnibus, sed de iis dumtaxat, qui memoratu maxime digni atque illustres mihi videntur. Hi sunt Zeno atque Antisthenes, Rhodii: quos multis ex causis nobilissimos esse existimo. Nam et illis ipsis temporibus vixerunt, et rempublicam in patria sua administrarunt, atque postremo non utilitatis propriæ causa, sed gloriæ studio, ac prout viros decet in republica versatos, ad scribendum se contulerunt. Quoniam vero easdem res ac nos ipsi historiæ mandarunt, non sunt silentio prætereundi; ne historiæ studiosi, patriæ celebritate eaque opinione inducti, quod rei navalis gloria Rhodiorum propria esse videtur, si quando ab illis scriptoribus dissentiamus, illorum sententiæ libentius quam nostræ accedant. Igitur ambo illi primum quidem aiunt, prœlium navale ad Laden non inferius fuisse pugna ad Chium (201 a. C. vid. Polyb. XVI, c. 1-9), sed longe acrius ac formidolosius: et quum particulatim in singulis pugnæ momentis atque rebus gestis, tum in summa rei penes Rhodios stetisse victoriam affirmant. Ego vero scriptores paululum in patriæ suæ gratiam inclinare debere non diffitear: sed ita tamen, ut ne talia de ea prædicent, quæ sunt rebus gestis contraria. Etenim sunt alia sat multa peccata, in quæ ex veri ignoratione scriptores incurrunt; quæ quidem, quum homines nati simus, vitare difficile est. Quodsi etiam de industria falsum scientes scribamus, sive in patriæ, sive in amicorum gratiam, quid interest inter nos atque eos qui ejusmodi instituto victum sibi compa-

πον δυσχερές. Ἐὰν δὲ κατὰ προαίρεσιν ψευδογραφῶμεν, ἢ πατρίδος ἕνεκεν, ἢ φίλων, ἢ χάριτος, τί διοίσομεν τῶν ἀπὸ τούτου τὸν βίον ποριζομένων; Ὥσπερ γὰρ ἐκεῖνοι, τῷ λυσιτελεῖ μετροῦντες, ἀδοκίμους ποιοῦσι τὰς αὑτῶν συντάξεις· οὕτως οἱ πολιτικοὶ, τῷ μισεῖν ἢ τῷ φιλεῖν ἑλκόμενοι, πολλάκις εἰς τὸ αὐτὸ τέλος ἐμπίπτουσι τοῖς προειρημένοις. Δι' ὃ δεῖ καὶ τοῦτο τὸ μέρος ἐπιμελῶς τοὺς μὲν ἀναγινώσκοντας παρατηρεῖν, τοὺς δὲ γράφοντας αὐτοὺς παραφυλάττεσθαι.

XV. Δῆλον δ' ἔστι τὸ λεγόμενον ἐκ τῶν ἐνεστώτων. Ὁμολογοῦντες γὰρ οἱ προειρημένοι, διὰ τῶν κατὰ μέρος, ἐν τῇ περὶ Λάδην ναυμαχίᾳ δύο μὲν αὐτάνδρους πεντήρεις τῶν Ῥοδίων ὑποχειρίους γενέσθαι τοῖς πολεμίοις· ἐκ δὲ τοῦ κινδύνου μιᾶς νηὸς ἐπαραμένης τὸν δόλωνα διὰ τὸ τετρωμένην αὐτὴν θαλαττοῦσθαι, πολλοὺς καὶ τῶν ἐγγὺς τὸ παραπλήσιον ποιοῦντας ἀποχωρεῖν πρὸς τὸ πέλαγος· τέλος δὲ μετ' ὀλίγων καταλειφθέντα τὸν ναύαρχον ἀναγκασθῆναι ταυτὸ τοῖς προειρημένοις πράττειν· καὶ τότε μὲν εἰς τὴν Μυνδίαν ἀπουρώσαντας καθορμισθῆναι, τῇ δ' ἐπαύριον ἀναχθέντας εἰς Κῶ διᾶραι· τοὺς δὲ πολεμίους τὰς πεντήρεις ἐνάψασθαι, καὶ καθορμισθέντας ἐπὶ τὴν Λάδην, ἐπὶ τῇ ἐκείνων στρατοπεδείᾳ ποιήσασθαι τὴν ἔπαυλιν· ἔτι δὲ τοὺς Μιλησίους, καταπλαγέντας τὸ γεγονὸς, οὐ μόνον τὸν Φίλιππον, ἀλλὰ καὶ τὸν Ἡρακλείδην στεφανῶσαι διὰ τὴν ἔφοδον. Ταῦτα δ' εἰρηκότες, ἃ προφανῶς ἐστιν ἴδια τῶν ἡττημένων, ὅμως καὶ διὰ τῶν κατὰ μέρος, καὶ διὰ τῆς καθολικῆς ἀποφάσεως, νικῶντας ἀποφαίνουσι τοὺς Ῥοδίους· καὶ ταῦτα, τῆς ἐπιστολῆς ἔτι μενούσης ἐν τῷ πρυτανείῳ, τῆς ὑπ' αὐτοὺς τοὺς καιροὺς ὑπὸ τοῦ ναυάρχου πεμφθείσης περὶ τούτων τῇ τε βουλῇ καὶ τοῖς πρυτάνεσιν, οὐ ταῖς Ἀντισθένους καὶ Ζήνωνος ἀποφάσεσιν *, ἀλλὰ ταῖς ἡμετέραις.

XVI. Ἑξῆς δὲ τοῖς προειρημένοις γράφουσι περὶ τοῦ κατὰ Μεσσηνίους παρασπονδήματος. Ἐν ᾧ φησιν ὁ Ζήνων, ὁρμήσαντα τὸν Νάβιν ἐκ τῆς Λακεδαίμονος, καὶ διαβάντα τὸν Εὐρώταν ποταμὸν, παρὰ τὸν Ὁπλίτην προσαγορευόμενον πορεύεσθαι διὰ τῆς ὁδοῦ τῆς στενῆς παρὰ τὸ Πολιάσιον, ἕως ἐπὶ τοὺς κατὰ Σελλασίαν ἀφίκετο τόπους· ἐντεῦθεν δὲ ἐπὶ Θαλάμας ἐπιβαλόντα κατὰ Φαρὰς παραγενέσθαι πρὸς τὸν Πάμισον ποταμόν. Ὑπὲρ ὧν οὐκ οἶδα πῶς χρὴ λέγειν. Τοιαύτην γὰρ φύσιν ἔχει τὰ προειρημένα πάντα συλλήβδην, ὥστε μηδὲν διαφέρει τοῦ λέγειν, ὅτι ποιησάμενός τις ἐκ Κορίνθου τὴν ὁρμὴν, καὶ διαπορευθεὶς τὸν Ἰσθμὸν, καὶ συνάψας ταῖς Σκιρωνίσιν, εὐθέως ἐπὶ τὴν Κοντοπορίαν ἐπεβάλετο, καὶ παρὰ τὰς Μυκήνας ἐποιεῖτο τὴν πορείαν εἰς Ἄργος. Ταῦτα γὰρ οὐχ οἷον παρὰ μικρόν ἐστιν, ἀλλὰ τὴν ἐναντίαν διάθεσιν ἔχει πρὸς ἄλληλα. Καὶ τὰ μὲν κατὰ τὸν Ἰσθμόν ἐστι καὶ τὰς Σκιράδας πρὸς ἀνατολὰς τῆς Κορίνθου, τὰ δὲ κατὰ τὴν Κοντοπορίαν καὶ Μυκήνας, ἔγγιστα πρὸς δύσεις χειμερινάς. Ὥστ' εἶναι τελέως ἀδύνατον, ἀπὸ τῶν προηγουμένων ἐπιβαλεῖν τοῖς προειρημένοις τόποις. Τὸ δ' αὐτὸ καὶ περὶ τοὺς κατὰ τὴν Λακεδαίμονα συμβέβηκεν. Ὁ μὲν γὰρ Εὐρώτας καὶ τὰ περὶ τὴν Σελλασίαν κεῖται τῆς Σπάρτης ὡς πρὸς τὰς θερινὰς ἀνατολάς· τὰ δὲ κατὰ Θαλάμας καὶ Φαρὰς καὶ Πάμισον, ὡς πρὸς τὰς χειμερινὰς δύσεις. Ὅθεν οὐχ οἷον ἐπὶ τὴν Σελλασίαν, ἀλλ' οὐδὲ τὸν Εὐρώταν δέον ἐστὶ διαβαίνειν τὸν προτιθέμενον παρὰ Θαλάμας ποιεῖσθαι τὴν πορείαν εἰς τὴν Μεσσηνίαν.

rant? Nam quemadmodum illi, veritatem utilitate sua metiendo, scriptis suis auctoritatem detrahunt : sic viri in republica exercitati, sæpenumero odio aut amore attracti, in idem atque isti vitium incidere solent. Proinde et lectores diligenter ad hoc attendere oportet, et scriptores ipsos sedulo sibi ab hac parte cavere.

XV. Atque hoc ex iis quæ in manibus nunc habemus, perspicuum est. Nam quum auctores illi superius nominati in rerum singularum expositione fateantur, in pugna navali ad Laden duas Rhodiorum quinqueremes cum ipsis viris ab hoste esse captas; et in ipso discrimine, quum navis una vulnerata, jamjamque submergenda, dolonem sustulisset, multos ex proximis navibus exemplum secutos, in altum refugisse, tandemque præfectum classis, cum paucis relictum, idem invitum fecisse; ac tum quidem in Myndiam tempestate ejectos, postridie inde profectos in insulam Co trajecisse; hostes vero et quinqueremes captas ad naves suas religasse, et, appulsis navibus ad insulam Laden, in ipsis Rhodiorum castris stationem fecisse; præterea Milesios, rei eventu territos, non Philippo solum, sed etiam Heraclidi urbem ingressis coronas obtulisse : hæc quum illi fateantur, quæ victos manifesto arguunt, nihilominus quum in singulis partibus, tum in generali sententia, quam de summa rei ferunt, Rhodios victores pronunciant : idque, quum etiamnunc in prytaneo exstent literæ, his de rebus per id ipsum tempus a navarcho scriptæ ad senatum magistratusque Rhodiorum, quæ literæ non Antisthenis ac Zenonis narrationi, sed nostræ, consentiunt.

XVI. Postea iidem auctores de injuria scribunt, contra fœderis leges Messeniis illata. Quo loco Zeno ait : Nabim, Lacedæmone profectum, trajecto Eurota fluvio, juxta rivum, qui Hoplites vocatur, via, quam Sthenen seu angustam vocant, iter fecisse præter Poliasium, donec ad Sellasiæ agrum pervenit. Inde Thalamas delatum per oppidum Pharas ad Pamisum fluvium venisse. De quibus equidem quid dicam, nescio. Prorsus enim idem est, ac si diceres, Corintho profectum quempiam, trajecto Isthmo, postquam Scironidas ad petras accessit, recta Contoporiam venisse, ac præter Mycenas iter Argos fecisse. Hæc enim haudquaquam levi differentia, sed plane contrario situ sibi invicem sunt opposita : quippe Isthmus et Scironia saxa ad ortum sunt Corintho; Contoporia autem ac Mycenæ proxime ad occasum hibernum. Proinde fieri nullo modo potest, ut, qui iter illud teneat, ad loca superius memorata unquam accedat. Eadem vero ratio est illorum Laconiæ locorum. Namque Eurotas et ager Sellasiorum ad orientem æstivum Spartæ siti sunt; Thalamæ vero et Pharæ ac Pamisus amnis proxime ad occasum hibernum. Quo fit, non modo ut Sellasiam pervenire, sed ne Eurotam quidem trajicere debeat is, qui per Thalamas in Messeniam iter instituerit.

XVII. Πρὸς δὲ τούτοις φησὶ, τὴν ἐπάνοδον ἐκ τῆς Μεσσήνης πεποιῆσθαι τὸν Νάβιν κατὰ τὴν πύλην τὴν φέρουσαν ἐπὶ Τέγεαν. Τοῦτο δ' ἔστιν ἄλογον. Πρόκειται γὰρ τῆς Τεγέας ἡ Μεγάλη Πόλις ὡς πρὸς τὴν Μεσσήνην, ὥστ' ἀδύνατον εἶναι, καλεῖσθαί τινα πύλην παρὰ τοῖς Μεσσηνίοις ἐπὶ Τέγεαν. Ἀλλ' ἔστι παρ' αὐτοῖς πύλη Τεγεᾶτις προσαγορευομένη, καθ' ἣν ἐποίησε τὴν ἐπάνοδον Νάβις· ᾧ πλανηθεὶς, ἔγγιον ὑπέλαβε τὴν Τέγεαν εἶναι Μεσσηνίων. Τὸ δ' ἔστιν οὐ τοιοῦτον, ἀλλ' ἡ Λακωνικὴ καὶ ἡ Μεγαλοπολῖτις χώρα μεταξὺ κεῖται τῆς Μεσσηνίας καὶ Τεγεάτιδος. Τὸ δὲ τελευταῖον· φησὶ γὰρ τὸν Ἀλφειὸν, ἐκ τῆς πηγῆς εὐθέως κρυφθέντα, καὶ πολὺν ἐνεχθέντα τόπον ὑπὸ γῆς, ἐκβάλλειν περὶ Λυκόαν τῆς Ἀρκαδίας. Ὁ δὲ ποταμὸς, οὐ πολὺν τόπον ἀποσχὼν τῆς πηγῆς, καὶ κρυφθεὶς ἐπὶ δέκα στάδια, πάλιν ἐκπίπτει· καὶ τὸ λοιπὸν φερόμενος διὰ τῆς Μεγαλοπολίτιδος, τὰς μὲν ἀρχὰς ἐλαφρὸς, εἶτα λαμβάνων αὔξησιν, καὶ διανύσας ἐπιφανῶς πᾶσαν τὴν προειρημένην χώραν ἐπὶ σʹ σταδίους, γίγνεται πρὸς Λυκόαν, ἤδη προσειληφὼς καὶ τὸ τοῦ Λουσίου ῥεῦμα, καὶ παντελῶς ἄβατος ὢν καὶ βαρύς. *** Οὐ μὴν ἀλλὰ καὶ πάντα μοι δοκεῖ τὰ προειρημένα, διαπτώματα μὲν εἶναι, πρόφασιν δὲ ἐπιδέχεσθαι καὶ παραίτησιν· τὰ μὲν γὰρ δι' ἄγνοιαν γέγονε, τὸ δὲ περὶ τὴν ναυμαχίαν διὰ τὴν πρὸς τὴν πατρίδα φιλοστοργίαν. Εἶτα, τίς οὐκ εἰκότως ἂν Ζήνωνι μέμψαιτο, διότι τὸ πλεῖον οὐ περὶ τὴν τῶν πραγμάτων ζήτησιν, οὐδὲ περὶ τὸν χειρισμὸν τῆς ὑποθέσεως, ἀλλὰ περὶ τὴν τῆς λέξεως κατασκευὴν ἐσπούδακε, καὶ δῆλός ἐστι πολλάκις ἐπὶ τούτῳ σεμνυνόμενος, καθάπερ καὶ πλείους ἕτεροι τῶν ἐπιφανῶν συγγραφέων; Ἐγὼ δὲ φημὶ μὲν, δεῖν πρόνοιαν ποιεῖσθαι καὶ σπουδάζειν ὑπὲρ τοῦ δεόντως ἐξαγγέλλειν τὰς πράξεις· δῆλον γὰρ, ὡς οὐ μικρὰ, μεγάλα δὲ συμβάλλεται τοῦτο πρὸς τὴν ἱστορίαν· οὐ μὴν ἡγεμονικώτατόν γε καὶ πρῶτον αὐτὸ παρὰ τοῖς μετρίοις ἀνδράσι τίθεσθαι. Πολλοῦ γε δεῖ· ἄλλα γὰρ ἂν εἴη καλλίω μέρη τῆς ἱστορίας, ἐφ' οἷς ἂν μᾶλλον σεμνυνθείη πολιτικὸς ἀνήρ.

XVIII. Ὃ δὲ λέγειν βούλομαι, γένοιτ' ἂν οὕτω μάλιστα καταφανές. Ἐξηγούμενος γὰρ ὁ προειρημένος συγγραφεὺς τήν τε Γάζης πολιορκίαν καὶ τὴν γενομένην παράταξιν Ἀντιόχου πρὸς Σκόπαν ἐν Κοίλῃ Συρίᾳ περὶ τὸ Πάνιον, περὶ μὲν τὴν τῆς λέξεως κατασκευὴν δῆλός ἐστιν ἐπὶ τοσοῦτον ἐσπουδακὼς, ὡς ὑπερβολὴν τερατείας μὴ καταλιπεῖν τοῖς τὰς ἐπιδεικτικὰς καὶ πρὸς ἔκπληξιν τῶν πολλῶν συντάξεις ποιουμένοις· τῶν γε μὴν πραγμάτων ἐπὶ τοσοῦτον ὠλιγώρηκεν, ὥστε πάλιν ἀνυπέρβλητον εἶναι τὴν εὐχέρειαν καὶ τὴν ἀπειρίαν τοῦ συγγραφέως. Προθέμενος γὰρ πρώτην διασαφεῖν τὴν τῶν περὶ τὸν Σκόπαν ἔκταξιν, τῷ μὲν δεξιῷ κέρατί φησι τῆς ὑπωρείας ἔχεσθαι τὴν φάλαγγα μετ' ὀλίγων ἱππέων· τὸ δ' εὐώνυμον αὐτῆς, καὶ τοὺς ἱππεῖς πάντας τοὺς ἐπὶ τούτου τεταγμένους, ἐν τοῖς ἐπιπέδοις κεῖσθαι. Τὸν δ' Ἀντίοχον ἔτι μὲν τῆς ἑωθινῆς ἐκπέμψαι φησὶ τὸν πρεσβύτερον υἱὸν Ἀντίοχον, ἔχοντα μέρος τι τῆς δυνάμεως, ἵνα προκαταλάβηται τῆς ὀρεινῆς τοὺς ὑπερκειμένους τῶν πολεμίων τόπους· τὴν δὲ λοιπὴν δύναμιν ἅμα τῷ φωτὶ διαβιβάσαντα τὸν ποταμὸν, μεταξὺ τῶν στρατοπέδων ἐν τοῖς ἐπιπέδοις ἐκτάττειν, τιθέντα τοὺς μὲν φαλαγγίτας ἐπὶ μίαν εὐθεῖαν κατὰ μέσην τὴν τῶν πολεμίων τάξιν, τῶν δ' ἱππέων τοὺς μὲν ἐπὶ τὸ λαιὸν

XVII. Insuper scribit, Nabidem Messena reversum esse per portam, qua iter est Tegeam. Quod est absurdum. Namque ante Tegeam, versus ipsam Messenam, sita est Megalopolis; ut nulla porta apud Messenios ita vocari possit, ad Tegeam. Est quidem apud eos porta, quæ Tegeatis appellatur, qua Nabis domum reversus est: qua re in errorem inductus Zeno, proximam Messenæ Tegeam esse existimavit. Atqui aliter res habet: nam Laconicus ac Megalopolitanus ager Messeniam inter ac Tegeatidem interjacet. Postremo idem Zeno affirmat Alpheum ab ipso statim fonte occultatum, postquam per longinqua terræ spatia subterraneus fluxit, circa Lycoam Arcadiæ oppidum sese egerere. At hic fluvius non procul a suis fontibus infra terram subiens, ac per decem stadia occultus, rursus erumpit: ac deinceps per Megalopolitanum agrum fluens, initio quidem modicus, postea incremento accepto, celebris universam illam regionem permeat per ducenta stadia, et sic demum Lycoam attingit, adscito jam flumine Lusio validus omnino, nec vado permeabilis. *** Enimvero cuncta hujusmodi mihi quidem peccata esse videntur, sed quæ excusationem ac veniam admittant: hæc enim ex ignoratione veri profecta sunt; illud vero, de pugna navali, ex innato erga patriam amore fluxit. Deinde ecquis non merito Zenonem accuset, quod non in ipsa rerum inquisitione, neque in argumenti sui tractatione, sed in dictionis elegantia plurimum studii posuit, atque in eo sæpiuscule se jactat? quod quidem et plerique alii scriptores celeberrimi nominis fecere. Ego vero curam quidem ac studium in eo collocandum esse censeo, ut res gestæ eleganter atque ornate proferantur; neque enim exigua, sed maxima inde utilitas historiæ accedit: ita tamen, ut ne prima ac potissima ea pars a viris moderatis habeatur. Multum profecto abest: aliæ enim sunt præstantiores historiæ partes, in quibus vir rerum civilium gnarus justius sese ostentet.

XVIII. Hoc, quod dico, ex sequenti exemplo manifestum fiet. Idem hic scriptor, ubi Gazæ obsidionem atque illud prœlium narrat, quo Antiochus in Cœle Syria ad Panium cum Scopa conflixit, in sermonis ornatu tantum studium posuisse deprehenditur, ut illos etiam, qui ex professo ad ostentationem ac plausum scripta sua componunt, longo intervallo superarit. In rebus autem ipsis adeo negligens fuit, ut hac levitate illius atque imperitia nulla major esse possit. Ordinem enim instructæ a Scopa aciei primum exponere exorsus, in dextro quidem cornu phalangem cum modica parte equitatus ad pedem montis constitisse scribit; cornu vero ejusdem sinistrum, atque omnes in eo cornu ordinatos equites, planitiem tenuisse. Ceterum Antiochum prima etiamnum luce partem copiarum, præfecto majore e filiis Antiocho, præmisisse, ut editiora montium loca, quæ hostibus imminebant, occuparet: dein sole illucescente, trajecto cum reliquis copiis fluvio, inter utraque castra in planitie aciem instruxisse; ac phalangem quidem

κέρας τῆς φάλαγγος, τοὺς δ' ἐπὶ τὸ δεξιὸν, ἐν οἷς εἶναι καὶ τὴν κατάφρακτον ἵππον, ἧς ἡγεῖτο πάσης ὁ νεώτερος Ἀντίοχος τῶν υἱῶν. Μετὰ δὲ ταῦτα, φησὶ, τὰ θηρία προτάξαι τῆς φάλαγγος ἐν διαστήματι, καὶ τοὺς μετ' Ἀντιπάτρου Ταραντίνους, τὰ δὲ μεταξὺ τῶν θηρίων πληρῶσαι τοῖς τοξόταις καὶ σφενδονήταις, αὐτὸν δὲ μετὰ τῆς ἑταιρικῆς ἵππου καὶ τῶν ὑπασπιστῶν κατόπιν ἐπιστῆναι τοῖς θηρίοις. Ταῦτα δὲ ὑποθέμενος, τὸν μὲν νεώτερον Ἀντίοχον, φησὶν, ὃν ἐν τοῖς ἐπιπέδοις ἔθηκε κατὰ τὸ λαιὸν τῶν πολεμίων, ἔχοντα τὴν κατάφρακτον ἵππον, τοῦτον ἐκ τῆς ὀρεινῆς ἐπενεχθέντα τρέψασθαι τοὺς ἱππέας τοὺς περὶ τὸν Πτολεμαῖον τὸν Ἀερόπου, καὶ καταδιώκειν, ὃς ἐτύγχανε τοῖς Αἰτωλοῖς ἐπιτεταγμένος ἐν τοῖς ἐπιπέδοις ἐπὶ τῶν εὐωνύμων· τὰς δὲ φάλαγγας, ἐπεὶ συνέβαλον ἀλλήλαις, μάχην ποιεῖν ἰσχυράν. Ὅτι δὲ συμβαλεῖν ἀδύνατον ἦν, τῶν θηρίων καὶ τῶν ἱππέων καὶ τῶν εὐζώνων προτεταγμένων, τοῦτο οὐκέτι συνορᾷ.

XIX. Μετὰ δὲ ταῦτα, φησὶ, καταπροτερουμένην τὴν φάλαγγα ταῖς εὐχερείαις καὶ πιεζομένην ὑπὸ τῶν Αἰτωλῶν, ἀναχωρεῖν ἐπὶ πόδα· τὰ δὲ θηρία, τοὺς ἐγκλίνοντας ἐκδεχόμενα, καὶ συμπίπτοντα τοῖς πολεμίοις, μεγάλην παρέχεσθαι χρείαν. Πῶς δὲ ταῦτα γέγονεν ὀπίσω τῆς φάλαγγος, οὐ ῥᾴδιον καταμαθεῖν, ἢ πῶς, γενόμενα, παρείχετο χρείαν μεγάλην. Ὅτε γὰρ ἅπαξ αἱ φάλαγγες συνέπεσον ἀλλήλαις, οὐκέτι δυνατὸν ἦν, κρῖναι τὰ θηρία, τίς τῶν ὑποπιπτόντων φίλιος ἢ πολέμιός ἐστι. Πρὸς δὲ τούτοις φησὶ, τοὺς Αἰτωλῶν ἱππέας δυσχρηστεῖσθαι κατὰ τὸν κίνδυνον διὰ τὴν ἀσυνήθειαν τῆς τῶν θηρίων φαντασίας. Ἀλλ' οἱ μὲν ἐπὶ τοῦ δεξιοῦ ταχθέντες ἐξαρχῆς ἀκέραιοι διέμενον, ὡς αὐτός φησι· τὸ δὲ λοιπὸν πλῆθος τῶν ἱππέων, τὸ μερισθὲν ἐπὶ τὸ λαιὸν, ὑποφεύγει πᾶν ὑπὸ τῶν περὶ τὸν Ἀντίοχον ἡττημένον. Ποῖον οὖν μέρος τῶν ἱππέων ἦν κατὰ μέσην τὴν φάλαγγα τὸ τοὺς ἐλέφαντας ἐκπληττόμενον; ποῦ δὲ ὁ βασιλεὺς γέγονε; καὶ τίνα παρέσχηται χρείαν ἐν τῇ μάχῃ, τὸ κάλλιστον σύστημα περὶ αὐτὸν ἐσχηκὼς καὶ τῶν πεζῶν καὶ τῶν ἱππέων; ἁπλῶς γὰρ οὐδὲν εἴρηται περὶ τούτων. Ποῦ δὲ ὁ πρεσβύτερος τῶν υἱῶν Ἀντίοχος, ὁ μετὰ μέρους τινὸς τῆς δυνάμεως προκαταλαβόμενος τοὺς ὑπερδεξίους τόπους; Οὗτος μὲν γὰρ οὐδὲ εἰς τὴν στρατοπεδείαν ἀνακεχώρηκεν αὐτῷ μετὰ τὴν μάχην. Εἰκότως· δύο γὰρ Ἀντιόχους ὑπέθετο τοῦ βασιλέως υἱοὺς, ὄντος ἑνὸς τοῦ τότε συνεστρατευμένου. Πῶς δὲ ὁ Σκόπας ἅμα μὲν αὐτῷ πρῶτος, ἅμα δ' ἔσχατος ἀναλέλυκεν ἐκ τοῦ κινδύνου; Φησὶ γὰρ αὐτὸν ἰδόντα τοὺς περὶ τὸν νεώτερον Ἀντίοχον ἐκ τοῦ διώγματος ἐπιφαινομένους κατὰ νώτου τοῖς φαλαγγίταις, καὶ διὰ τοῦτο τὰς τοῦ νικᾶν ἐλπίδας ἀπογνόντα, ποιεῖσθαι τὴν ἀποχώρησιν· μετὰ δὲ ταῦτα συστῆναι τὸν μέγιστον κίνδυνον, κυκλωθείσης τῆς φάλαγγος ὑπό τε τῶν θηρίων καὶ τῶν ἱππέων, καὶ τελευταῖον ἀποχωρῆσαι τὸν Σκόπαν ἀπὸ τοῦ κινδύνου.

XX. Ταῦτα δέ μοι δοκεῖ, καὶ καθόλου τὰ τοιαῦτα τῶν ἀλογημάτων, πολλὴν ἐπιφέρειν αἰσχύνην τοῖς συγγραφεῦσι. Διὸ δεῖ μάλιστα μὲν πειρᾶσθαι πάντων κρατεῖν τῶν τῆς ἱστορίας μερῶν· καλὸν γάρ· εἰ δὲ μὴ τοῦτο

---

uno ordine mediæ hostium aciei opposuisse; equitatus vero partem ad sinistrum phalangis cornu constituisse, partem ad dextrum, in quo et cataphracti erant equites, quibus Antiochus, filiorum junior, erat præfectus. Deinde subdit, elephantos ante ipsam phalangem in prima acie certis intervallis ordinatos fuisse cum equitibus Tarentinis, quibus præerat Antipater; intervalla autem belluarum sagittariis ac funditoribus Antiochum complevisse; ipsum, cum Amicorum ala et corporis custodibus, post belluas stetisse. Atque his ita præmissis, mox juniorem Antiochum, quem in planitie e regione sinistri hostium cornu cataphractis equitibus præfectum posuerat, eundem, ait, subito ex collibus coortum, equites, quibus Ptolemæus Aeropi filius præerat, in fugam vertisse, ac diu persecutum esse; qui quidem Ptolemæus Ætolos in planitie ad lævam positos ducebat: ipsas autem phalanges, postquam congressæ invicem sunt, acre prœlium fecisse. Atqui non animadvertit, prorsus fieri non potuisse, ut, in prima acie consistentibus elephantis et equitibus levique armatura, phalanges inter se congrederentur.

XIX. Postea subjicit, Macedonum phalangem, agilitati cedentem incumbentium Ætolorum, pede presso se recepisse; elephantos vero, quum cedentes reciperent, atque in hostem ferrentur, magno adjumento fuisse. Qua ratione autem elephanti a tergo phalangis fuerint, aut, si ibi fuerunt, quo pacto magnum attulerint commodum, intelligere difficile est. Simul enim ac phalanges inter se concurrerunt, discernere belluæ amplius non potuerunt, uter cedentium amicus, uter hostis esset. Præterea, equitatum, ait, Ætolorum inusitata belluarum specie inter pugnandum territum esse. Atqui in dextro locati cornu equites incolumes atque integri perstitere, ut idem refert: ceteri vero, in sinistro cornu distributi, ab juniore Antiocho superati, terga verterunt. Quinam igitur sunt equites illi, in media phalange positi, qui belluarum aspectu cohorruerunt? ubinam vero rex ipse adfuit? et quem sui usum in pugna præbuit, quum lectissimum et peditum et equitum agmen circa se haberet? neque enim de his quidquam omnino dicit. Ubinam vero gentium est major filiorum, Antiochus, qui cum parte exercitus præmissus superiora loca occupaverat? Hic enim ne confecto quidem prœlio in castra reversus ab illo memoratur. Atque id merito: duos enim Antiochi filios posuit, quum non nisi unus tunc ad bellum cum patre esset profectus. Denique quonam pacto Scopas, apud hunc scriptorem, primus simul ac postremus ex pugna discessit? Etenim Scopam scribit, quum juniorem Antiochum, a persequendo reversum, a tergo phalangitis instare cerneret, tum penitus de victoria desperantem se recepisse: postea vero maximum in discrimen adductam rem esse, inclusa hinc ab elephantis, inde ab equitibus phalange; Scopamque postremum cessisse ex discrimine.

XX. Hæc vero atque omnino hujusmodi errata magno pudori scriptoribus esse existimo. Proinde maxime quidem enitendum est, ut omnes historiæ partes ac numeros expleamus; id enim inprimis laudabile est: sin vero illud consequi non possumus, maxime in præcipuis ac summe

δυνατὸν, τῶν ἀναγκαιοτάτων καὶ τῶν μεγίστων ἐν αὐτῇ πλείστην ποιεῖσθαι πρόνοιαν. Ταῦτα μὲν οὖν προήχθην εἰπεῖν, θεωρῶν νῦν, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν καὶ ἐπιτηδευμάτων, τὸ μὲν ἀληθινὸν καὶ πρὸς τὴν χρείαν ἀνῆκον ἐν ἑκάστοις ἐπισεσυρμένον· τὸ δὲ πρὸς ἀλαζονείαν καὶ φαντασίαν ἐπαινούμενον καὶ ζηλούμενον, ὡς μέγα τι καὶ θαυμάσιον, ὃ καὶ τὴν κατασκευὴν ἔχει ῥᾳδιεστέραν, καὶ τὴν εὐδόκησιν ὀλιγοδεεστέραν, καθάπερ αἱ λοιπαὶ τῶν γραφῶν. Περὶ δὲ τῆς τῶν τόπων ἀγνοίας τῶν κατὰ τὴν Λακωνικὴν, διὰ τὸ μεγάλην εἶναι τὴν παράπτωσιν, οὐκ ὤκνησα γράψαι καὶ πρὸς αὐτὸν Ζήνωνα· κρίνων, καλὸν εἶναι τὸ μὴ τὰς τῶν πέλας ἁμαρτίας ἴδια προτερήματα νομίζειν, καθάπερ ἔνιοι ποιεῖν εἰώθασιν· ἀλλὰ μὴ μόνον τῶν ἰδίων ὑπομνημάτων, ἀλλὰ καὶ τῶν ἀλλοτρίων, καθόσον οἷοί τε ἐσμὲν, ποιεῖσθαι πρόνοιαν καὶ διόρθωσιν χάριν τῆς κοινῆς ὠφελείας. Ὁ δὲ λαβὼν τὴν ἐπιστολὴν, καὶ γνοὺς ἀδύνατον οὖσαν τὴν μετάθεσιν, διὰ τὸ προεκδεδωκέναι τὰς συντάξεις, ἐλυπήθη μὲν ὡς ἔνι μάλιστα, ποιεῖν δ' οὐδὲν εἶχε· τήν γε μὴν ἡμετέραν αἵρεσιν ἀπεδέξατο φιλοφρόνως.

ANTISTHENES RHODIUS.

Antisthenem Rhodium Zenonis et Polybii æqualem, auctoremque fuisse operis historici, in quo de sui temporis rebus gestis exponebatur, docemur loco Polybii (XVI, 14 sqq.), quem in Zenonis fragmentis (p. 177) exhibuimus. Qui titulus, qui ambitus operis fuerit, haud constat; nam nemo ullus præter Polybium, historiarum Antisthenis disertam facit mentionem. Nomen tamen servavit Diogenes Laertius VI, 19, qui postquam de Antisthene Atheniense dixerat, subjicit hæc: Γεγόνασι καὶ ἄλλοι Ἀντισθένεις τρεῖς, Ἡρακλείτειος εἷς, ἕτερος Ἐφέσιος, καὶ Ῥόδιός τις ἱστορικός. — De Heracliteo non magis liquet quam de Ephesio. Quare difficillimum est dijudicare, ad quos Antisthenes referenda sint quæ leguntur apud Phlegontem, Diogenem Laertium, Plinium, Plutarchum. Etenim Phlego in Mirab. c. 3 ex Antisthene *philosopho peripatetico* mira quædam narrat de Buplago Syro et Publio duce Romano, quæ contigisse sit post pugnam, qua Romani prope Thermopylas Antiochum vicerunt. Vossius quidem (p. 393) ex Rhodio ea desumpta esse suspicatur; verum quamvis tempora rei narratæ atque scriptoris faveant huic sententiæ, nihilominus vereor ne alius quidam sequioris ævi scriptor intelligendus sit. Fieri enim vix potuit ut Antisthenes Rhodius rem sua ætate in regione omnibus notissima gestam ineptissimis fabellis deformare conatus sit. — Diogenes vero Laertius sæpissime laudat Antisthenis τῶν φιλοσόφων διαδοχάς (*). Quas eidem Vossius vindica-

(*) Diog. L. I, 40 : Τὸ Γνῶθι σεαυτόν.. Ἀντισθένης ἐν ταῖς Διαδοχαῖς Φημονόης εἶναί φησιν, ἐξιδιοποιήσασθαι δὲ αὐτὸ Χείλωνα.

Idem II, 29 : Ἀντισθένης δ' ἐν ταῖς τῶν Φιλοσόφων διαδοχαῖς καὶ Πλάτων ἐν Ἀπολογίᾳ, τρεῖς αὐτοῦ (Σωκράτους) κατηγορῆσαί φασιν, Ἄνυτον καὶ Λύκωνα καὶ Μέλητον· τὸν μὲν Ἄνυτον περὶ τῶν δημιουργῶν καὶ τῶν πολιτικῶν ὀργιζόμενον· τὸν δὲ Λύκωνα ὑπὲρ τῶν ῥητόρων, καὶ τὸν Μέλητον ὑπὲρ τῶν ποιητῶν· οὓς ἅπαντας ὁ Σωκράτης διέσυρε.

Idem II, 98 : Ἤκουσε δὲ καὶ Ἀννικέριδος ὁ Θεόδωρος (atheus) καὶ Διονυσίου τοῦ διαλεκτικοῦ, καθά φησιν Ἀντισθένης ἐν Φιλοσόφων διαδοχαῖς.

Idem VI, 77, de morte Diogenis : Οἱ μέντοι γνώριμοι αὐτοῦ (καθά φησιν Ἀντισθένης ἐν Διαδοχαῖς) εἴκαζον τὴν τοῦ πνεύματος ἐγκράτησιν. Ἐτύγχανε μὲν γὰρ διάγων ἐν τῷ Κρανείῳ τῷ πρὸ τῆς Κορίνθου γυμνασίῳ. Κατὰ δὲ τὸ ἔθος ἧκον οἱ γνώριμοι, καὶ αὐτὸν καταλαμβάνουσιν ἐγκεκαλυμμένον, οὐδ' εἴκασαν αὐτὸν κοιμώμενον. Οὐδὲ γὰρ ἦν τις νυκταλὸς καὶ ὑπνηλός. Ὅθεν ἀποπετάσαντες τὸν τρίβωνα, ἔκπνουν αὐτὸν καταλαμβάνουσι. Καὶ ὑπέλαβον τοῦτο πρᾶξαι βουλόμενον λοιπὸν ὑπεξελθεῖν τοῦ βίου.

Idem VI, 87, de Cratete Thebano : Τοῦτόν φησιν Ἀντισθένης ἐν Διαδοχαῖς θεασάμενον ἔν τινι τραγῳδίᾳ Τήλεφον σπυρίδιον ἔχοντα καὶ τἄλλα λυπρὸν, ἀΐξαι ἐπὶ τὴν Κυνικὴν φιλοσοφίαν. Ἐξαργυρισάμενόν τε τὴν οὐσίαν (καὶ γὰρ ἦν τῶν ἐπιφανῶν) ἀθροίσαντα πρὸς τὰ ἑκατὸν καὶ διακόσια τάλαντα, τοῖς πολίταις ἀνεῖναι ταῦτα· αὐτὸν δὲ καρτερῶς οὕτω φιλοσοφεῖν, ὥστε καὶ Φιλήμονα τὸν κωμικὸν αὐτοῦ μεμνῆσθαι.

Idem VII, 168 : Κλεάνθης Φανίου, Ἄσσιος. Οὗτος πρῶτον ἦν πύκτης, ὥς φησιν Ἀντισθένης ἐν Διαδοχαῖς.

Idem IX, 6, de Heraclito Ephesio : Σημεῖον δ' αὐτοῦ τῆς μεγαλοφροσύνης Ἀντισθένης φησὶν ἐν Διαδοχαῖς· ἐκχωρῆσαι γὰρ τἀδελφῷ τῆς βασιλείας.

Idem IX, 27, de Zenone Eleata : Ἀντισθένης δὲ ἐν ταῖς Διαδοχαῖς φησὶ μετὰ τὸ μηνῦσαι τοὺς φίλους ἐρωτηθῆναι πρὸς τοῦ τυράννου (sc. Νεάρχου), εἴ τις ἄλλος εἴη· τὸν δὲ εἰπεῖν, Σὺ ὁ τῆς πόλεως ἀλιτήριος. Πρὸς δὲ τοὺς παρεστῶτας φάναι, Θαυμάζω ὑμῶν τὴν δειλίαν, εἰ τούτων ἕνεκεν ὧν νῦν ἐγὼ ὑπομένω, δουλεύετε τῷ τυράννῳ, καὶ τέλος ἀποτρα-

necessariis ejus partibus est elaborandum. Atque hæc ut nunc dicerem, eo sum adductus, quod, perinde ut in ceteris quibusque artibus ac studiis, sic etiam in historia, veram rationem, atque id quod ad usum pertinet, plerumque negligi videam; quod vero ad ostentationem et ad pompam compositum est, laudari ac probari tamquam magnum aliquid atque mirabile; quum tamen id ipsum in historia perinde ac in reliquis scribendi generibus, et elaboratu facilius sit, et ad placendum multo minoribus indigeat adjumentis. Ceterum de illa locorum agri Laconici ignoratione, eo quod gravis esse is error videretur, ad ipsum Zenonem literas scribere non dubitavi; hominis ingenui esse arbitratus, non ex alienis erratis gloriam captare, quod nonnulli solent, sed quum nostris, tum etiam alienis commentariis, utilitatis publicæ gratia, quantum in nobis est, curam atque emendationem adhibere. Ille autem, accepta epistola, quum exemplaria emendari non posse cerneret, quia jam in vulgus edita essent, doluit quidem quam maxime; sed facere nihil potuit: ceterum consilium nostrum benevole probavit.

Rhodio. Verum num Diogenes hunc Antisthenem designasset verbis Ῥόδιός τις ἱστορικός, si is ipse fuisset, cujus opus manibus terebat? Non ego crediderim. Probabilius est libros de philosophorum successionibus ad peripateticum quem Phlegon excitat, esse referendos. — Deinde apud Plinium (H. N. XXXVI, 12) auctores, qui de pyramidibus scripserint, recensentur hi : *Herodotus*, *Euemerus*, *Duris Samius*, *Aristagoras*, *Dionysius*, *Artemidorus*, *Alexander Polyhistor*, *Butorides*, *Antisthenes*, *Demetrius*, *Demoteles*, *Apion*. In qua nominum serie, quum Herodotus, Euemerus, Duris, Artemidorus, Alexander, Apion, ordine se excipiant chronologico, idem si de reliquis statuere volueris, sequeretur Antisthenem illum vel posteriorem Alexandro vel æqualem ejus fuisse, ideoque a Rhodio nostro, contra quam Vossius censet, esse distinguendum. — Plutarchus denique (De fluv. XXII, 3) de lapide quodam in Acheloo fluvio passim obvio excitat Antisthenem ἐν γ' Μελεαγρίδος. « Hunc, Vossius ait, si quis Ephesium putet, non quidem repugno, sed quid pro ea sententia certi afferri possit, plane non video. » — Neque magis constat de Antisthene scholii Apoll. Rh. II, 569, ubi : βομβύλη, εἶδος μελίσσης, καὶ ποτηρίου δὲ εἶδος, ὡς Ἀντισθένης. Quæ quidem grammaticum sapiunt. Errorem Menagii ad Diog. L. l. l., Antisthenem, qui Diodoro XIII, 84 memoratur, cum Rhodio historico confundentis, tetigisse sufficit. Antisthenes Aristophanis (Eccles. 387) ad nos nihil pertinet.

γοντα τὴν γλῶτταν προσπτύσαι αὐτῷ. Τοὺς δὲ πολίτας παρορμηθέντας αὐτίκα τὸν τύραννον καταλεῦσαι.

Idem IX, 35, de Democrito : Φησὶ δὲ Δημήτριος ἐν Ὁμωνύμοις καὶ Ἀντισθένης ἐν Διαδοχαῖς ἀποδημῆσαι αὐτὸν καὶ εἰς Αἴγυπτον πρὸς τοὺς ἱερέας γεωμετρίαν μαθησόμενον, καὶ πρὸς Χαλδαίους εἰς τὴν Περσίδα, καὶ εἰς τὴν Ἐρυθρὰν θάλασσαν γενέσθαι.

Idem IX, 38, de Democrito : Ἤσκει δὲ (φησὶν ὁ Ἀντισθένης) καὶ ποικίλως δοκιμάζειν τὰς φαντασίας, ἐρημάζων ἐνίοτε καὶ τοῖς τάφοις ἐνδιατρίβων. Ἐλθόντα δέ φησιν αὐτὸν ἐκ τῆς ἀποδημίας, ταπεινότατα διάγειν, ἅτε πᾶσαν τὴν οὐσίαν καταναλωκότα· τρέφεσθαί τε διὰ τὴν ἀπορίαν ὑπὸ τἀδελφοῦ Δαμάσου. Ὡς δὲ προειπών τινα τῶν μελλόντων εὐδοκίμησε, λοιπὸν ἐνθέου δόξης παρὰ τοῖς πλείστοις ἠξιώθη. Νόμου δὲ ὄντος τὸν ἀναλώσαντα τὴν πατρῴαν οὐσίαν μὴ ἀξιοῦσθαι ταφῆς ἐν τῇ πατρίδι, φησὶν ὁ Ἀντισθένης, συνέντα, μὴ ὑπεύθυνος γενηθείη πρός τινων φθονούντων καὶ συκοφαντούντων, ἀναγνῶναι αὐτοῖς τὸν μέγαν Διάκοσμον, ὃς ἁπάντων τῶν αὐτοῦ συγγραμμάτων προέχει· καὶ πενταχοσίοις ταλάντοις τιμηθῆναι· μὴ μόνον δὲ, ἀλλὰ καὶ χαλκαῖς εἰκόσι. Καὶ τελευτήσαντα αὐτὸν, δημοσίᾳ ταφῆναι, βιώσαντα ὑπὲρ τὰ ἑκατὸν ἔτη.

SCYLAX CARYANDENSIS.

Suidas : Σκύλαξ Καρυανδεύς (πόλις ἐστὶ τῆς Καρίας πλησίον Ἁλικαρνασσοῦ τὰ Καρύανδα), μαθηματικὸς καὶ μουσικός. Περίπλουν τῶν ἐκτὸς (τῶν ἐντὸς leg. videtur; τῶν ἐκτὸς καὶ ἐντὸς voluit Voss.) τῶν Ἡρακλέους στηλῶν, Τὰ κατὰ τὸν Ἡρακλείδην τὸν Μυλασσῶν βασιλέα· Γῆς περίοδον· Ἀντιγραφὴν πρὸς τὴν Πολυβίου ἱστορίαν.

De scriptis historicis aliunde non constat. De geographicis non est cur h. l. dicamus. Ceterum offendit Peripli et Periodi mentionem interposito opere historico male divelli. Arguit hoc titulos e compluribus auctoribus corrasos esse. Qua in re sæpius Suidæ accidit ut diversas unius ejusdemque operis inscriptiones tamquam operum diversorum titulos ponat. Fortasse igitur nostro quoque loco Periplus non distinguendus a Periodo. Similiter τὰ κατὰ τὸν Ἡρακλείδην κτλ. argumentum indicare possint τῆς ἀντιγραφῆς. Quamquam in nostris Polybianis Heraclidæ hujus nulla fit mentio. Pertinere regulus videtur ad illa tempora, quibus senatus Caribus et Lyciis, quos post confectum bellum Antiochicum Rhodiis attribuerat, liberis suique juris esse concessit. Mylasenses vero jam ante hoc senatusconsultum a Rhodiis desciverant (Polyb. XXX, 5, 12). — Nihil adeo refragari, quominus Periplus noster Scylacis Polybii demum ætate vel etiam postea ex auctoribus sat antiquis concinnatus sit, pluribus docet Letronnius in *Fragments des poëmes géogr. de Scymnos de Chios, etc.*, *p.* 246 (varias aliorum sententias v. ap. Clausen ad Scyl. Peripl. p. 273); nihilominus inhæret dubitatio num recte opus hoc, quale nos jam habemus ἀμουσότατον, referatur ad Scylacem musicum et mathematicum. Eundem vero vel æqualem ejus commemorat Cicero Divin. II, 42 : *Scylax Halicarnasseus, familiaris Panætii, excellens in astrologia, idemque in regenda sua civitate princeps, totum hoc Chaldaicum prædicendi genus repudiavit.*

LIBER SEXTUS.

AB EVERSIONE CORINTHI USQUE AD CÆSAREM AUGUSTUM.

146-27 a. C.

NOMINA AUCTORUM.

Ptolemæus Evergetes II.
[Apollodorus Atheniensis.]
Dionysius Thrax.
Agatharchides Cnidius.
Psaon Platæensis.
Cn. Aufidius.
P. Rutilius Rufus.
Promathidas Heracleota.
Metrodorus Scepsius.
Cornelius Alexander Polyhistor.
Alexander Ephesius.
Posidonius Rhodius.
L. Lucullus.
M. T. Cicero.
M. Pomponius Atticus.
Asclepiades Myrleanus.
Atistodemus Nysæensis.
[Castor Rhodius.]
Artavasdes rex Armeniæ.
Theophanes Mytilenæus.
Timagenes Alexandrinus.
Aristo Alexandrinus.
Socrates Rhodius.
Olympus.
Empylus.

PTOLEMÆUS EVERGETES II.

ΥΠΟΜΝΗΜΑΤΑ

ἐν βιβλίοις κδ΄.

1.

E LIBRIS PRIMO ET QUINTO.

Athenæus X, p. 438, D : Πολυπότης δὲ ἦν καὶ Ἀντίοχος ὁ βασιλεὺς, ὁ κληθεὶς Ἐπιφανὴς, ὁ ὁμηρεύσας παρὰ Ῥωμαίοις, ὃν ἱστορεῖ Πτολεμαῖος ὁ Εὐεργέτης ἐν τῷ πρώτῳ τῶν Ὑπομνημάτων κἀν τῷ πέμπτῳ, φάσκων αὐτὸν εἰς τοὺς Ἰνδικοὺς κώμους καὶ μέθας τραπέντα πολλὰ ἀναλίσκειν· Καὶ τὰ περιλειπόμενα δὲ τῶν χρημάτων μεθ' ἡμέραν κωμάζων ὅτὲ μὲν ἐξέχει, ἄλλοτε δὲ ἐν ταῖς δημοσίαις ὁδοῖς ἱστάμενος ἔλεγε· Τίνι ἡ τύχη δίδωσι, λαβέτω. Καὶ ῥίψας τὸ ἀργύριον, ᾤχετο. Πολλάκις δὲ καὶ πλεκτὸν στέφανον ῥόδων ἔχων ἐπὶ τῆς κεφαλῆς, καὶ χρυσοϋφῆ τήβενναν φορῶν μόνος ἐρέμβετο, λίθους ὑπὸ μάλης ἔχων, οἷς ἔβαλλε τῶν ἰδίων τοὺς ἀκολουθοῦντας αὐτῷ. Ἐλούετό τε καὶ εἰς τοὺς κοινοὺς λουτρῶνας, μύροις ἀλειφόμενος. Ὥστε καί ποτε συνιδών τις αὐτὸν ἰδιώτης ἔφη, Μακάριος εἶ, ὦ βασιλεῦ, πολυτελὲς ὄζεις. Καὶ ὃς ἡσθεὶς, Ἐγώ σε, φησὶν, ὑπέρκορον τούτου ποιήσω. Καὶ κατὰ τῆς κεφαλῆς αὐτοῦ ὑδρίσκην, ὑπὲρ δύο χόας ἔχουσαν παχέος μύρου, καταχυθῆναι ἐκέλευσεν, ὡς καὶ τὸ πλῆθος τῶν ἀγοραιοτέρων εἰς τὸ ἐκχυθὲν συγκυλισθῆναι. Ὀλίσθου τε γενομένου, αὐτός τε ὁ Ἀντίοχος ἔπεσε καγχάζων, καὶ οἱ πλεῖστοι τῶν λουομένων τὸ αὐτὸ ἔπασχον. Quæ in postremis narrantur inde a verbis Ἐλούετό τε, eadem e Polybio affert Athenæus V, p. 194, B.

2.

E LIBRO SECUNDO.

Idem II, p. 71, B : Πτολεμαῖος δ' ὁ Εὐεργέτης, βασιλεὺς Αἰγύπτου, εἷς ὢν τῶν Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν, ἐν δευτέρῳ Ὑπομνημάτων γράφει οὕτως· « Περὶ Βερενίκην τῆς Λιβύης Λήθων ποταμὸς, ἐν ᾧ γίνεται ἰχθὺς λάβραξ καὶ χρύσοφρυς καὶ ἐγχέλεων πλῆθος καὶ τῶν καλουμένων βασιλικῶν, αἳ τῶν τε ἐκ Μακεδονίας καὶ τῆς Κωπαΐδος λίμνης τὸ μέγεθός εἰσιν ἡμιόλιαι, πᾶν τε τὸ ῥεῖθρον αὐτοῦ ἰχθύων ποικίλων ἐστὶ πλῆρες. Πολλῆς δ' ἐν τοῖς τόποις κινάρας φυομένης, οἵ τε συνακολουθοῦντες ἡμῖν στρατιῶται πάντες δρεπόμενοι συνεχρῶντο καὶ ἡμῖν προσέφερον ψιλοῦντες τῶν ἀκανθῶν. »

3.

Idem IX, p. 387, E : Πτολεμαῖος δ' ὁ Εὐεργέτης ἐν δευτέρῳ Ὑπομνημάτων τέταρόν φησιν ὀνομάζεσθαι τὸν φασιανὸν ὄρνιν. Nominari avem τατύραν ait Pamphylus ap. Athen. l. l. Pro ἐν β' legendum suspicor ἐν ιϛ', collato fragmento 10.

4.

E LIBRO TERTIO.

Idem XIII, p. 576, E : Καὶ ὁ δεύτερος δὲ τῆς Αἰγύπτου βασιλεὺς, Φιλάδελφος δ' ἐπίκλην, ὡς ἱστορεῖ ὁ Εὐεργέτης Πτολεμαῖος ἐν τῷ τρίτῳ τῶν Ὑπομνημάτων, πλείστας ἔσχεν ἐρωμένας· Διδύμην μὲν, μίαν

1.

Insignis etiam potator ille rex Antiochus fuit, qui Epiphanes est cognominatus; is qui Romæ obses fuerat. De quo scribens Ptolemæus Evergetes primo et quinto Commentariorum libro, ait : « Indicis comessationibus et compotationibus sese tradentem, ingentes sumptus fecisse. Quod vero reliquum erat pecuniæ, id partim in diurnas (ait) comessationes profundebat, partim subinde stans in viis publicis edicebat, Cui fortuna dat, is capiat! atque ita projecta pecunia discedebat. Subinde vero etiam coronam e rosis plexam in capite gestans, togamque indutus auro textam, solus obambulabat, sub alis saxa tenens, quæ in suos qui eum sequerentur conjiceret. Lavatum ibat in publica balnea, et unguentis ungebatur. Ibi quum conspiciens eum aliquando quidam de plebe dixisset, Quam beatus es, rex! quam pretiose oles! delectatus ille, Ego, inquit, faciam ut tu horum habeas satietatem : et urnulam ultra duo congios capientem spissi unguenti in caput hominis jussit effundi. Quo quum continuo se præcipitaret tenuiorum hominum turba, lubrico in vestigio et ipse rex prolapsus est cachinnans, et plerisque lavantium idem accidit. »

2.

Ptolemæus Evergetes, Ægypti rex, qui fuit unus ex Aristarchi grammatici discipulis, in secundo Commentariorum sic scribit : « Circa Berenicen in Libya est flumen Lethon, in quo nascitur lupus piscis et aurata et anguillarum magna copia, et in his earum quæ regiæ vocantur, quæ sesquplo majores sunt quam quæ in Macedonia capiuntur et in Copaide lacu; atque adeo in universo suo cursu piscibus variis plenus est. Eo præterea tractu multa nascitur cinara; quam milites omnes, qui nos sequebantur, demessam, spinisque purgatam, et ipsi comedebant et nobis offerebant. »

3.

Ptolemæus Evergetes libro secundo Commentariorum *tetaron* nominari ait phasianum.

4.

Secundus Ægypti rex, Philadelphus cognomine, ut tradit Ptolemæus Evergetes tertio Commentariorum, plurimas habuit amasias : primum Didymen, unam ex indige-

τῶν ἐπιχωρίων γυναικῶν, μάλ' εὐπρεπεστάτην τὴν ὄψιν, καὶ Βιλιστίχην, ἔτι δὲ Ἀγαθόκλειαν καὶ Στρατονίκην, ἧς τὸ μέγα μνημεῖον ὑπῆρχεν ἐπὶ τῇ πρὸς Ἐλευσῖνι θαλάσσῃ, καὶ Μύρτιον καὶ ἄλλας δὲ πλείστας, ἐπιρρεπέστερος ὢν πρὸς ἀφροδίσια.

Διδύμην] Eadem, opinor, memoratur ap. Callimachum Epigr. 13. — Βιλιστίχην] De hac cf. Plutarch. Amator. c. 9, 9, p. 753, F: Ἡ δὲ Βελεστίχη, (vgo Βελεστίη), πρὸς Διός, οὐ βάρβαρον ἐξ ἀγορᾶς γύναιον; ἧς ἱερὰ καὶ ναοὺς Ἀλεξανδρεῖς ἔχουσιν, ἐπιγράψαντος δι' ἔρωτα τοῦ βασιλέως, Ἀφροδίτης Βελεστίχης; Glossam Βελεστίχη habet etiam Suidas; idemque v. Σωτάδης carmen Sotadis εἰς Βελεστίχην memorat. Βλίστιχιν παλλακίδα habet Clemens Al. Cohortat. p. 42 ed. Pott., quam veram esse nominis formam censet Valckenarius ad Callimach. p. 116. Eandem mulierem notat Pausanias V, 8, 11, ubi Βελιστίχην ἐκ Μακεδονίας τῆς ἐπὶ θαλάσσῃ γυναῖκα bigis in Olympia vicisse ait (Olymp. 129. 264 a. C.). Eadem Euseb. Chron. p. 153, nisi quod in græcis res adscribitur Olympiadi 128, in latinis vero corrupte legitur: *vicit Philistiachus Macedii*. Non diversa ab Macedonia hac fuerit Bilistiche, quæ (ab aulicis Ptolemæi) dicebatur genus ab Atridis ducere. Athenæus XIII, p. 576, E: Βιλιστίχη δὲ ἡ Ἀργεία, ἑταίρα καὶ αὐτὴ ἔνδοξος, τὸ γένος ἀπὸ τῶν Ἀτρειδῶν σώζουσα, ὡς οἱ τὰ Ἀργολικὰ γράψαντες ἱστοροῦσιν.

Fragmentum e libro *quinto* vide in fragm. 1.

5.

E LIBRO SEPTIMO.

Idem II, p. 43, E: Πτολεμαῖος δὲ ὁ βασιλεὺς ἐν ἑβδόμῳ Ὑπομνημάτων, ἐπὶ Κορίνθου προάγουσι, φησίν, ἡμῖν διὰ τῆς Κοντοπορίας καλουμένης, κατὰ τὴν ἀκρώρειαν προσβαίνουσιν, εἶναι κρήνην νᾶμα ἀνιεῖσαν χιόνος ψυχρότερον· ἐξ ἧς πολλοὺς μὴ πίνειν, ἀποπαγήσεσθαι προσδοκῶντας, αὐτὸς δὲ λέγει πεπωκέναι.

E LIBRO OCTAVO.

6.

Idem XII, p. 549, E: Ὅτι δὲ τρυφῆς οὐκ ἦν ἀλλότριος ὁ βασιλεὺς οὗτος (Ptol. VII), αὐτὸς περὶ ἑαυτοῦ μαρτυρεῖ, ἐν τῷ ὀγδόῳ τῶν Ὑπομνημάτων διηγούμενος, ὅπως τε ἱερεὺς ἐγένετο τοῦ ἐν Κυρήνῃ Ἀπόλλωνος, καὶ ὅπως δεῖπνον παρεσκεύασε τοῖς πρὸ αὐτοῦ γενομένοις ἱερεῦσι, γράφων οὕτως· « Ἀρτεμίτια, μεγίστη ἑορτὴ ἐν Κυρήνῃ· ἐν ᾗ ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος (ἐνιαύσιος δέ ἐστι) δειπνίζει τοὺς πρὸ αὐτοῦ ἱερευσαμένους, καὶ παρατίθησιν ἑκάστῳ τρυβλία· τοῦτο δέ ἐστι κεραμεοῦν ἄγγος, ἐπιδεχόμενον ὡς εἴκοσιν ἀρτάβας· ἐν ᾧ πολλὰ μὲν τῶν ἀγριμαίων ἔγκειται πεπονημένα, πολλὰ δὲ σῖτα, καὶ τῶν ἡμέρων ὀρνίθων, ἔτι δὲ θαλαττίων ἰχθύων, ταρίχους τε ξενικοῦ πλείονα γένη· πολλάκις δέ τινες καὶ καθάριον (sic Casaub. pro vgta: κιθάριον) ἀκολουθίσκον προσδιδόασιν. Ἡμεῖς δὲ περιειλόμεθα τὰ τοιαῦτα· φιάλας δ' ὁλαργύρους κατασκευάσαντες, τὸ τίμημα ἐχούσας ἑκάστην ἧς προειρήκαμεν δαπάνης, ἵππον τε κατεσκευασμένον σὺν ἱπποκόμῳ καὶ φαλάροις διαχρύσοις ἐδώκαμεν, καὶ παρεκαλέσαμεν ἕκαστον ἐπὶ αὐτοῦ καθεσθέντα οἴκαδ' ἀπιέναι. »

7.

Idem VI, p. 229, D: Πτολεμαῖος δ' ὁ βασιλεὺς ἐν ὀγδόῳ Ὑπομνημάτων, περὶ Μασσανάσσου τὸν λόγον ποιούμενος, τοῦ Λιβύων βασιλέως, φησὶ τάδε· « Δεῖπνα Ῥωμαϊκῶς ἦν κατεσκευασμένα, κεράμῳ παντὶ χορηγούμενα ἀργυρῷ. Τὰς δὲ τῶν δευτέρων τραπέζας ἐκόσμει τοῖς Ἰταλικοῖς ἐθισμοῖς· τὰ δὲ κανίσκια ἦν ἅπαντα χρυσᾶ, γεγονότα πρὸς τὰ πλεκόμενα ταῖς σχοίνοις· μουσικοῖς τε ἐχρῆτο Ἑλληνικοῖς. »

---

nis mulieribus, eximia forma; tum Bilistichen: porro vero Agathocleam, et Stratonicen, cujus fuit ingens illud monumentum ad mare prope Eleusin: item Myrtium, et alias plurimas: erat enim ad Venerem inprimis proclivis.

5.

Ptolemæus rex, libro septimo Commentariorum, ait, Corinthum versus progredientibus nobis per viam quæ Contoporia dicitur, ubi ad jugum montis adscenditur, fontem esse, qui aquam emittat nive frigidiorem; e quo multi non bibant, metuentes ne gelu rigescant; ipse vero se bibisse ait.

6.

Non fuisse a luxuria alienum hunc regem, ipse etiam de se testatum fecit, octavo Commentariorum libro narrans quo pacto Cyrenis sacerdos fuerit Apollinis, et cœnam exhibuerit iis qui ante eum fuerant sacerdotes; ubi ita scribit: « Artemitia (*sive* Artemisia) maximum apud Cyrenenses festum: quo sacerdos Apollinis (annuum est autem id sacerdotium) cœna excipit eos qui ante illum sacerdotio functi sunt, apponitque singulis catinos: vas fictile hoc est, artabas fere capiens viginti; in quo positæ multæ carnes ferinæ diligenter paratæ, panificia multa, et domesticarum avium, marinorum piscium et peregrini salsamenti plura genera: subinde etiam nonnulli insuper dant elegantem puerum pedissequum. Nos vero, omissis his talibus, phialas conficiendas curavimus ex solido argento, unamquamque tanti pretii quanti constabat totus quem prædiximus apparatus; et præter phialam equum instructum phaleris inauratis cum equisone dedimus cuique, et suum quemque conscendere domumque abire jussimus. »

7.

Ptolemæus rex, octavo Commentariorum de Masinissa verba faciens, Libyæ rege, hæc scribit: « Cœnæ Romano more instructæ erant: omne fictile, quod apponebatur, argenteum erat. Secundas vero mensas Italico ornabat more: sportulæ vero omnes aureæ erant, ad earum similitudinem factæ quæ ex juncis plectuntur: musicisque utebatur Græcis. »

8.

Idem XII, p. 518, E: Ἔθος δὲ παρ' αὐτοῖς (τοῖς Συβαρίταις) καὶ τοὺς παῖδας μέχρι τῆς τῶν ἐφήβων ἡλικίας ἁλουργίδας τε φορεῖν καὶ πλοκαμῖδας ἀναδεδεμένους χρυσοφορεῖν. Ἐπιχωριάζειν δὲ παρ' αὐτοῖς διὰ τὴν τρυφὴν ἀνθρωπάρια μικρὰ, καὶ τοὺς σκωπαίους, ὥς φησιν ὁ Τίμων, τοὺς καλουμένους παρά τισι στίλπωνας, καὶ κυνάρια Μελιταῖα, ἅπερ αὐτοῖς καὶ ἕπεσθαι εἰς τὰ γυμνάσια. Πρὸς οὓς καὶ τοὺς ὁμοίους τούτοις Μασανάσσης ὁ τῶν Μαυρουσίων βασιλεὺς ἀπεκρίνατο, ὥς φησι Πτολεμαῖος ἐν ὀγδόῳ Ὑπομνημάτων, ζητοῦσι συνωνεῖσθαι πιθήκους· « Παρ' ὑμῖν, ὦ οὗτοι, αἱ γυναῖκες οὐ τίκτουσι παιδία; » Παιδίοις γὰρ ἔχαιρεν ὁ Μασανάσσης, καὶ εἶχε παρ' αὐτῷ τρεφόμενα τῶν υἱῶν (πολλοὶ δὲ ἦσαν) τὰ τέκνα, καὶ τῶν θυγατέρων ὁμοίως. Καὶ πάντα ταῦτα αὐτὸς ἔτρεφε μέχρι τριῶν ἐτῶν· μεθ' ἃ ἀπέπεμπε πρὸς τοὺς γεγεννηκότας, παραγινομένων ἄλλων.

E LIBRO NONO.

9.

Idem IX, p. 375, D: Πτολεμαῖος δ' ὁ τῆς Αἰγύπτου βασιλεὺς ἐν τῷ ἐνάτῳ τῶν Ἀπομνημονευμάτων· « Εἰς Ἄσσον (φησὶν) ἐπιδημήσαντί μοι, οἱ Ἄσσιοι παρέστησαν χοῖρον, ἔχοντα τὸ μὲν ὕψος δύο καὶ ἡμίσους πήχεων, ὅλον δ' ἄρτιον πρὸς τὸ μῆκος, τῇ χροιᾷ χιόνινον. Ἔφασάν τε τὸν βασιλέα Εὐμένη τὰ τοιαῦτα ἐπιμελῶς ὠνεῖσθαι παρ' αὐτῶν, διδόντα τοῦ ἑνὸς δραχμὰς τετρακισχιλίας. »

E LIBRO DUODECIMO.

10.

Idem XIV, p. 654, C: Φασιανικός. Πτολεμαῖος ὁ βασιλεὺς ἐν τῷ δυοκαιδεκάτῳ τῶν Ὑπομνημάτων περὶ τῶν ἐν Ἀλεξανδρείᾳ βασιλείων λέγων καὶ περὶ τῶν ἐν αὐτοῖς ζώων τρεφομένων φησί· « Τά τε τῶν φασιανῶν, οὓς τετάρους ὀνομάζουσιν, οὓς οὐ μόνον ἐκ Μηδίας μετεπέμποντο, ἀλλὰ καὶ νομάδας ὄρνιθας ὑποβαλὼν, ἐποίησε πλῆθος, ὥστε καὶ σιτεῖσθαι. Τὸ γὰρ βρῶμα πολυτελὲς ἀποφαίνουσιν. » Αὕτη τοῦ λαμπροτάτου βασιλέως φωνὴ, ὃς οὐδὲ φασιανικοῦ ὄρνιθός ποτε γεύσασθαι ὡμολόγησεν, ἀλλ' ὥσπερ τι κειμήλιον ἀνακείμενον εἶχε τούσδε τοὺς ὄρνιθας. Εἰ δὲ ἑοράκει, ὡς ἡμῶν ἑκάστῳ εἷς ἐστι παρακείμενος χωρὶς τῶν ἤδη κατηναλωμένων, προσαναπεπληρώκει ἂν ταῖς πολυθρυλήτοις ἱστορίαις τῶν Ὑπομνημάτων τούτων τῶν εἰκοσιτεσσάρων καὶ ἄλλην μίαν.

11.

Stephanus Byz.: Ἀγχιάλη, πόλις Κιλικίας... Ἔστι δὲ κτίσμα Ἀγχιάλης τῆς Ἰαπετοῦ θυγατρὸς, ὡς Ἀθηνόδωρος περὶ τῆς αὐτοῦ πατρίδος γράφων, καὶ παρατιθεὶς Διόδωρον τὸν γραμματικὸν συμφωνοῦντα Πτολεμαίῳ βασιλεῖ.

12.

Athenæus II, p. 61, C: Σπεύσιππος ἐν δευτέρῳ Ὁμοίων φησὶ, σίον ἐν ὕδατι γίνεσθαι, σελίνῳ ἑλείῳ τὸ φύλλον ἐοικός. Διὸ καὶ Πτολεμαῖος, ὁ δεύτερος

8.

Apud eosdem Sybaritas moris erat etiam, ut pueri usque ad adultam ætatem purpura induerentur, et obtortos capillorum cincinnos auro illigarent. Consuetum etiam illis, voluptatis causa pumilos domi alere, et scopæos illos (*noctuis similes*), ut ait Timon, quos *stilpones* nonnulli vocant: item catellos Melitenses, qui eos etiam in gymnasia sequebantur. Quibus hominibus horumque similibus Masinissa, rex Mauritaniæ, (ut tradit Ptolemæus, octavo libro Commentariorum) simios emendos conquirentibus, respondit: *Apud vos igitur, qui talia quæritis, mulieres nonne pariunt infantes?* Parvulis enim delectabatur Masinissa, et apud se filiorum suorum (quorum magnus numerus erat) filiarumque natos natasque alebat educabatque omnes, donec tertium ætatis annum complessent: quo tempore exacto parentibus eos remittebat, aliis in illorum locum succedentibus.

9.

Ptolemæus, Ægypti rex, nono libro Commentariorum, sic scribit: » Quum Assi versaremur, obtulerunt nobis Assii porcum, cui erat altitudo duorum cubitorum cum dimidio, et totum corpus congruens illi staturæ, color autem niveus. Narrabantque, Eumenem hæc talia animantia studiose apud ipsos emere, et quater mille drachmas pro unoquoque solvere. »

10.

Phasiana avis. Ptolemæus rex, duodecimo libro Commentariorum, de regia loquens, quæ est Alexandriæ, et de animalibus quæ in illa aluntur, ait: « Et ad phasianos quod attinet, quos *tetaros* appellant, non modo ex Media eos arcessebant; verum etiam altiles gallinas illis submittens, multiplicavit genus, ita ut iis etiam vesceretur. Nam cibum magnificum esse affirmant. » Ecce splendidissimi regis vocem, qui se ne gustasse quidem de phasiano profitetur; sed tanquam cimelium aliquod repositas has aves habebat. Qui si vidisset, quo pacto, præter eas quæ jam absumptæ sunt, cuique nostrûm una apposita est, famosas suas historias, his viginti quattuor Commentariorum libris comprehensas, una insuper aucturus erat.

11.

Anchiale, urbs Ciliciæ, condita est ab Anchiale Iapeti filia, uti ait Athenodorus de patria sua scribens laudansque Diodorum grammaticum Ptolemæi regis sententiæ adstipulantem.

12.

Speusippus, secundo Similium, *sion*, inquit, in aqua nasci, apio palustri folium simile habens. Itaque Ptole-

Εὐεργέτης, Αἰγύπτου βασιλεύσας, παρ' Ὁμήρῳ (Od. ε', 72) ἀξιοῖ γράφειν·

Ἀμφὶ δὲ λειμῶνες μαλακοὶ σίου, ἠδὲ σελίνου.

Σία γὰρ μετὰ σελίνου φύεσθαι, ἀλλὰ μὴ ἴα. Hæc num ex Ὑπομνημάτων libris an alio ex scripto fluxerint, in medio relinquimus.

DIONYSIUS THRAX.

Suidas : Διονύσιος Ἀλεξανδρεύς, Θρᾷξ δ' ἀπὸ τοῦ πατρὸς Τήρου τοὔνομα κληθεὶς, Ἀριστάρχου μαθητής, γραμματικὸς, ὃς ἐσοφίστευσεν ἐν Ῥόδῳ (vg. Ῥώμῃ) ἐπὶ Πομπηίου τοῦ Μεγάλου, καὶ ἐξηγήσατο Τυραννίωνι τῷ προτέρῳ (legi jubet Clintonus : γραμματικὸς, καὶ ἐξηγήσατο Τυραννίωνι τῷ προτέρῳ, ὃς ἐσοφίστευσεν ἐν Ῥώμῃ ἐπὶ Πομπηίου). Συνέταξε δὲ πλεῖστα γραμματικά τε καὶ συνταγματικὰ καὶ ὑπομνήματα.

De temporibus Dionysii errasse Suidam in aperto est. Nam Aristarchus sec. Eusebium, quem sequitur Clintonus, floruit 156 a. C., sec. Ritschelii computum, *Alexandr. Bibl.* p. 90, moritur circa 152 a. C.; Tyrannio vero captivus Romam venit anno 71 (v. Plutarch. Lucull. c. 19, et plura ap. Clinton. F. H. ad an. 71.). Itaque floruit Dionysius circa an. 110 a. C. — Præter grammatica, quæ ad nos nihil pertinent, Dionysius etiam historicum vel periegeticum de Rhodo insula opus composuisse ex uno discimus Stephano Byzantio.'

ΠΕΡΙ ΡΟΔΟΥ.

Steph. Byz. : Ταρσὸς, ἐπισημοτάτη πόλις Κιλικίας.. (Nomen urbs nacta est, uti ait) Διονύσιος ὁ Θρᾷξ ἐν τῷ Περὶ Ῥόδου, ἀπὸ τῆς τοῦ Βελλεροφόντου πτώσεως· μέρος γάρ τι τοῦ ποδὸς ταρσὸν καλεῖσθαι, τῆς ἐκείνου χωλείας ὑπόμνημα ποιουμένων τῶν ἀρχαίων. Cf. Eustath. ad Dionys. Per. 869 : Ἄλλοι μέντοι τὸ ὄνομα τῆς πόλεως ὑπόμνημα τῆς τοῦ Βελλεροφόντου χωλείας εἶναί φασιν, ὡς τὸν τοῦ ποδὸς ταρσὸν ἐκεῖ χωλανθέντος, ὅτε τοῦ Πηγάσου κατέπεσεν.

De Menecrate Nysaense, item Aristarchi discipulo, vide fragm. Menecratis Elaitæ, tom. II, p. 344.

---

mæus, Evergetes alter, Ægypti rex, apud Homerum sic scribi vult :

Circumcirca vero prata mollia virebant σίου ἠδὲ σελίνου.

Sia enim, ait, cum apio nasci; non ἴα, id est, violas.

DE RHODO.

Tarsus, celeberrima urbs Ciliciæ, nomen nacta est, secundum Dionysium Thracem in libro De Rhodo, a lapsu Bellerophontis. Partem enim quandam pedis tarsum (*plantam*) vocari, atque hoc nomine urbi indito veteres claudicationis ejus fecisse memoriam.

AGATHARCHIDES CNIDIUS.

TESTIMONIA. Strabo XIV, p. 656 : Ἄνδρες ἀξιόλογοι Κνίδιοι πρῶτον μὲν Εὔδοξος... εἶτ' Ἀγαθαρχίδης ὁ ἐκ τῶν περιπάτων, ἀνὴρ συγγραφεύς.

Photius Bibl. cod. 213 : Ἀνεγνώσθη Ἀγαθαρχίδου ἱστορικόν· ἔνιοι δὲ αὐτὸν Ἀγάθαρχον ὀνομάζουσι. Τούτῳ πατρὶς μὲν ἡ Κνίδος ἦν, ἡ δὲ τέχνη γραμματικὸν ἐπεδείκνυτο· ὑπογραφέα δὲ καὶ ἀναγνώστην ὁ τοῦ λέμβρου (ὁ Λέμβος Casaub.) Ἡρακλείδης, δι' ὧν αὐτῷ ἐξυπηρετεῖτο, παρέσχε γνωρίζεσθαι. Ἦν δὲ καὶ θρεπτὸς Κινναίου.

Γράψαι δὲ τὸν ἄνδρα τοῦτον τὰ κατὰ τὴν Ἀσίαν ἔγνωμεν ἐν βιβλίοις ι'· καὶ τῶν κατὰ τὴν Εὐρώπην δὲ εἰς θ' καὶ μ' παρατείνεται αὐτῷ ἡ ἱστορία· ἀλλὰ καὶ ε' βιβλία τὴν Ἐρυθρὰν αὐτῷ πᾶσαν καὶ τὰ περὶ ταύτην ἐξιστοροῦσι. Τὴν οὖν εἰρημένην ἅπασαν συγγραφὴν καὶ αὐτὸς ἐπὶ τέλει τοῦ ε' λόγου εἰς μνήμην ἀνάγει· ἐν ᾧ καὶ πεπαῦσθαι τοῦ γράφειν διά τινάς τε αἰτίας ἄλλας, καὶ ὅτι τὰ τῆς ἡλικίας ἀποκλίνοι πρὸς τὸ ἔξωρον. Πλήν γε εἰσὶν οἵ φασιν αὐτὸν καὶ ἑτέρας συγγεγραφέναι πραγματείας, ὧν ἡμεῖς οὐδένα (οὐδεμίαν?) οὐδέπω ἴσμεν. Ἐπιτομὴν δὲ αὐτόν φασι τῶν περὶ τῆς Ἐρυθρᾶς θαλάσσης ἀναγεγραμμένων ἐν ἑνὶ συντάξαι βιβλίῳ, καὶ μὴν καὶ περὶ τρωγλοδυτῶν βιβλία ε', ἀλλὰ καὶ ἐπιτομὴν τῆς Ἀντιμάχου Λύδης, καὶ πάλιν ἄλλην ἐπιτομὴν τῶν συγγεγραφότων περὶ συναγωγῆς θαυμασίων ἀνέμων, ἐκλογάς τε ἱστοριῶν αὐτὸν συντάξαι, καὶ περὶ τῆς προσφιλοῦς ὁμιλίας.

Ἔστι δὲ, ἐξ ὧν τὸν ἄνδρα τοὺς λόγους αὐτοῦ διελθόντες ἐπέγνωμεν, μεγαλοπρεπής τε καὶ γνωμολογικὸς, καὶ τῷ μὲν τοῦ λόγου μεγέθει καὶ ἀξιώματι τῶν ἄλλων μᾶλλον χαίρων, λέξεσι μέντοι λογάσιν οὐ πάνυ προστεθειμένος, οὐδὲ διὰ τῶν ἐθίμων δὲ διὰ παντὸς πορευόμενος, γεννῶν δὲ αὐτὸς οὐ λέξεις, ἀλλ' εἴ τις ἄλλος δημιουργὸς τῆς περὶ τὰς λέξεις χρήσεως, καινήν τινα μὴ καιναῖς κεχρημένος λέξεσι φαντασίαν πέμπουσαν ἀποτελεῖ τὴν φράσιν· οὕτω δὲ προσφυῶς ὑποβάλλεται τὴν πρᾶξιν, ὥς τήν τε καινοτομίαν μὴ δοκεῖν εἶναι καινοτομίαν, καὶ τὸ σαφὲς οὐκ ἔλαττον τῶν ἐξ ἔθους λέξεων παρέχειν. Κέχρηται δὲ καὶ γνώμαις τὸ νουνεχὲς καὶ δραστήριον ἐπιδηλούσαις. Τροπὰς δὲ ὑπελθεῖν, εἴ τις ἄλλος, ἄριστα παρεσκευασμένος τὸ μὲν ἡδὺ καὶ κηλοῦν καὶ τὴν ψυχὴν διαχέον λεληθότως δι' ὅλου διασπείρει τοῦ γράμματος, εἰς τροπὴν δὲ ὅτι παρενήνεκται, οὐδεμίαν λύπην δηλοῦσαν ἀφίησι. Ποιεῖ δὲ αὐτῷ τοῦτο μάλιστα οὐχὶ ἡ τῶν λέξεων αὐτὴ καθ' ἑαυτὴν μεταβολὴ, ἀλλ' ἡ ἀπὸ πραγμάτων ἑτέρων εἰς ἕτερα μετά τινος σοφῆς καὶ ἠρεμαίας μεταχειρίσεως μετάβασίς τε καὶ μετατροπή. Ἀλλὰ γὰρ καὶ ἀντιλαβεῖν μὲν ὄνομα ῥήματος, ἀμεῖψαι δὲ τὸ ῥῆμα εἰς ὄνομα, καὶ λῦσαι μὲν λέξεις εἰς λόγους, συναγαγεῖν δὲ λόγον εἰς τύπον ὀνόματος οὐδενὸς ἀνεπιτηδειότερος ὧν ἴσμεν. Καὶ ζηλωτὴς μέν ἐστι Θουκυδίδου ἔν τε τῇ τῶν δημηγοριῶν δαψιλείᾳ τε καὶ διασκευῇ, τῷ μεγαλείῳ δὲ μὴ δευτερεύων τοῦ λόγου τῷ σαφεῖ παρελαύνει τὸν ἄνδρα. Ἀλλὰ γὰρ ὁ μὲν ἀνὴρ τοιοῦτος, καὶ τὸ ἀπὸ τῆς γραμματικῆς ἔχων κλέος· εἰ δὲ καὶ τὸ τῆς ῥητορικῆς ἐπώνυμον αὐτῷ ἡ μὴ νήφουσα ψῆφος οὐκ ἐπέθετο, ἀλλὰ γὰρ ἔμοιγε δοκεῖ οὐδὲν ἔλαττον τῶν γραμματικῶν οὐ δεύτερος ἢ τῶν ῥητόρων, δι' ὧν καὶ γράφει καὶ διδάσκει, καταφαίνεσθαι.

(Agatharchidis de Hegesiæ scribendi genere judicium, quod ex præfatione ad librum quintum De mari Rubro servavit Photius (cod. 250), vide in fragm. Hegesiæ in Scriptor. rerum Alexandri M. p. 139.)

Agatharchides De mar. Rubr. ap. Phot. cod. 250, p. 445 a 33 Bekk. : Ἐγὼ δ' ἀφ' ἧς ἡμέρας ἡ τύχη με κατέστησεν ἐπίτροπον τοῦ σώματος τοῦ σοῦ, νέου παντελῶς ὄντος, καὶ τῆς ὅλης βασιλείας, ἀπ' ἐκείνης εὐθὺς μέγαν ἐμαυτῷ πόνον ἐπέβαλον. Τίνα τοῦτον; τοῖς πρὸς ἡδονὴν ὁμιλοῦσιν ἐναντιοῦσθαι καὶ δυσχεραίνειν, σοῦ πρῶτον αὐτοῦ περιαιρούμενος οὐ τὴν ἐξουσίαν ἀλλὰ τὴν ἄγνοιαν, ἵνα τῶν τοσούτων ἀγαθῶν φρονῶν ἀπολαύσῃς, μὴ διαμαρτάνων. Τοῦτο γὰρ ἐζήτουν πατρὸς ἔχων εὔνοιαν χρόνου στοχαζομένην, οὐ κόλακος εἰρωνείαν καιρῷ προσομιλοῦσαν. Οἶδα γὰρ, πρεσβύτερος ὢν καὶ πολλῶν ἔμπειρος γεγονὼς πραγμάτων, διὰ τοὺς θωπεύειν ἐπιβεβλημένους τοὺς ἐν ταῖς ὑπεροχαῖς καὶ τὰς μεγίστας βασιλείας ἄρδην ἀνῃρημένας, τὴν Κασσάνδρου, τὴν Λυσιμάχου, τὴν Ἀλεξάνδρου τηλικαύτην οὖσαν, τὴν Μήδων, τὴν Σύρων, τὴν Περσῶν, ὥστε μηδὲ σπέρμα καταλελεῖφθαι τοῦ γένους κτλ. Lege etiam antecedentia, quæ ad eundem principem puerum directa sunt.

Idem ibid. p. 460 b 3 Bekk. : Τὰ μὲν οὖν ὑπὲρ τῶν ἐθνῶν τῶν ἐκκειμένων πρὸς μεσημβρίαν, ὡς ἦν ἐφ' ἡμῖν, ἐν πέντε βιβλίοις ἐπιμελῶς ἱστορήκαμεν· ὑπὲρ δὲ τῶν ἐν πελάγει νήσων ὕστερον τεθεωρημένων καὶ τῶν εὐωδῶν, ὅσα φέρειν συμβαίνει τὴν Τρωγλοδῦτιν χώραν, ἡμεῖς μὲν παραιτησάμενοι τὴν ἐξήγησιν ἄρδην ἀπολελοίπαμεν, οὔτε τὸν πόνον τῆς ἡλικίας ὁμοίως ὑποφέρειν δυναμένης, πολλῶν ἡμῖν ὑπέρ τε τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ἀναγεγραμμένων, οὔτε τῶν Ὑπομνημάτων διὰ τὰς κατ' Αἴγυπτον ἀποστάσεις ἀκριβῆ παραδιδόντων σκέψιν. Cf. H. Dodwell. Dissert. De ætat. Agath. in Geogr. Hudson. tom. II, p. 67 sqq. J. G. Hager. De Agath., Chemnitz. 1766, 4.

Testimoniis hisce pauca quædam, quæ ad nos proxime spectant, subjecisse satis habeo. Ac primum quidem quod ætatem Agatharchidis attinet,

hoc certe patet, vixisse eum temporibus Ptolemæi VI (175 — 146), sub quo floruit Heraclides Lembus, cujus anagnosten fuisse Agatharchidem modo legimus. Educatus esse dicitur a Cinnæo. Homo ignotus mihi, alterumque ejus nominis exemplum desidero. Fortasse apud Photium pro Κινναίου manu leni rescribendum Κινέου. Quo concesso, cogitare liceret de Cinea Ptolemæi Philometoris ministro, quem Polybius (XXVIII, 16) in re ad an. 171 pertinente commemorat. — Præterea ex ipso Agatharchide novimus eum, quo tempore libros De mari Rubro scribebat, provectæ jam ætatis virum multaque expertum, tutelam gessisse regis juvenis vel pueri. Indicari Ptolemæum aliquem non liquet quidem, attamen veri simillimum est. « Henricus Dodwellus (Diss. De æt Agath. p. 70) regem qui in Agatharchidis fuit tutela, Ptolemæum esse censuit Alexandrum, editumque librum anno ab U. C. Varroniano 649 vel 650 (Ol. 168, 4 vel 169, 1. 105 v. 104 a. C., anno tertio vel quarto Alexandri); quo eodem tempore Artemidorus Ephesius, quippe Olymp. 169, uti Marcianus Heracleota (p. 115 ed. Mill.) docuit, florens, Geographiam suam in vulgus emiserit. Quod tamen ego in animum inducere non possum. Videor enim mihi animadvertisse ex Strabone, et ostendam opportuniore loco, Artemidorum Agatharchidis scrinia compilasse, et de Troglodytis Arabicique sinus accolis omnia iisdem pæne verbis esse exsecutum; unde conclusione quadam conficio, non unius, quæ viri doctissimi sententia, anni, sed plurium intervallum inter utriusque publicata scripta intercessisse: tantoque magis, quod eadem in Ægypto et Ptolemæorum gratia uterque egerit, nec fieri potuisse videatur, ut intra unius anni spatium Artemidorus tantum opus absolverit. Forte itaque Ptolemæus, cujus tutelam Agatharchides administravit, is est, quem Soterem Porphyrius, Physconem II alii appellant. [Regnavit Ptol. Soter II an. 117-107.] Quo modo et justam temporis intercapedinem Agatharchidem inter et Artemidorum habebimus, et illis satis fiet, quæ de Agatharchide prodita novimus. » Verba sunt Wesselingii (ad Diodor. III, 11,1), cui astipulatur Clintonus (F. H. tom. III, p. 535 sq. (*) et ad an. 213).

Opera Agatharchidis quæ viderit Photius recenset tria: Τὰ περὶ τῆς Ἐρυθρᾶς θαλάσσης, τὰ κατὰ τὴν Ἀσίαν, τὰ κατὰ τὴν Εὐρώπην. Et ipse Agatharchides in Epilogo operis De mari Rubro non nisi multa illa, quæ ὑπέρ τε τῆς Εὐρώπης καὶ τῆς Ἀσίας conscripserit, memorat. Alterutrum horum operum Photius verbis: ἀνεγνώσθη Ἀγαθαρχίδου ἱστορικόν, signasse putandus est. Nam mirum foret Photium opera Agatharchidis recensentem non attulisse eorum argumentum librorum, quos ipse legerat. Reliquiæ omnes ex tribus illis operibus petitæ sunt. Excerpta et fragmenta ex libris De mari Rubro jam nihil curamus; nam geographica sunt. Contra ad historias pertinent opera de rebus Asiæ et Europæ. Argumentum τῶν κατὰ τὴν Ἀσίαν (fr. 14. 18; τῶν Ἀσιατικῶν fr. 16; τῶν περὶ τῆς Ἀσίας ἱστοριῶν fr. 17) quæ decem libris auctor absolvit, definire videtur Josephus A. J. XII, 1 (fr. 19), ubi de re ad Seleucum Nicatorem spectante laudatur Agatharchides ὁ τὰς τῶν διαδόχων ἱστορίας συγγραψάμενος. Nec ultra τῶν διαδόχων tempora auctorem descendisse vel inde colligas quod e libro nono (fr. 17) exstat locus de Hieronymo Cardiano, et quod libri octavi et decimi fragmenta item sunt de comitibus Alexandri. — Alia ratio fuit τῶν κατὰ τὴν Εὐρώπην ἐν βιβλ. μθʹ, quæ ex uno Athenæo novimus, modo laudato titulo Εὐρωπιακῶν (fr. 1. 3. 4. 5. 7. 10 — 12), modo simpliciter citato Agatharchide ἐν ιβʹ, ἐν λʹ Ἱστοριῶν (fr. 2. 8), vel ἐν κζʹ, ἐν λαʹ (fr. 6. 9), tituli mentione omissa. In hisce libris quadraginta novem res eorum qui in Europa Alexandro successerunt, ad suam fere ipsius usque ætatem Ag. persecutus esse videtur. In libris 31. 34. 35. 38 dubium vix est quin versatus sit in narrandis rebus Philippi ejus qui pater erat Persei. Unde suspiceris reliquis libris undecim (ex quibus nihil superstes) usque ad finem regni Macedonici (168 a. C.) auctorem devenisse. — De indole harum historiarum quum certius judicium reliquiarum tenuitas non admittat, in præconio quo Photius Agatharchidem ornat, acquiescimus.

Inter reliquos libros, quos Agatharchidi tribui apud nonnullos Photius legerat, offendunt libri quinque Περὶ Τρωγλοδυτῶν. Neque erraverim aiens alium esse titulum operis *De mari Rubro*. Quæ deinde ponitur inscriptio Ἐπιτομὴ τῶν συγγεγραφότων περὶ συναγωγῆς θαυμασίων ἀνέμων, in voce ultima mendam traxerit. Doctus quidam scribendum propo-

(*) Verba Clintonis hæc sunt: « The arguments by which he establishes (Dodwellus) this, are not convincing; and Wesseling with better reason thinks that the elder brother was the pupil. Dodwell objects to Soter that he reigned jointly with his mother. But *Alexander* himself reigned jointly with his mother: so that this objection would apply to both. The expression, ἐπίτροπον τοῦ σώματος τοῦ σοῦ... καὶ τῆς ὅλης βασιλείας, could only apply to *Alexander* in in B. C. 107. But, as *Physcon* the father had married their mother *Ceopatra* more than twenty-three years before (v. p. 388), it is far more probable that Soter II should have been in minority at his accession in B. C. 117, than that *Alexander* should have been still a minor in B. C. 107, ten years after the fathers death. To this we may add the observation of Wesseling, that the date of Dodwell brings *Agatharchides* too neer the time of *Artemidorus*. »

suit ἀνδρῶν, quod merito respuit Jonsius (Scr. H. Phil. p. 207), fuisse suspicans: Περὶ ἀνέμων, adeo ut duo memorentur scripta, alterum De mirabilibus, De ventis alterum. Præstat, puto, Westermanni (Paradox. p. XVII) sententia, qui vocem ἀνέμων ex alius vocabuli, velut ἀκουσμάτων vel ἀναγνωσμάτων, compendio ortam esse censet. Fortasse legendum ἐθῶν, comparato libro Nicolai Dam., cui titulus: συναγωγὴ παραδόξων ἐθῶν. — De Ἐκλογαῖς ἱστοριῶν dicere nihil habeo. De Epitome τῆς Ἀντιμάχου Λύδης cf. Osann. in *Hermes*, XXXI, p. 199.

ΕΥΡΩΠΙΑΚΑ.

Ἐν βιβλίοις μθ'.

1.

E LIBRO SEXTO.

Athenæus VII, p. 297, D: Φησὶ γοῦν Ἀγαθαρχίδης ἐν ἕκτῃ Εὐρωπιακῶν τὰς ὑπερφυεῖς τῶν Κωπαΐδων ἐγχελέων ἱερείων τρόπον στεφανοῦντας, καὶ κατευχομένους οὐλάς τ' ἐπιβάλλοντας θύειν τοῖς θεοῖς τοὺς Βοιωτούς· καὶ πρὸς τὸν ξένον τὸν διαπορoῦντα τὸ τοῦ ἔθους παράδοξον καὶ πυνθανόμενον, ἓν μόνον εἰδέναι φῆσαι τὸν Βοιωτὸν, φάσκειν τε ὅτι δεῖ τηρεῖν τὰ προγονικὰ νόμιμα, καὶ ὅτι μὴ καθήκει τοῖς ἄλλοις ὑπὲρ αὐτῶν ἀπολογίζεσθαι.

2.

E LIBRO DUODECIMO.

Idem XII, p. 527, B: Ἀγαθαρχίδης δ' ἐν δωδεκάτῃ Ἱστοριῶν « Αἰτωλοὶ (φησὶ) τοσούτῳ τῶν λοιπῶν ἑτοιμότερον ἔχουσι πρὸς θάνατον, ὅσῳπερ καὶ ζῆν πολυτελῶς καὶ ἐκτενέστερον ζητοῦσι τῶν ἄλλων. » Cf. Droysen. *Hellenism*. II, p. 87.

3.

E LIBRO DECIMO SEXTO.

Idem XII, p. 550, B: Ἀγαθαρχίδης δ' ἐν τῇ ἑκκαιδεκάτῃ Εὐρωπιακῶν, Μάγαν φησὶ, τὸν Κυρήνης βασιλεύσαντα ἔτη πεντήκοντα, ἀπολέμητον γενόμενον, καὶ τρυφῶντα, κατάσαρκον γενέσθαι ἐκτόπως τοῖς ὄγκοις κατὰ τὸν ἔσχατον καιρὸν, καὶ ὑπὸ τοῦ πάχους ἀποπνιγῆναι, δι' ἀργίαν σώματος καὶ τὸ προσφέρεσθαι πλῆθος τροφῆς.

Mortem Magæ Cyrenarum regis Agatharchides in Εὐρωπιακοῖς narravit, quoniam quæ subsecuta Cyrenis sunt, ad regiæ in Macedonia familiæ historiam pertinent. Quæ de his comperta habemus, leguntur ap. Justinum XXVI, 3: *Per idem tempus* (circa 250 a. C.) *rex Cyrenarum Magas decedit: qui ante infirmitatem Beronicen, unicam filiam, ad finienda cum Ptolemæo fratre certamina filio ejus* (Ptolemæo III Evergetæ) *desponderat. Sed post mortem regis, mater virginis Arsinoe, ut invita se contractum matrimonium solveretur, misit qui ad nuptias virginis, regnumque Cyrenarum, Demetrium, fratrem regis Antigoni* (Gonatæ, et patrem Antigoni Dosonis sec. Euseb. Chron. p. 181 ed. Mai.), *a Macedonia arcesserent: qui et ipse ex filia Ptolemæi procreatus erat. Sed nec Demetrius moram fecit. Itaque quum secundante vento celeriter Cyrenas advolasset, fiducia pulcritudinis, qua nimis placere socrui cœperat, statim a principio superbus, regiæ familiæ militibusque impotens erat, studiumque placendi a virgine in matrem contulerat. Quæ res suspecta primo virgini, dein popularibus militibusque invisa fuit. Itaque versis omnium animis in Ptolemæi filium, insidiæ Demetrio comparantur: cui quum in lectum socrus concessisset, percussores immittuntur*, etc.

4.

E LIBRO DECIMO NONO.

Idem XIV, p. 650, F: Σίδας δὲ ὅτι τὰς ῥοιὰς καλοῦσι Βοιωτοὶ, Ἀγαθαρχίδης ἐν τῇ ἐννεακαιδεκάτῃ τῶν Εὐρωπιακῶν οὕτως γράφει· « Ἀμφισβητούντων Ἀθηναίων πρὸς Βοιωτοὺς περὶ τῆς χώρας, ἣν καλοῦσι Σίδας, Ἐπαμινώνδας δικαιολογούμενος, ἐξαίφνης ἐκ τῆς ἀριστερᾶς μεταλαβὼν κεκρυμμένην ῥόαν, καὶ δείξας, ἤρετο

DE REBUS EUROPÆIS LIBRI XLIX.

1.

Scribit Agatharchides sexto Europiacorum, Bœotos ex anguillis Copaidibus eas quæ sint eximiæ magnitudinis, in victimarum modum coronatas, inspersa mola, inter preces diis immolare: et peregrino homini, miranti insolitum sacrificii genus, ejusque causam sciscitanti, respondisse Bœotum, nonnisi unum se scire dicereque, servanda esse instituta patria, neque decere rationem eorum reddere aliis.

2.

Agatharchides, duodecimo Historiarum libro, ait: « Ætoli aliis hominibus tanto paratiores sunt ad mortem, quo magis et impensius, quam alii, sumptuose vivere solent. »

3.

Agatharchides libro decimo sexto Rerum Europæarum scribit Magam, qui Cyrenis per annos quinquaginta regnavit, quum bellis non occuparetur et luxu difflueret, immensa carnis mole auctum fuisse sub extremum ætatis tempus; tandemque, quum corpus nunquam exercitaret, et ciborum copia oneraret ventrem, ipsa pinguedine esse suffocatum.

4.

Sidas a Bœotis nominata esse mala Punica Agatharchides docet, libro decimo nono De rebus Europæis, ita scribens: « Disceptantibus Atheniensibus cum Bœotis de agro quem *Sidas* vocant, Epaminondas jura Bœotorum defendens, subito malum Punicum, quod sinistra manu occul-

αὐτοὺς, τί καλοῦσι τοῦτο. Τῶν δ' εἰπόντων ῥόαν, Ἀλλ' ἡμεῖς, εἶπε, σίδαν. Ὁ δὲ τόπος τοῦτ' ἔχει τὸ φυτὸν ἐν αὐτῷ πλεῖστον, ἀφ' οὗ τὴν ἐξ ἀρχῆς εἴληφε προσηγορίαν, καὶ ἐνίκησε.» De Sida Bœotiæ regione aliunde non constat, quantum sciam. De alia quadam planta, punico malo simili, quæ item *sida* nominatur et in palude circa Orchomenum nascitur, v. Theophrast. ap. Athen. l. l. ibique interpretes. *Sidam* Laconiæ oppidulum memorat Pausanias III, 22. Ceterum Agatharchides rem ad Epaminondæ tempora pertinentem data occasione attulisse putandus est. Sermo fortasse erat de Oropi regione, de qua toties inter Bœotos et Athenienses disceptatum est.

5.

E LIBRO VICESIMO SECUNDO.

Idem VI, p. 246, E: Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Εὐρωπιακῶν, Ἀριστομάχου τοῦ Ἀργείων τυράννου παράσιτον γενέσθαι φησὶν Ἀνθεμόκριτον τὸν παγκρατιαστήν.

Duo fuerunt Aristomachi, Argivorum tyranni. Post Aristomachum I (v. Plutarch. Arat. c. 25) tyrannide potitur Aristippus, et mox post hujus obitum Aristomachus II (v. Plut. l. l. 29), qui deinde (a. 226) Achæorum fœderi se adjunxit (id. ib. 35 sqq.). Cf. de hoc Polyb. II. 44. 59. 60, Pausanias II, 8, 6. Quemnam Noster intellexerit, non liquet.

6.

E LIBRO VICESIMO SEPTIMO.

Idem XII, p. 550, B: Παρὰ δὲ Λακεδαιμονίοις ὁ αὐτὸς (Ἀγαθαρχίδης) ἱστορεῖ διὰ τῆς ἑβδόμης καὶ εἰκοστῆς οὐ τῆς τυχούσης ἀδοξίας νομίζεσθαι, εἴ τις ἢ τὸ σχῆμα ἀνανδρότερον ἔχων, ἢ τὸν ὄγκον τοῦ σώματος προπετὴς ἐφαίνετο, γυμνῶν κατὰ δέκα ἡμέρας παρισταμένων τοῖς ἐφόροις τῶν νέων. Καθεώρων δὲ οἱ ἔφοροι καὶ καθ' ἑκάστην ἡμέραν καὶ τὰ περὶ τὴν ἔνδυσιν καὶ τὴν στρωμνὴν τῶν νέων· εἰκότως. Καὶ γὰρ ὀψοποιοὶ ἦσαν παρὰ Λακεδαιμονίοις κρέως σκευασίας, ἄλλου δ' οὐδενός. Κἀν τῇ δ' ἑβδόμῃ εἰκοστῇ ὁ Ἀγαθαρχίδης ἔφη, Λακεδαιμόνιοι Ναυκλείδην τὸν Πολυβιάδου, παντελῶς ὑπερσαρκοῦντα τῷ σώματι, καὶ παχὺν διὰ τρυφὴν γενόμενον, καταβιβάσαντες εἰς μέσην τὴν ἐκκλησίαν, καὶ Λυσάνδρου πολλὰ ὀνειδίσαντος ἐν τῷ κοινῷ, ὡς τρυφῶντι, παρ' ὀλίγον ἐξέβαλον ἐκ τῆς πόλεως, ἀπειλήσαντες τοῦτο ποιήσειν, εἰ μὴ τὸν βίον ἐπανορθώσαιτο. Εἰπόντος τοῦ Λυσάνδρου, ὅτι καὶ Ἀγησίλαος, ὅτε διέτριβε περὶ τὸν Ἑλλήσποντον πολεμῶν τοῖς βαρβάροις, ὁρῶν τοὺς Ἀσιαγενεῖς ταῖς μὲν στολαῖς πολυτελῶς ἠσκημένους, τοῖς σώμασι δ' οὕτως ἀχρείους ὄντας, γυμνοὺς πάντας ἐκέλευσε τοὺς ἁλισκομένους ἐπὶ τὸν κήρυκα ἄγειν, καὶ χωρὶς πωλεῖν τὸν τούτων ἱματισμὸν, ὅπως οἱ σύμμαχοι γιγνώσκοντες, διότι πρὸς μὲν ἆθλα μεγάλα, πρὸς δ' ἄνδρας εὐτελεῖς ὁ ἀγὼν συνέστηκε, προθυμότερον ταῖς ψυχαῖς ὁρμῶσιν ἐπὶ τοὺς ἐναντίους. In altero libri numero erratum esse videtur; fortasse scr. κἀν τῇ δ' ὀγδόῃ εἰκ.; certe e libro 28 ejusdem plane argumenti locus affertur. Agebat in his libris Agatharchides de iis temporibus, quibus veterem Lycurgi rempublicam Agis et Cleomenes restituere tentarunt.

7.

E LIBRO VICESIMO OCTAVO.

Idem IV, p. 168, D: Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν τῇ ὀγδόῃ πρὸς ταῖς εἴκοσι τῶν Εὐρωπιακῶν, «Γνώσιππον (φησὶν) ἄσωτον γενόμενον ἐν τῇ Σπάρτῃ ἐκώλυον οἱ ἔφοροι συναναστρέφειν τοῖς νέοις.» De Gnosippo, si-

---

tum tenuerat, sumens ostendensque, quæsivit ex Atheniensibus, quo nomine hoc vocarent? Quumque illi respondissent ῥόαν: «At nos, inquit, sidam.» Habet autem is locus plurimas id genus arborum, unde principio nomen ei est inditum. Atque ita causam Epaminondas obtinuit.»

5.

Agatharchides Cnidius, libro vicesimo secundo Rerum Europæarum, Anthemocritum pancratiasten Aristomachi Argivorum tyranni parasitum fuisse refert.

6.

Apud Lacedæmonios, ut idem Agatharchides libro vicesimo septimo tradit, insigne probrum habebatur, si quis aut habitu corporis parum virili, aut mole ventris nimium prominente deprehenderetur, quum decimo quoque die nudos se juvenes ephoris inspiciendos præberent. Observabant etiam quotidie ephori quum vestitum tum cubilia juvenum; et merito quidem: nam et coqui apud Lacedæmonios nulli erant, nisi carni apparandæ; nec ullis in cupediis ars eorum versabatur. Porro in vicesimo septimo [*octavo?*] libro idem Agatharchides ait, Nauclidem Polybiadis filium, quum ob vitæ mollitiem supra modum corpulentus obesusque esset, a Lacedæmoniis in mediam concionem fuisse productum; et publice a Lysandro acerbe objurgatum ut mollem et voluptarium, propemodum ex urbe fuisse ejectum; idque futurum minitatos ei esse cives, ni vitam corrigeret. Qua occasione commemoravit Lysander, Agesilaum, quum barbaris bellum faceret ad Hellespontum, videretque Asiaticos homines sumptuosis stolis excultos, corporibus vero adeo imbelles et inutiles esse, captivos omnes ad præconem nudos duci jussisse, et vestimenta eorum separatim vendi: quo socii intelligentes præmiorum ampla spe adversus viles homines bellum geri, alacrioribus animis cum hostibus pugnarent.

7.

Agatharchides Cnidius, vicesimo octavo Rerum Europæarum: «Gnosippum Spartæ, ait, quum luxuriosus esset, vetuere ephori cum juvenibus conversari.

cuti de Hæresippo, qui fr. 8 memoratur, aliunde mihi non constat.

8.

E LIBRO TRICESIMO.

Idem VI, p. 251, F: Ἀγαθαρχίδης δ' ἐν τῇ τριακοστῇ τῶν Ἱστοριῶν, « Αἱρήσιππος (φησὶν) ὁ Σπαρτιάτης, ἄνθρωπος οὐ μετρίως φαῦλος, οὐδὲ δοκῶν χρηστὸς εἶναι, πιθανὸν δ' ἔχων ἐν κολακείᾳ λόγον, καὶ θεραπεῦσαι τοὺς εὐπόρους μέχρι τῆς τύχης δεινός. »

9.

E LIBRO TRICESIMO PRIMO.

Idem XII, p. 527, F: Ἐν δὲ τῇ τριακοστῇ πρώτῃ Ζακυνθίους φησὶν (sc. Ἀγαθαρχίδης) ἀπείρους εἶναι πολέμου, διὰ τὸ ἐν εὐπορίᾳ καὶ πλούτῳ τρυφῶντας ἐθίζεσθαι. Temporum, quæ in antecedentibus libris tractantur, ratione habita, probabile mihi esse videtur, sermonem h. l. fuisse de Philippo rege, qui (an. 217) classe Zacynthum profectus res insulæ ex sua auctoritate constituit. Polyb. V, 102, 10. De Philippo Cephalleniam oppugnante v. idem V, 3 sq.

10.

E LIBRO TRICESIMO QUARTO.

Idem IX, p. 387, C: Ἀγαθαρχίδης δὲ ὁ Κνίδιος ἐν τῇ τετάρτῃ καὶ τριακοστῇ τῶν Εὐρωπιακῶν, περὶ τοῦ Φάσιδος ποταμοῦ τὸν λόγον ποιούμενος, γράφει καὶ ταῦτα· « Πλῆθος δ' ὀρνίθων τῶν καλουμένων φασιανῶν φοιτᾷ τροφῆς χάριν πρὸς τὰς ἐμβολὰς τῶν στομάτων. »

De his Ag. exposuerit ubi de Philippi rebus in Asia gestis sermo erat. Prusiæ genero auxilians Philippus Cium et Myrleam expugnavit, an. 203 a. C. Sequenti anno Attali ditionem invasit, uti constat.

11.

E LIBRO TRICESIMO QUINTO.

Idem XII, p. 527, F: Ἀγαθαρχίδης δ' ἐν τῇ τριακοστῇ πέμπτῃ τῶν Εὐρωπιακῶν, « Ἀρυκανδεῖς (φησὶ) Λυκίας, ὅμοροι ὄντες Λιμυρεῦσι, διὰ τὴν περὶ τὸν βίον ἀσωτίαν καὶ πολυτέλειαν κατάχρεοι γενόμενοι, καὶ διὰ τὴν ἀργίαν καὶ φιληδονίαν ἀδυνατοῦντες ἀποδοῦναι τὰ δάνεια, προσέκλιναν ταῖς Μιθριδάτου ἐλπίσιν, ἆθλον ἕξειν νομίσαντες χρεῶν ἀποκοπάς. »

Mithridates esse debet quartus hujus nominis rex Ponticus, qui (sec. Clinton. F. H. III, p. 424 sq.) regnasse videtur an. 240-190 a. C. Qua occasione hæc narrarit Ag., nescio. Consentaneum vero est desumpta esse ex narratione de rebus Philippi in Asia gestis.

E LIBRO TRICESIMO OCTAVO.

Idem VI, p. 272, D: Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν τῇ ὀγδόῃ καὶ τριακοστῇ τῶν Εὐρωπιακῶν Δαρδανεῖς φησι δούλους κεκτῆσθαι τὸν μὲν χιλίους, τὸν δὲ καὶ πλείους. Τούτων δ' ἕκαστον ἐν μὲν εἰρήνῃ γεωργεῖν, ἐν πολέμῳ δὲ λοχίζεσθαι, ἡγεμόνα νέμοντας τὸν ἴδιον δεσπότην. Hæc pertinuisse videntur ad historiam bellorum, quæ Philippus contra Thraciæ gentes gessit.

13.

E LIBRO INCERTO.

Idem I, p. 28, D: Ἐν δὲ Ἴσσῃ τῇ κατὰ τὸν Ἀδρίαν νήσῳ, Ἀγαθαρχίδης φησὶν οἶνον γίνεσθαι, ὃν πᾶσι συγκρινόμενον καλλίω εὑρίσκεσθαι.

8.

Agatharchides tricesimo Historiarum libro: « Hæresippus Spartanus, inquit, homo erat non mediocriter improbus, et ne speciem quidem ullam boni viri habens, singulari vero in assentando vi persuadendi valebat; in colendis divitibus, dum fortuna floreret, mirus artifex. »

9.

Libro tricesimo primo Agatharchides ait Zacynthios esse belli imperitos, quod divitiis et omnium rerum copia abundantes, deliciis sint assueti.

10.

Agatharchides Cnidius quarto et tricesimo Rerum Europæarum, de Phaside verba faciens, hæc scribit: « Multitudo vero Phasianarum quæ vocantur avium pabuli causa eo convolant, ubi fluminis ostia mare influunt. »

11.

Agatharchides libro tricesimo quinto Rerum Europæarum scribit: « Arycandenses Lyciæ, Limyrensium vicini, quum propter luxuriam et sumptuosam vitam ingens æs alienum conflassent, et ob inertiam et voluptatis studium usuras non possent persolvere, Mithridatis partibus se adjunxerunt, sperantes mercedem se ab eo novas tabulas relaturas. »

12.

Agatharchides Cnidius octavo et tricesimo libro Rerum Europæarum Dardanos ait possidere servos, alium mille, alium etiam plures. Horum quemque pacis tempore colere agros; in bello vero centuriari et arma ferre duce domino.

13.

In Issa, Adriatici maris insula, vinum nasci Agatharchides ait, quod cum aliis omnibus collatum, antecellere bonitate compertum sit.

ΑΣΙΑΤΙΚΑ

ἐν βιβλ.. ι'.

14.

E LIBRO SECUNDO.

Diodorus III, 11, 1: Περὶ δὲ τῶν συγγραφέων ἡμῖν διοριστέον, ὅτι πολλοὶ συγγεγράφασι περὶ τῆς Αἰγύπτου καὶ τῆς Αἰθιοπίας, ὧν οἱ μὲν ψευδεῖ φήμῃ πεπιστευκότες, οἱ δὲ παρ' ἑαυτῶν πολλὰ τῆς ψυχαγωγίας ἕνεκα πεπλακότες, δικαίως ἂν ἀπιστοῖντο. Ἀγαθαρχίδης μὲν γὰρ ὁ Κνίδιος ἐν τῇ δευτέρᾳ βίβλῳ τῶν περὶ τὴν Ἀσίαν, καὶ ὁ τὰς Γεωγραφίας συνταξάμενος Ἀρτεμίδωρος ὁ Ἐφέσιος κατὰ τὴν ὀγδόην βίβλον, καί τινες ἕτεροι τῶν ἐν Αἰγύπτῳ κατοικούντων ἱστορηκότες τὰ πλεῖστα τῶν προειρημένων ἐν πᾶσι σχεδὸν ἐπιτυγχάνουσι.

Colligitur hinc Agatharchidem in Historiis Asiaticis haud pauca exposuisse eorum, quæ fusius postea in libris V De mari Rubro tractavit. Illis vero non acquievisse Diodorum, sed pleraque eorum, quæ lib. III, 2—48 de Æthiopibus habet, e majori illo opere descripsisse Excerpta Photiana docent. Quare quæ sunt apud Diodorum aliosque de istis populis et regionibus fragmenta Agatharchidis, non hoc loco exhibenda, sed cum Photianis Exc. componenda esse duximus. Expressis verbis Agatharchides laudatur apud Diodor. III, 8, 4 (cf. Ag. De m. Rubro p. 57 sq. ed. Hudson.) et III, 48 (cf. id. p. 66), et I, 41 de Nili incrementis, quem locum dabimus fr. 15, quamvis et ipse fortasse ex libris De m. Rubro petitus fuerit. Denique citatur Noster apud Strabon. XVI, p. 778 (de nomine maris Rubri), Plutarch. Sympos. VIII, 9, Ælian. V, 27 (de bestiis Æthiopiæ); Plin. H. N. VII, 2, p. 8 ed. Tauchn. (coll. Agath. p. 43 Huds.).

15.

Idem I, 41, 4, de Nili incrementis: Ἔγγιστα δὲ τῇ ἀληθείᾳ προσελήλυθεν Ἀγαθαρχίδης ὁ Κνίδιος· φησὶ γὰρ κατ' ἐνιαυτὸν ἐν τοῖς κατὰ τὴν Αἰθιοπίαν ὄρεσι γίνεσθαι συνεχεῖς ὄμβρους ἀπὸ θερινῶν τροπῶν μέχρι τῆς μετοπωρινῆς ἰσημερίας· εὐλόγως οὖν τὸν Νεῖλον ἐν μὲν τῷ χειμῶνι συστέλλεσθαι, τὴν κατὰ φύσιν ἔχοντα ῥύσιν ἀπὸ μόνων τῶν πηγῶν, κατὰ δὲ τὸ θέρος διὰ τοὺς ἐκχεομένους ὄμβρους λαμβάνειν τὴν αὔξησιν. Εἰ δὲ τὰς αἰτίας μηδεὶς ἀποδοῦναι δύναται μέχρι τοῦ νῦν τῆς τῶν ὑδάτων γενέσεως, οὐ προσήκειν ἀθετεῖσθαι τὴν ἰδίαν ἀπόφασιν· πολλὰ γὰρ τὴν φύσιν ἐναντίως φέρειν, ὧν τὰς αἰτίας οὐχ ἐφικτὸν ἀνθρώποις ἀκριβῶς ἐξευρεῖν· μαρτυρεῖν δὲ τοῖς ὑφ' ἑαυτοῦ λεγομένοις καὶ τὸ γινόμενον περί τινας τόπους τῆς Ἀσίας. Πρὸς μὲν γὰρ τοῖς ὅροις τῆς Σκυθίας τοῖς πρὸς τὸ Καυκάσιον ὄρος συνάπτουσι, παρεληλυθότος ἤδη τοῦ χειμῶνος, καθ' ἕκαστον ἔτος νιφετοὺς ἐξαισίους γίνεσθαι συνεχῶς ἐπὶ πολλὰς ἡμέρας, ἐν δὲ τοῖς πρὸς βορρᾶν ἐστραμμένοις μέρεσι τῆς Ἰνδικῆς ὡρισμένοις καιροῖς καὶ χάλαζαν ἄπιστον τὸ μέγεθος καὶ τὸ πλῆθος καταράττειν, καὶ περὶ μὲν τὸν Ὑδάσπην ποταμὸν ἀρχομένου θέρους συνεχεῖς ὄμβρους γίνεσθαι, κατὰ δὲ τὴν Αἰθιοπίαν μεθ' ἡμέρας τινὰς ταὐτὸ συμβαίνειν, καὶ ταύτην τὴν περίστασιν κυκλουμένην ἀεὶ τοὺς συνεχεῖς τόπους χειμάζειν. Οὐδὲν οὖν εἶναι παράδοξον εἰ καὶ κατὰ τὴν Αἰθιοπίαν τὴν κειμένην ὑπὲρ Αἰγύπτου συνεχεῖς ἐν τοῖς ὄρεσιν ὄμβροι καταράττοντες ἐν τῷ θέρει πληροῦσι τὸν ποταμὸν, ἄλλως τε καὶ τῆς ἐναργείας αὐτῆς μαρτυρουμένης ὑπὸ τῶν περὶ τοὺς τόπους οἰκούντων βαρβάρων. Εἰ δὲ τοῖς παρ' ἡμῖν γινομένοις ἐναντίαν ἔχει τὰ λεγόμενα φύσιν, οὐ διὰ τοῦτ' ἀπιστητέον· καὶ γὰρ τὸν

DE REBUS ASIATICIS LIBRI X.

14.

Nunc de scriptoribus aliquid definiendum est. Multi enim de Ægypto et Æthiopia narrationes contexuere; quibus, quod vel mendaci famæ crediderint, vel ex ingenio suo voluptatis causa multa finxerint, merito fides deroganda est. Agatharchides autem Cnidius, libro secundo Rerum Asiaticarum, et Artemidorus Ephesius Geographiarum auctor, libro octavo, et quidam alii ex Ægypti incolis, qui historias de rebus a nobis supra recensitis ediderunt, veritatem prope in omnibus assequuntur.

15.

Quam proxime ad verum accessit Agatharchides Cnidius. Is enim memorat, quotannis in Æthiopiæ montibus pluvias exsistere continentes, a retrogressione solis æstiva usque ad diei et noctis exæquationem autumnalem. Consentaneum esse igitur rationi, Nilum hieme contrahi, ubi pro naturæ suæ modo a solis fontibus procurreret, et per æstatem ab imbribus effusis increscere. Etsi autem nemo hactenus generationis aquarum rationes reddere potuerit, suæ tamen sententiæ expositionem idcirco non repudiandam esse docet. Multa enim naturam ferre contra solitum, quorum causas homines accurate invenire non possent. Dictis a se testimonium id afferre, quod in aliquibus Asiæ locis accideret. Nam in finibus Scythiæ Caucasium montem attingentibus, jam hieme exacta, singulis annis per dies continue multos vim nivium immanem decidere. In Indiæ quoque partibus ad Boream conversis grandinem magnitudine et copia incredibili certis temporibus præcipitare; et circa Hydaspin fluvium ineunte æstate continenter pluere. Id ipsum in Æthiopia quoque aliquot diebus post contingere. Et hanc aeris intemperiem perpetuo circumactam locis contiguis tempestates inducere. Non igitur mirum, si et Æthiopiæ, supra Ægyptum sitæ, montana assiduis obruerentur imbribus, unde per æstatem fluvius auctior factus insurgeret; præsertim quum rem ita se habere barbari locorum accolæ testarentur. Quodsi hæc jam memorata contrariam habeant naturam iis, quæ apud nos fiunt, non propterea fidem esse derogandam. Nam austrum apud nos turbidum

νότον παρ' ἡμῖν μὲν εἶναι χειμέριον, περὶ δὲ τὴν Αἰθιοπίαν αἴθριον ὑπάρχειν, καὶ τὰς βορείους πνοὰς περὶ μὲν τὴν Εὐρώπην εὐτόνους εἶναι, κατ' ἐκείνην δὲ τὴν χώραν βληχρὰς καὶ ἀτόνους [καὶ παντελῶς ἀσθενεῖς]. Eadem brevius ex Agatharchide narrat Theophylactus Hist. lib. VII ap. Phot. cod. 65, p. 32, a, 4 ed. Bekker.

16.

E LIBRO OCTAVO.

Athenæus IV, p. 155, C: Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν ὀγδόῃ Ἀσιατικῶν ἱστορεῖ, ὡς οἱ ἑστιῶντες Ἀλέξανδρον τὸν Φιλίππου τῶν φίλων τὸ μέλλον παρατεθήσεσθαι τῶν τραγημάτων περιεχρύσουν· ὅτε δὲ θέλοιεν ἀναλίσκειν, περιελόντες τὸν χρυσὸν ἅμα τοῖς ἄλλοις ἐξέβαλλον, ἵνα τῆς μὲν πολυτελείας οἱ φίλοι θεαταὶ γένοιντο, οἱ δ' οἰκέται κύριοι.

17.

E LIBRO NONO.

Lucianus Macrob. c. 22: Ἱερώνυμος (Cardianus) δὲ ἐν πολέμοις γενόμενος καὶ πολλοὺς καμάτους ὑπομείνας καὶ τραύματα ἔζησεν ἔτη τέτταρα καὶ ἑκατόν, ὡς Ἀγαθαρχίδης ἐν τῇ ἐνάτῃ τῶν Περὶ τῆς Ἀσίας ἱστοριῶν λέγει, καὶ θαυμάζει γε τὸν ἄνδρα ὡς μέχρι τῆς τελευταίας ἡμέρας ἄρτιον ὄντα ἐν ταῖς συνουσίαις καὶ πᾶσι τοῖς αἰσθητηρίοις, μηδενὸς γενόμενον τῶν πρὸς ὑγιείαν ἐλλιπῆ.

18.

E LIBRO DECIMO.

Athen. XII, p. 539, B: Φύλαρχος δ' ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν, καὶ Ἀγαθαρχίδης ὁ Κνίδιος ἐν τῷ δεκάτῳ Περὶ Ἀσίας, καὶ τοὺς ἑταίρους φησὶ τοὺς Ἀλεξάνδρου ὑπερβαλούσῃ τρυφῇ χρήσασθαι. Ὧν εἷς ὢν καὶ Ἅγνων χρυσοῦς ἥλους ἐν ταῖς κρηπῖσι καὶ τοῖς ὑποδήμασιν ἐφόρει. Κλεῖτος δὲ, ὁ Λευκὸς καλούμενος, κ. τ. λ. Sequentia exscripsimus in fragm. 43 Phylarchi, ubi vide.

E LIBRIS INCERTIS.

19.

Josephus C. Apion. I, c. 22: Οὐκ ὀκνήσω δὲ καὶ τὸν ἐπ' εὐηθείας διασυρμῷ, καθάπερ αὐτὸς οἴεται, μνήμην πεποιημένον ἡμῶν Ἀγαθαρχίδην ὀνομάσαι. Διηγούμενος γὰρ τὰ περὶ Στρατονίκην, ὃν τρόπον ἦλθε μὲν εἰς Συρίαν ἐκ Μακεδονίας, καταλιποῦσα τὸν ἑαυτῆς ἄνδρα Δημήτριον, Σελεύκου δὲ γαμεῖν αὐτὴν οὐ θελήσαντος, ὅπερ ἐκείνη προσεδόκησε, ποιουμένου δὲ τὴν ἀπὸ Βαβυλῶνος στρατιὰν αὐτοῦ, τὰ περὶ τὴν Ἀντιόχειαν ἐνεωτέρισεν. Εἶθ' ὡς ἀνέστρεψεν ὁ βασιλεὺς, ἁλισκομένης τῆς Ἀντιοχείας, εἰς Σελεύκειαν φυγοῦσα, παρὸν αὐτῇ ταχέως ἀποπλεῖν, ἐνυπνίῳ κωλύοντι πεισθεῖσα ἐλήφθη καὶ ἀπέθανεν. Ταῦτα προειπὼν ὁ Ἀγαθαρχίδης, καὶ ἐπισκώπτων τῇ Στρατονίκῃ τὴν δεισιδαιμονίαν, παραδείγματι χρῆται τῷ περὶ ἡμῶν λόγῳ καὶ γέγραφεν οὕτως· « Οἱ καλούμενοι Ἰουδαῖοι πόλιν οἰκοῦντες ὀχυρωτάτην πασῶν, ἣν καλεῖν Ἱεροσόλυμα συμβαίνει τοὺς ἐγχωρίους, ἀργεῖν εἰθισμένοι δι' ἑβδόμης ἡμέρας, καὶ μηδὲ τὰ ὅπλα βαστάζειν ἐν τοῖς εἰρημένοις χρόνοις, μήτε γεωργίας ἅπτεσθαι, μήτε ἄλλης ἐπιμελεῖσθαι λειτουργίας μηδεμιᾶς, ἀλλ' ἐν τοῖς ἱεροῖς ἐκτεταχότες τὰς χεῖρας εὔχεσθαι μέχρι τῆς ἑσπέρας, εἰσιόντος εἰς τὴν πόλιν Πτολεμαίου τοῦ Λάγου μετὰ τῆς δυνάμεως, καὶ τῶν ἀνθρώπων ἀντὶ τοῦ φυλάττειν τὴν πόλιν διατηρούντων τὴν ἄνοιαν, ἡ μὲν πατρὶς εἰλήφει

---

esse et nimbosum, in Æthiopia vero serenum, et boreales ventos in Europa esse concitatos et vehementes, in illis regionibus remissos [prorsusque infirmos].

16.

Agatharchides Cnidius, Asiaticarum Historiarum libro octavo, narrat « Alexandri amicos, Philippi filii, epulis excipientes regem, deaurasse bellaria mensis imponenda: quoties vero comedere aliquid ex his voluissent, detrahentes aurum, simul cum ceteris rebus (ad comedendum inutilibus) abjecisse; ut magnificentiæ spectatores essent familiares, fructus autem illius ad servos rediret. »

17.

Hieronymus (*Cardianus*), in bellis versatus, multos labores perpessus et vulnera, annos vixit quattuor supra centum, ut ait Agatharchides in nono Historiarum Asiæ libro, atque admiratur virum, qui ad ultimum vitæ diem aptus fuerit consuetudini hominum, nec in ullius sensus usu aut sanitate quidquam desideraverit.

18.

Phylarchus libro Historiarum vicesimo tertio et Agatharchides Cnidius decimo De Asia, etiam amicos Alexandri immani luxuria esse scribunt. Quorum unus fuit Agnon, qui aureis clavis confixas crepidas calceosque gestabat.

19.

Non me pigebit nominare Agatharchidem, cum irrisione simplicitatis, ut ipsi visum est, nostrûm mentionem facientem. Is enim narrans de Stratonice, quemadmodum in Syriam quidem e Macedonia venerit, viro suo Demetrio derelicto; Seleuco autem uxorem eam ducere nolente, id quod ipsa exspectaverat, exercitum vero apud Babylonem illo colligente, res novas circa Antiochiam molita sit. Deinde, post regis reversionem capta Antiochia, in Seleuciam fugerit: quumque liceret ipsi statim navi discedere, somnio id facere prohibenti parendo capta sit et interierit. Ista præfatus Agatharchides, et cum dicteriis Stratonicæ exprobrans superstitionem, in exemplum adhibet quod de genere nostro dicitur, et in hunc modum scripsit: « Ii qui appellantur Judæi, quum urbem habeant firmissimam, quam ab indigenis Hierosolyma vocari accidit, soliti otiari diebus septimis, ita ut eo tempore nec arma ferant, nec agrum colant, nec alius omnino cujusquam ministerii curam habeant, sed in templo extensis manibus preces faciant ad vesperam usque,

δεσπότην πικρὸν, ὁ δὲ νόμος ἐξηλέγχθη φαῦλον ἔχων ἐθισμόν. Τὸ δὲ συμβὰν πλὴν ἐκείνων τοὺς ἄλλους πάντας δεδίδαχε τηνικαῦτα φυγεῖν ἐνύπνια καὶ τὴν περὶ τοῦ νόμου παραδεδομένην ὑπόνοιαν, ἡνίκ' ἂν τοῖς ἀνθρωπίνοις λογισμοῖς περὶ τῶν διαπορουμένων ἐξασθενήσωσιν. »

Πορευθέντος οὖν εἰς τὴν πόλιν τοῦ Ἐμμὼρ, καὶ τοὺς ὑποτασσομένους παρακαλοῦντος περιτέμνεσθαι, ἕνα τῶν Ἰακὼϐ υἱῶν τὸ ὄνομα Συμεῶνα διαγνῶναι τόν τε Ἐμμὼρ καὶ τὸν Συχὲμ ἀνελεῖν, τὴν ὕϐριν τῆς ἀδελφῆς μὴ βουληθέντα πολιτικῶς ἐνεγκεῖν· ταῦτα δὲ διαγνόντα Λευὶν τῷ ἀδελφῷ κοινώσασθαι· λαϐόντα δ' αὐτὸν συγκάταινον ἐπὶ τὴν πρᾶξιν παρορμῆσαι, λόγιον προφερόμενον τὸν Θεὸν ἀνελεῖν φάμενον τοῖς Ἀϐραὰμ ἀπογόνοις δέκα ἔθνη δώσειν. Φησὶ δὲ οὕτως ὁ Συμεὼν πρὸς τὸν Λευὶν,

Εὖ γὰρ ἐγὼ μῦθόν γε πεπυσμένος εἰμὶ θεοῖο·
δώσειν γάρ ποτ' ἔφησε δέκ' ἔθνεα παισὶν Ἀϐραάμ.

Τὸν δὲ θεὸν αὐτοῖς τοῦτον τὸν νοῦν ἐμϐαλεῖν διὰ τὸ τοὺς ἐν Σικίμοις ἀσεϐεῖς εἶναι. Φησὶ δὲ,

Βλάπτε θεὸς Σικίμων οἰκήτορας, οὐ γὰρ ἔτιον
εἰς αὐτοὺς ὅστις κε μόλῃ κακὸς, οὐδὲ μὲν ἐσθλός·
οὐδὲ δίκας ἐδίκαζον ἀνὰ πτόλιν οὐδὲ θέμιστας·
λοίγια δ' ὠρώρει τοῖσιν μεμελημένα ἔργα.

Τὸν οὖν Λευὶν καὶ τὸν Συμεῶνα εἰς τὴν πόλιν καθωπλισμένους ἐλθεῖν, καὶ πρῶτα μὲν τοὺς ἐντυγχάνοντας ἀναιρεῖν, ἔπειτα δὲ καὶ τὸν Ἐμμὼρ καὶ τὸν Συχὲμ φονεῦσαι. Λέγει δὲ περὶ τῆς ἀναιρέσεως αὐτῶν οὕτως·

Ὡς τότε δὴ Συμεὼν μὲν Ἐμὼρ ὤρουσεν ἐπ' αὐτὸν,
πλῆξέ τε οἱ κεφαλὴν, δειρὴν δ' ἕλεν ἐν χερὶ λειῇ,
λεῖψε δ' ἔτι σπαίρουσαν, ἐπεὶ πόνος ἄλλος ὀρώρει
Τόφρα δὲ καὶ Λευὶν ἄσχετος ἔλλαβε χαίτης
γούνων ἁπτόμενον Συχὲμ, ἄσπετα μαργήναντα.
Ἤλασε δὲ κληῗδα μέσην· δῦ δὲ ξίφος ὀξὺ
σπλάγχνα διὰ στέρνων, λίπε δὲ ψυχὴ δέμας εὐθύς.

---

summittit Liam genitor: sed fraude retecta,
(sensit enim conjux) natuque minore potitus,
esse utramque dedit solerti prole parentem.
Undenis maribus pulchro spectabilis ore
additur et molli præstans in corpore Dina
exserit ingenium.

Ab Euphrate vero Jacobum scribit quum ad Emmorem in Sicima venisset, exceptum ab eo humaniter, agrique parte donatum fuisse: ubi quum agriculturæ operam ipse daret, tum vero undecim filii in pastionem, Dinaque filia cum ceteris mulieribus in lanificium incumberet. Verum quo die solennis forte conventus Sicimis ageretur, Dinam tametsi adhuc virginem, in urbem tamen visendi studio penetrasse, ac Sychemum Emmoris filium, ejus simulac vidisset amore captum, ipsi per vim raptæ ac domum abductæ stuprum quum obtulisset, paullo post una cum patre ad Jacobum venisse; ab eoque filiæ nuptias expetivisse: quas ille quum negaret, priusquam incolæ Sicimorum universi et circumcisionem et ritus Judaicos accepissent: Emmorem futurum spopondisse, ut eos hanc ad conditionem adducere conaretur. Et eos quidem circumcidi omnes oportere, Jacobus ita declarat:

Hebræam divina vetant oracula gentem
externos sponsæ generos in tecta vocare:
hæc patrius tantum novit commercia sanguis.

Et mox de circumcisione:

Qui magnum patriis Abrahamum eduxit ab oris
cælitus hunc tota jussit cum stirpe recurvo,
glande sub extrema, præputia demere ferro.
Paruit, atque Dei verbis immotus inhæsit.

Emmor itaque in civitatem reversus, quum suos ad capessendum circumcisionis ritum hortatus esset, unum ex Jacobi filiis Symeonem, quod sororis injuriam iniquius graviusque ferret, Emmorem ac Sychemum interficere statuisse; communicatoque cum Levino fratre consilio, socium eum comitemque facinoris adhibuisse, quum decem ille gentes Abrahami posteris divino promissas oraculo esse jactaret. Sic autem Levinum alloquitur Symeon:

Verba Dei penitus medio sub pectore servo,
quem denas Abraæ natis promittere gentes
commemini.

Ac Deum quidem propter Sicimitarum impietatem hanc iis mentem injecisse testatur his verbis:

Ardenti vindex Sicimos Deus obruit ira,
quo virtutis amans nemo inviolatus adiret;
hic ubi nulla æqui tenuit reverentia cives,
sed tantum infandi sceleris vesana libido.

Ergo Levinum ac Symeonem armatos in urbem venisse, obviisque primum cæsis, Emmorem ac Sychemum peremisse, quam ille cædem ita describit:

Tunc Emori vasto Symeon caput arduus ictu
amputat, ac læva truncam suspendere gestit
cervicem; donec, quod pugna atrocior instet,
linquat humi singultantem. At violentior ardet
Levinus frustraque solo pedibusque volutum,
ausum immane nefas Sychemum, pendentibus hærens
crinibus invadit. Jugulum delatus in altum,
mox toto gladius subit in præcordia ferro,
exturbatque animam.

Πυθομένους δὲ καὶ τοὺς ἑτέρους ἀδελφοὺς τὴν πρᾶξιν αὐτῶν ἐπιβοηθῆσαι, καὶ τὴν πόλιν ἐκπορθῆσαι, καὶ τὴν ἀδελφὴν ἀναρρυσαμένους μετὰ τῶν αἰχμαλώτων εἰς τὴν πατρῴαν ἔπαυλιν διακομίσαι. »

10.

ΑΡΤΑΠΑΝΟΥ

περὶ Ἰωσήφ.

Cap. 23 : Τούτοις καὶ τὰ ἑξῆς περὶ τοῦ Ἰωσὴφ ἐκ τῆς αὐτῆς Πολυΐστορος γραφῆς ἐπισυνήφθω.

« Ἀρτάπανος δέ φησιν ἐν τῷ Περὶ Ἰουδαίων τῷ Ἀβραὰμ Ἰωσὴφ ἀπόγονον γενέσθαι, υἱὸν δὲ Ἰακώβου· συνέσει δὲ καὶ φρονήσει παρὰ τοὺς ἄλλους διενεγκόντα ὑπὸ τῶν ἀδελφῶν ἐπιβουλευθῆναι· προειδόμενον δὲ τὴν ἐπισύστασιν δεηθῆναι τῶν ἀστυγειτόνων Ἀράβων εἰς τὴν Αἴγυπτον αὐτὸν διακομίσαι· τοὺς δὲ τὸ ἐπιτυγχανόμενον ποιῆσαι· εἶναι γὰρ τοὺς τῶν Ἀράβων βασιλεῖς ἀπογόνους Ἰσραὴλ, υἱοὺς δὲ Ἀβραὰμ, Ἰσαὰκ δὲ ἀδελφούς. Ἐλθόντα δὲ αὐτὸν εἰς τὴν Αἴγυπτον καὶ συσταθέντα τῷ βασιλεῖ διοικητὴν τῆς ὅλης γενέσθαι χώρας. Καὶ πρότερον ἀτάκτως τῶν Αἰγυπτίων γεωμορούντων, διὰ τὸ τὴν χώραν ἀδιαίρετον εἶναι καὶ τῶν ἐλασσόνων ὑπὸ τῶν κρεισσόνων ἀδικουμένων, τοῦτον πρῶτον τήν τε γῆν διελεῖν καὶ ὅροις διασημήνασθαι, καὶ πολλὴν χερσευομένην γεωργήσιμον ἀποτελέσαι, καί τινας τῶν ἀρουρῶν τοῖς ἱερεῦσιν ἀποκληρῶσαι. Τοῦτον δὲ καὶ μέτρα εὑρεῖν, καὶ μεγάλως αὐτὸν ὑπὸ τῶν Αἰγυπτίων διὰ ταῦτα ἀγαπηθῆναι. Γῆμαι δὲ αὐτὸν Ἡλιουπολίτου ἱερέως Ἀσενὲθ θυγατέρα, ἐξ ἧς γεννῆσαι παῖδας. Μετὰ δὲ ταῦτα παραγενέσθαι πρὸς αὐτὸν τόν τε πατέρα καὶ τοὺς ἀδελφοὺς κομίζοντὰς πολλὴν ὕπαρξιν, καὶ κατοικισθῆναι ἐν τῇ πόλει Καισὰν, καὶ τοὺς Σύρους πλεονάσαι ἐν τῇ Αἰγύπτῳ. Τούτους δέ φησι καὶ τὸ ἐν Ἀθὼς καὶ τὸ ἐν Ἡλιουπόλει ἱερὸν κατασκευάσαι τοὺς Ἑρμιοὺθ ὀνομαζομένους. Μετὰ δὲ ταῦτα τελευτῆσαι τόν τε Ἰωσὴφ καὶ τὸν βασιλέα τῶν Αἰγυπτίων. Τὸν οὖν Ἰωσὴφ κρατοῦντα τῆς Αἰγύπτου τὸν τῶν ἐτῶν ἑπτὰ σῖτον, γενόμενον κατὰ τὴν φορὰν ἄπλετον, παραθέσθαι, καὶ τῆς Αἰγύπτου δεσπότην γενέσθαι.

11.

ΦΙΛΩΝΟΣ

ἀπὸ τῆς αὐτῆς γραφῆς περὶ τοῦ Ἰωσήφ.

Cap. 24 : Μαρτυρεῖ δὲ ταῖς ἱεραῖς βίβλοις καὶ Φίλων ἐν τῇ ιδʹ τῶν Περὶ Ἱεροσόλυμα, λέγων οὕτως·

Τοῖσιν ἕδος μακαριστὸν ὅλης μέγας ἔκτισεν ἄκτωρ
ὕψιστος, καὶ πρόσθεν ἀπ' Ἀβρααμοῖο καὶ Ἰσὰκ,
Ἰακὼβ εὐτέκνοιο τόκος Ἰωσὴφ, ὃς ὀνείρων
θεσπιστὴς, σκηπτοῦχος ἐν Αἰγύπτοιο θρόνοισι,
δινεύσας λαθραῖα χρόνου πλημμύριδι μοίρης,

καὶ τὰ ἑξῆς. » Ταῦτα δὲ καὶ περὶ τοῦ Ἰωσήφ.

Postmodum vero fratres ceteros, ubi rem inaudiissent, conjunctis viribus civitatem diripuisse, ac sororem cum ipsa captivorum manu paternam in villam transtulisse. »

10.

EX ARTAPANO

de Josepho.

Quibus deinceps Alexander Josephi rerum commemorationem adjungit, hunc in modum. « Artapanus autem in suo De Judæis commentario Josephum ait Abrahami nepotem, Jacobi filium, quum reliquis fratribus ingenio sapientiaque præstaret, eorum insidiis appetitum esse; quorum ipse conjuratione prospecta, vicinos Arabes, uti se in Ægyptum abducerent, obsecravit, ejusque precibus illos annuisse. Arabum enim reges Israelis nepotes, Abrahami filios et Isaaci fratres esse. Ergo Josephum, paullo post quam Ægyptum attigisset, eo regis studio ac benevolentia exceptum esse ut præfectus ab eo totius regni constitueretur. Eundem vero, quum Ægyptii terram eatenus magna perturbatione coluissent, quod neque divisa regio esset, ac tenuioris fortunæ homines a potentioribus iniquius haberentur, agros ante omnia divisisse, certis passim finibus terminisque descriptos, adeoque magnam soli partem in cultam prius atque silvescentem, culturæ opportunam commodamque reddidisse, suosque sacerdotibus agros singulares atque proprios assignasse. Mensuras prœterea invenisse, quibus ille officiis Ægyptiorum sibi voluntatem majorem in modum devinxerit. Ceterum Asenethen Heliopolitani sacerdotis filiam uxorem duxisse, ac liberos ex ea suscepisse. Postea vero patrem cunctosque fratres multis cum opibus ac facultatibus ad eum venisse, fixisque in urbe Cæsana domiciliis, Syrorum in Ægypto auctam admodum ac propagatam sobolem fuisse. Eosdem insuper tum quod apud Athon, tum quod apud Heliopolin est templum condidisse Hermiuth vulgo nominatos. Postremo Josephum Ægyptiorumque regem obiisse. Ac Josephum quidem quum Ægypto præesset, immensam frumenti vim, quæ toto septennio provenerat, in medium contulisse, ac totius Ægypti dominum fuisse.

11.

E PHILONE

Ex eodem scripto de Josepho.

Quin etiam Philonis testimonium divinis literis suffragatur. Is enim in libro De Hierosolymis decimo quarto ita scribit :

Ollis ampla potens ultro dat jugera princeps,
facundoque solo locat incorruptus Ioseph,
Abrami Isacique nepos, quemque almus Iacob
sustulit, obscuræ cui pervia somnia noctis,
qui solio incumbens Ægyptia regna tuetur,
ambiguo fati varie jactatus ab æstu. »

12.

ΑΡΙΣΤΕΟΥ

περὶ τοῦ Ἰώϐ.

Cap. 25 : Ἄκουε δὲ οἷα καὶ περὶ τοῦ Ἰὼϐ ὁ αὐτὸς ἱστορεῖ.

« Ἀριστέας δέ φησι ἐν τῷ Περὶ Ἰουδαίων τὸν Ἠσαῦ γήμαντα Βασσάραν ἐν Ἐδὼμ, γεννῆσαι Ἰώϐ· κατοικεῖν δὲ τοῦτον ἐν τῇ Αὐσίτιδι χώρᾳ, ἐπὶ τοῖς ὅροις τῆς Ἰδουμαίας καὶ Ἀραϐίας. Γενέσθαι δ' αὐτὸν δίκαιον καὶ πολύκτηνον· κτήσασθαι γὰρ αὐτὸν πρόϐατα μὲν ἑπτακισχίλια, καμήλους δὲ τρισχιλίας, ζεύγη βοῶν πεντακόσια, ὄνους θηλείας νομάδας πεντακοσίας· εἶχε δὲ καὶ γεωργίας ἱκανάς. Τοῦτον δὲ τὸν Ἰὼϐ πρότερον Ἰωϐὰϐ ὀνομάζεσθαι. Πειράζοντα δ' αὐτὸν τὸν Θεὸν ἐμμεῖναι, μεγάλαις δὲ περιϐαλεῖν αὐτὸν ἀτυχίαις. Πρῶτον μὲν γὰρ αὐτοῦ τούς τε ὄνους καὶ βοῦς ὑπὸ λῃστῶν ἀπελαθῆναι, εἶτα τὰ πρόϐατα ὑπὸ πυρὸς ἐκ τοῦ οὐρανοῦ πεσόντος κατακαῆναι σὺν τοῖς ποιμέσι· μετ' οὐ πολὺ δὲ καὶ τὰς καμήλους ὑπὸ λῃστῶν ἀπελαθῆναι· εἶτα τὰ τέκνα αὐτοῦ ἀποθανεῖν, πεσούσης τῆς οἰκίας· αὐθημερὸν δὲ αὐτοῦ καὶ τὸ σῶμα ἑλκῶσαι. Φαύλως δὲ αὐτοῦ διακειμένου, ἐλθεῖν εἰς ἐπίσκεψιν Ἐλίφαν τὸν Θαιμανιτῶν βασιλέα, καὶ Βαλδὰδ τῶν Σαυχαίων τύραννον, καὶ Σωφὰρ τὸν Μινναίων βασιλέα, ἐλθεῖν δὲ καὶ Ἐλιοῦν τὸν Βαραχιὴλ τὸν Ζωϐίτην. Παρακαλούμενον δὲ φάναι καὶ χωρὶς παρακλήσεως ἐμμενεῖν αὐτὸν ἔν τε τῇ εὐσεϐείᾳ καὶ τοῖς δεινοῖς. Τὸν δὲ Θεὸν ἀγασθέντα τὴν εὐψυχίαν αὐτοῦ, τῆς τε νόσου αὐτὸν ἀπολῦσαι, καὶ πολλῶν κύριον ὑπάρξεων ποιῆσαι. »

Τοσαῦτα καὶ περὶ τούτων ὁ Πολυίστωρ.

13.

ΕΥΠΟΛΕΜΟΥ

περὶ Μωσέως.

Cap. 26 : Καὶ περὶ Μωσέως δὲ ὁ αὐτὸς πάλιν πλεῖστα παρατίθεται, ὧν καὶ αὐτῶν ἐπακοῦσαι ἄξιον.

« Εὐπόλεμος δέ φησι τὸν Μωσῆν πρῶτον σοφὸν γενέσθαι καὶ γράμματα παραδοῦναι τοῖς Ἰουδαίοις πρῶτον, παρὰ δὲ Ἰουδαίων Φοίνικας παραλαϐεῖν, Ἕλληνας δὲ παρὰ Φοινίκων, νόμους τε πρῶτον γράψαι Μωσῆν τοῖς Ἰουδαίοις. » Eadem ex Eupolemo ἐν τῷ Περὶ τῶν ἐν τῇ Ἰουδαίᾳ βασιλέων narrat Clem. Alex. Strom. I, 23, p. 148, 47 Sylb. et Chron. Alexand. p. 148, Cyrill. Adv. Jul. p. 231, D, et Georg. Hamartol. Chron. in Cramer. Anecd. tom. IV, p. 245.

14.

ΑΡΤΑΠΑΝΟΥ

περὶ Μωσέως.

Cap. 27 : « Ἀρτάπανος δέ φησιν ἐν τῇ Περὶ Ἰουδαίων, Ἀϐραὰμ τελευτήσαντος, καὶ τοῦ υἱοῦ αὐτοῦ Μεμψασθενὼθ, ὁμοίως δὲ καὶ τοῦ βασιλέως τῶν Αἰγυπτίων, τὴν δυναστείαν παραλαϐεῖν τὸν υἱὸν αὐτοῦ Παλμανώθην. Τοῦτον δὲ τοῖς Ἰουδαίοις φαύλως προσφέρεσθαι·

12.

EX ARISTÆO

de Jobo.

Nunc autem audi quæ de Jobo idem commemorat. « Aristeas, inquit, in sua De Judæis historia auctor est Esaum e Bassara conjuge Jobum in Idumæa filium genuisse, sedemque sibi in Ausitide regione apud ipsum Idumææ et Arabiæ confinium delegisse. Eundem æquitate præstantem, ac pecore in primis abundantem fuisse : ovium enim septem, camelorum tria millia, paria bovum quingenta, gregalesque asinas totidem numerasse. Copiam agrorum non absimilem. Ac Jobum quidem Jobathum antea nominatum esse. Porro deum explorandæ hominis probandæque virtutis gratia, diuturnis eum grandibusque calamitatibus exercuisse. Primum enim asinarum bovumque armenta a latronibus per vim abacta esse, tum oves simul atque pastores igne cœlitus immisso conflagrasse, mox camelos quoque a latronibus similiter abductos, filiosque omnes ædium ruina oppressos fuisse; postremo illum etiam eo ipso die fœdissimo totius corporis ulcere laborasse. Quibus in angustiis positus quum esset, ad eum invisendi causa Eliphazm Thæmanitarum regem, Baldadem Sauchæorum tyrannum, Sopharem Minnæorum regem, et Elium Barachielis filium Zobitem convenisse. Qui quum eum alloquio solarentur, ipsum, tametsi consolatione omni careret, futurum tamen respondisse, uti pietatis suæ laudem hac in tanta malorum acerbitate perpetuam retineret. Deum vero hac ejus integritatis et constantiæ vi majorem in modum probata, non ipsum tantum morbo liberasse, verum etiam ingentibus deinceps opibus ac fortunis cumulasse. » Hæc omnia Polyhistor.

13.

EX EUPOLEMO

de Mose.

Idem quoque plurima de Mose habet auditu digna. « Mosem, inquit, narrat Eupolemus, primum sapientem fuisse, Judæisque primum literas tradidisse, a quibus eas Phœnices, ut a Phœnicibus Græci accepissent, eundemque Judæis leges principem condidisse. »

EX ARTAPANO

de Mose.

14.

« Artapanus autem in suo De Judæis opere scribit Abrahamo cum Mempsasthenothe filio, ipsoque Ægyptiorum rege, vita functo, Palmanothem alterum ejusdem filium Ægypti imperium cepisse, Judæumque populum durius habuisse. Ab hoc primum Cessam conditam, in eaque delubrum,

καὶ πρῶτον μὲν τὴν Κεσσὰν οἰκοδομῆσαι, τό τε ἐπ' αὐτῇ ἱερὸν καθιδρύσασθαι, εἶτα τὸν ἐν Ἡλιουπόλει ναὸν κατασκευάσαι. Τοῦτον δὲ γεννῆσαι θυγατέρα Μέρριν, ἣν Χενεφρῇ τινὶ κατεγγυῆσαι, τῶν ὑπὲρ Μέμφιν τόπων βασιλεύοντι· πολλοὺς γὰρ τότε τῆς Αἰγύπτου βασιλεύειν· ταύτην δὲ στεῖραν ὑπάρχουσαν ὑποβαλέσθαι τινὸς τῶν Ἰουδαίων παιδίον, τοῦτο δὲ Μώυσον ὀνομάσαι· ὑπὸ δὲ τῶν Ἑλλήνων αὐτὸν ἀνδρωθέντα Μουσαῖον προσαγορευθῆναι. Γενέσθαι δὲ τὸν Μώυσον τοῦτον Ὀρφέως διδάσκαλον· ἀνδρωθέντα δ' αὐτὸν πολλὰ τοῖς ἀνθρώποις εὔχρηστα παραδοῦναι· καὶ γὰρ πλοῖα καὶ μηχανὰς πρὸς τὰς λιθοθεσίας καὶ τὰ Αἰγύπτια ὅπλα καὶ τὰ ὄργανα τὰ ὑδρευτικὰ καὶ πολεμικὰ καὶ τὴν φιλοσοφίαν ἐξευρεῖν· ἔτι δὲ τὴν πόλιν εἰς λς' νομοὺς διελεῖν, καὶ ἑκάστῳ τῶν νομῶν ἀποτάξαι τὸν Θεὸν σεφθήσεσθαι, τά τε ἱερὰ γράμματα τοῖς ἱερεῦσιν· εἶναι δὲ καὶ αἰλούρους καὶ κύνας καὶ ἴβεις· ἀπονεῖμαι δὲ καὶ τοῖς ἱερεῦσιν ἐξαίρετον χώραν. Ταῦτα δὲ πάντα ποιῆσαι χάριν τοῦ τὴν μοναρχίαν βεβαίαν τῷ Χενεφρῇ διαφυλάξαι. Πρότερον γὰρ ἀδιατάκτους ὄντας τοὺς ὄχλους ποτὲ μὲν ἐκβάλλειν ποτὲ δὲ καθιστάνειν βασιλεῖς, καὶ πολλάκις μὲν τοὺς αὐτούς, ἐνιάκις δὲ ἄλλους. Διὰ ταῦτα οὖν τὸν Μώυσον ὑπὸ τῶν ὄχλων ἀγαπηθῆναι, καὶ ὑπὸ τῶν ἱερέων ἰσοθέου τιμῆς καταξιωθέντα προσαγορευθῆναι Ἑρμῆν διὰ τὴν τῶν ἱερῶν γραμμάτων ἑρμηνείαν. Τὸν δὲ Χενεφρῆν ὁρῶντα τὴν ἀρετὴν Μωύσου φθονῆσαι αὐτῷ, καὶ ζητεῖν αὐτὸν ἐπ' εὐλόγῳ αἰτίᾳ τινὶ ἀνελεῖν. Καὶ δή ποτε τῶν Αἰθιόπων ἐπιστρατευσαμένων τῇ Αἰγύπτῳ, τὸν Χενεφρῆν ὑπολαβόντα εὑρηκέναι καιρὸν εὔθετον πέμψαι τὸν Μώυσον ἐπ' αὐτοὺς στρατηγὸν μετὰ δυνάμεως, τὸ δὲ τῶν γεωργῶν αὐτῷ συστῆσαι πλῆθος, ὑπολαβόντα ῥᾳδίως αὐτὸν διὰ τὴν τῶν στρατιωτῶν ἀσθένειαν ὑπὸ τῶν πολεμίων ἀναιρεθήσεσθαι. Τὸν δὲ Μώυσον ἐλθόντα ἐπὶ τὸν Ἑρμοπολίτην ὀνομαζόμενον νομόν, ἔχοντα περὶ δέκα μυριάδας γεωργῶν, αὐτοῦ καταστρατοπεδεῦσαι· πέμψαι δὲ στρατηγοὺς τοὺς προκαθεδουμένους τῆς χώρας, οὓς δὴ πλεονεκτεῖν ἐπιφανῶς κατὰ τὰς μάχας· λέγειν δέ φησιν τοὺς Ἡλιουπολίτας γενέσθαι τὸν πόλεμον τοῦτον ἔτη δέκα. Τοὺς οὖν περὶ τὸν Μώυσον διὰ τὸ μέγεθος τῆς στρατιᾶς πόλιν ἐν τούτῳ κτίσαι τῷ τόπῳ, καὶ τὴν ἶβιν ἐν αὐτῇ καθιερῶσαι διὰ τὸ ταύτην τὰ βλάπτοντα ζῷα τοὺς ἀνθρώπους ἀναιρεῖν. Προσαγορεῦσαι δὲ αὐτὴν Ἑρμοῦ πόλιν. Οὕτω δὴ τοὺς Αἰθίοπας, καίπερ ὄντας πολεμίους, στέρξαι τὸν Μώυσον, ὥστε καὶ τὴν περιτομὴν τῶν αἰδοίων παρ' ἐκείνου μαθεῖν· οὐ μόνον δὲ τούτους, ἀλλὰ καὶ τοὺς ἱερεῖς ἅπαντας. Τὸν δὲ Χενεφρῆν, λυθέντος τοῦ πολέμου, λόγῳ μὲν αὐτὸν ἀποδέξασθαι, ἔργῳ δὲ ἐπιβουλεύειν. Παρελόμενον γοῦν αὐτοῦ τοὺς ὄχλους, τοὺς μὲν ἐπὶ τὰ ὅρια τῆς Αἰθιοπίας πέμψαι, προφυλακῆς χάριν· τοῖς δὲ προστάξαι τὸν ἐν Διὸς πόλει ναὸν ἐξ ὀπτῆς πλίνθου κατεσκευασμένον καθαιρεῖν, ἕτερον δὲ λίθινον κατασκευάσαι τὸ πλησίον ὄρος λατομήσαντας· τάξαι δὲ ἐπὶ τῆς οἰκοδομίας ἐπιστάτην Ναχέρωτα. Τὸν δὲ ἐλθόντα μετὰ Μωύσου εἰς Μέμφιν πυθέσθαι παρ' αὐτοῦ, εἴ τι ἄλλο ἐστὶν εὔχρηστον τοῖς ἀνθρώποις· τὸν δὲ φάναι γένος τῶν βοῶν διὰ τὸ τὴν γῆν ὑπὸ τούτων ἀροῦσθαι· τὸν δὲ Χενεφρῆν, προσαγορεύσαντα ταῦρον

mox templum apud Heliopolim excitatum esse. Ab eodem Merrhin filiam susceptam, ac Chenephræ cuidam regioni supra Memphim sitæ imperanti desponsam fuisse. Tum enim plures Ægyptum regulos tenuisse. Hanc porro, sterilis quum esset, Judææ mulieris infantem supposuisse, quem Moysum ipsa primum, deinde vero Græci, quum ad virilem ætatem pervenisset, Musæum nominarint. Atque hunc Orphei magistrum fuisse memorant, ac permulta humano generi utilissima tradidisse. Illi enim et navigiorum et machinarum, quibus adducti sursum lapides inter sese postea coagmententur, et armorum Ægyptiacorum, et instrumentorum partim hauriendæ vel deducendæ aquæ, partim bello necessariorum, ipsiusque adeo philosophiæ inventionem acceptam ferunt. Ad hæc civitatem ab eo in sex et triginta præfecturas divisam, suosque singulis numini colendo ritus assignatos, literasque sacras, puta felium, canum, ibium figuras, sacerdotibus cum singulari ac propria regione attributas esse. Quæ omnia eo consilio perfecerit, ut summum Chenephræ imperium stabiliret, quum nullo distincta ordine multitudo reges antea modo ejiceret, modo crearet, ac sæpe quidem eosdem, interdum etiam alios. Quibus ipse rebus non modo populorum sibi amorem conciliarit, verum etiam parem superis honorem a sacerdotibus, qui Hermen illum, i.e. interpretem, ob sacrarum literarum ἑρμηνείαν sive interpretationem appellarunt, facile impetrarit. At vero Chenephren Moysi virtutibus invidentem, perimendi hominis colorem aliquem honestamque speciem quæsivisse. Itaque quum in Ægyptum armati Æthiopes invasissent, commodam sibi facinoris occasionem esse oblatam ratum, Moysum imperatorem adversus eos cum exercitu ex agricolis maximam partem conflato misisse, quod eum propter militum imbecillitatem ab hoste nullo negotio conficiendum putaret. Moysum autem ad præfecturam quandam, cui Hermopolitæ nomen, quæque colonorum ad centum millia numerabat, profectum castra ibi posuisse, legatorum suorum fortissimis et strenuissimis quibusque præmissis, qui locum ac sedem occuparent. Quod bellum toto decennio gestum esse, ab Heliopolitanis sese accepisse testatur. Porro Moysum copiarum magnitudine instructum, eodem in loco urbem condidisse, Hermopolin nomine, in qua primum ibim, quod noxias hominibus animantes perimat, consecrarit. Æthiopes autem ipsos, tametsi hostes, tam propenso tamen in Moysum animo fuisse, ut ipsius quoque circumcisionis ab eo ritum acciperent. Id quod a sacerdotibus etiam omnibus præstitum fuerit. Ceterum Chenephren, confecto bello, tametsi benevolentiam ore simularet, clam tamen ei insidiari re ipsa perrexisse. Itaque Moysi copias ita distraxisse, ut partim ad Æthiopiæ confinia per causam præsidii ablegaret, partim Diospoleos templum operis latericii diruere, aliudque, lapidibus e vicino monte cæsis, lapideum ædificare juberet. Huic operi Nacherotem quendam ab eo præfectum esse, qui Memphim una cum Moyso profectus, quæsierit ex eo, num quid prætere humano generi commodum utileque nosset. Cui Moses,

Ἆπιν, κελεῦσαι ἱερὸν αὐτοῦ τοὺς ὄχλους καθιδρύσασθαι, καὶ τὰ ζῷα τὰ καθιερωθέντα ὑπὸ τοῦ Μωύσου κελεύειν ἐκεῖ φέροντας θάπτειν, καταχρύπτειν θέλοντα τὰ τοῦ Μωύσου ἐπινοήματα. Ἀποξενωσάντων δὲ αὐτὸν τῶν Αἰγυπτίων, ὁρκωμοτῆσαι τοὺς φίλους μὴ ἐξαγγεῖλαι τῷ Μωύσῳ τὴν ἐπισυνισταμένην αὐτῷ ἐπιβουλὴν, καὶ προβαλέσθαι τοὺς ἀναιρήσοντας αὐτόν. Μηδενὸς δ' ὑπακούσαντος, ὀνειδίσαι τὸν Χενεφρῆν Χανεθώθην, τὸν μάλιστα προσαγορευόμενον ὑπ' αὐτοῦ· τὸν δὲ ὀνειδισθέντα ὑποσχέσθαι τὴν ἐπίθεσιν, λαβόντα καιρόν. Ὑπὸ δὲ τοῦτον τὸν καιρὸν τῆς Μερρίδος τελευτησάσης, ὑποσχέσθαι τὸν Χενεφρῆν τῷ τε Μωύσῳ καὶ τῷ Χανεθώθῃ τὸ σῶμα διακομίσαντας εἰς τοὺς ὑπὲρ Αἴγυπτον τόπους θάψαι, ὑπολαβόντα τὸν Μώυσον ὑπὸ τοῦ Χανεθὼθ ἀναιρεθήσεσθαι. Πορευομένων δὲ αὐτῶν τὴν ἐπιβουλὴν τῷ Μωύσῳ τῶν συνειδότων ἐξαγγεῖλαί τινα· τὸν δὲ φυλάσσοντα αὐτὸν τὴν μὲν Μέρριν θάψαι, τὸν δὲ ποταμὸν καὶ τὴν ἐν ἐκείνῳ πόλιν Μερόην προσαγορεῦσαι. Τιμᾶσθαι δὲ τὴν Μέρριν ταύτην ὑπὸ τῶν ἐγχωρίων οὐκ ἔλαττον ἢ τὴν Ἶσιν. Ἀαρῶνα δὲ τὸν τοῦ Μωύσου ἀδελφὸν τὰ περὶ τὴν ἐπιβουλὴν ἐπιγνόντα, συμβουλεῦσαι τῷ ἀδελφῷ φυγεῖν εἰς τὴν Ἀραβίαν· τὸν δὲ πεισθέντα ἀπὸ Μέμφεως τὸν Νεῖλον διαπλεύσαντα ἀπαλλάσσεσθαι εἰς τὴν Ἀραβίαν. Τὸν δὲ Χανεθώθην πυθόμενον τοῦ Μωύσου τὴν φυγὴν ἐνεδρεύειν ὡς ἀναιρήσοντα· ἰδόντα δὲ ἐρχόμενον σπάσασθαι τὴν μάχαιραν ἐπ' αὐτὸν, τὸν δὲ Μώυσον προκαταταχήσαντα, τήν τε χεῖρα κατασχεῖν αὐτοῦ, καὶ σπασάμενον τὸ ξίφος φονεῦσαι τὸν Χανεθώθην· διεκδρᾶναι δὲ εἰς τὴν Ἀραβίαν, καὶ Ῥαγουήλῳ τῷ τῶν τόπων ἄρχοντι συμβιοῦν, λαβόντα τὴν ἐκείνου θυγατέρα· τὸν δὲ Ῥαγουῆλον βούλεσθαι στρατεύειν ἐπὶ τοὺς Αἰγυπτίους, κατάγειν βουλόμενον τὸν Μώυσον, καὶ τὴν δυναστείαν τῇ τε θυγατρὶ καὶ τῷ γαμβρῷ κατασκευάσαι· τὸν δὲ Μώυσον ἀποκωλῦσαι, στοχαζόμενον τῶν ὁμοφύλων· τὸν δὲ Ῥαγουῆλον διακωλύοντα στρατεύειν τοῖς Ἄραψι προστάξαι λῃστεύειν τὴν Αἴγυπτον. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ τὸν Χενεφρῆν πρῶτον ἁπάντων ἀνθρώπων ἐλεφαντιάσαντα μεταλλάξαι· τούτῳ δὲ τῷ πάθει περιπεσεῖν διὰ τὸ τοὺς Ἰουδαίους προστάξαι σινδόνας ἀμφιέννυσθαι, ἐρεᾶν δ' ἐσθῆτα μὴ ἀμπέχεσθαι, ὅπως ὄντες ἐπίσημοι κολάζωνται ὑπ' αὐτοῦ. Τὸν δὲ Μώυσον εὔχεσθαι τῷ Θεῷ ἤδη ποτὲ τοὺς λαοὺς παῦσαι τῶν κακοπαθειῶν. Ἱλασκομένου δ' αὐτοῦ, αἰφνιδίως φησὶν ἐκ τῆς γῆς πῦρ ἀναφθῆναι, καὶ τοῦτο κάεσθαι, μήτε ὕλης μήτε ἄλλης τινὸς ξυλείας οὔσης ἐν τῷ τόπῳ. Τὸν δὲ Μώυσον δείσαντα τὸ γεγονὸς φεύγειν· φωνὴν δ' αὐτῷ θείαν εἰπεῖν, στρατεύειν ἐπ' Αἴγυπτον, καὶ τοὺς Ἰουδαίους διασώσαντα εἰς τὴν ἀρχαίαν ἀγαγεῖν πατρίδα. Τὸν δὲ θαρρήσαντα δύναμιν πολεμίαν ἐπάγειν διαγνῶναι τοῖς Αἰγυπτίοις. Πρῶτον δὲ πρὸς Ἀαρῶνα τὸν ἀδελφὸν ἐλθεῖν· τὸν δὲ βασιλέα τῶν Αἰγυπτίων πυθόμενον τὴν τοῦ Μωύσου παρουσίαν καλέσαι πρὸς αὐτὸν, καὶ πυνθάνεσθαι ἐφ' ὅ τι ἥκοι· τὸν δὲ φάναι, διότι προστάσσειν αὐτῷ τὸν τῆς οἰκουμένης δεσπότην ἀπολῦσαι τοὺς Ἰουδαίους. Τὸν δὲ πυθόμενον εἰς φυλακὴν αὐτὸν καθεῖρξαι. Νυκτὸς δὲ ἐπιγενομένης, τάς τε θύρας πάσας αὐτομάτως ἀνοιχθῆναι τοῦ δεσμωτηρίου, καὶ τῶν φυλάκων οὓς μὲν τελευτῆσαι, τινὰς δὲ

se vero nosse, boves nimirum, quibus in aranda terra uti liceret. At Chenephren, ubi tauro Apidis nomen indidisset, ei continuo templum a multitudine poni, eodemque translatas animantes a Moyse prius consecratas sepeliri voluisse, uti rerum ab eo institutarum memoriam una sepeliret. Verum abalienatos a se propterea quum Ægyptiorum animos intelligeret, clam jurejurando amicorum suorum fidem obstrinxisse, uti ne quis Moyso paratas insidias aperiret, simulque futuros cædis auctores designasse. Reclamantibus omnibus, Chanethothen, quem ex omnibus præcipuum nominant, acerbius increpasse, qui regis tandem offensione permotus, commodo se tempore facinus obiturum recepe- rit. Ergo quum in eos forte dies Merrhis obitus incidisset, Chenephren transferendi ultra Ægypti fines corporis, ibidemque sepeliendi Moyso et Chanethothæ potestatem fecisse, quum interfectum iri ab isto Moysum putaret. Verum insidiis a conscio quodam in itinere sibi patefactis, Moysum saluti suæ diligentius cavisse : cui post sepultam Merrhin, Meroesque nomen fluvio atque urbi ad fluvium ædificatæ impositum, (quam quidem Merrhin indigenæ haud minori quam Isim ipsam religione venerentur,) Aaron frater, qui et ipse conjurationem resciverat, auctor fuerit ut fugam in Arabiam capesseret. Illum ergo consilium fratris secutum Memphi solvisse, Niloque trajecto in Arabiam contendisse. Chanethothen vero, fuga intellecta, insidias ei tetendisse, quibus exceptum opprimeret; adeoque venienti stricto gladio occurrisse : at Moysum hominem occupasse, nec ejus tantum inhibuisse manum, sed etiam illum educto ense confodisse. E vestigio elapsum in Arabiam, ad Raguelum ejus tum regionis principem adhæsisse, ab eoque filiam in uxorem accepisse. Porro quum in Ægyptios movere Raguelus vehementer optaret, ut Moysum eo deduceret, filiæque simul ac genero imperium assereret : Moysum, quod gentilibus suis metueret, ab ea ipsum mente amovere conatum esse; Raguelum vero, missa expeditione, Arabes jussisse ex Ægypto prædas agere. Interea Chenephren elephantiasi morbo mortalium omnium principem obiisse, quum in eum incidisset, quod Judæos, laneæ vestis usu prohibito, sindones jussisset induere, quo facilius in eos hoc a ceteris cultu distinctos sævire posset. At Moysum gentis suæ miserias apud Deum assidue deprecantem, eodem tempore numen propitium habuisse, ac repente succensum a terra ignem erupisse ait, qui, tametsi locus ab omni ligno aliaque materia igni pascendo apta vacuus esset, ardere tamen non desineret. Quo prodigio Moysum, quum exterritus fugeret, voce divinitus immissa admonitum esse, ut in Ægyptum expeditione suscepta Judæos liberaret, ac pristinam in patriam aliquando reduceret. Itaque confirmato animo bellum Ægyptiis inferre statuisse, sic tamen ut Aaronem fratrem ante omnia conveniret. Cujus adventu nuntiato, Ægyptium regem ex eo, quem ad se confestim evocaverat, quæsivisse, quorsum illuc venisset : ipsum autem, orbis universi moderatoris jussu ac nomine regi nuntiasse, ut Judæos liberos securosque dimitteret.

ὑπὸ τοῦ ὕπνου παρεθῆναι, τά τε ὅπλα κατεαγῆναι. Ἐξελθόντα δὲ τὸν Μώυσον ἐπὶ τὰ βασίλεια ἐλθεῖν· εὑρόντα δὲ ἀνεῳγμένας τὰς θύρας εἰσελθεῖν, καὶ ἐνθάδε τῶν φυλάκων παρειμένων τὸν βασιλέα ἐξεγεῖραι. Τὸν δὲ ἐκπλαγέντα ἐπὶ τῷ γεγονότι κελεῦσαι τῷ Μωύσῳ τὸ τοῦ πέμψαντος αὐτὸν θεοῦ εἰπεῖν ὄνομα, διαχλευάσαντα αὐτόν· τὸν δὲ προσκύψαντα πρὸς τὸ οὖς εἰπεῖν, ἀκούσαντα δὲ τὸν βασιλέα πεσεῖν ἄφωνον, διακρατηθέντα δὲ ὑπὸ τοῦ Μωύσου πάλιν ἀναβιῶσαι· γράψαντα δὲ τοὔνομα εἰς δέλτον κατασφραγίσασθαι· τῶν δὲ ἱερέων τὸν ἐκφαυλίσαντα ἐν τῇ πινακίδι τὰ γεγραμμένα μετὰ σπασμοῦ τὸν βίον ἐκλιμπάνειν· εἰπεῖν δὲ τὸν βασιλέα σημεῖόν τι αὐτῷ ποιῆσαι· τὸν δὲ Μώυσον ἣν εἶχε ῥάβδον ἐκβαλόντα ὄφιν ποιῆσαι· πτοηθέντων δὲ πάντων, ἐπιλαβόμενον τῆς οὐρᾶς ἀνελέσθαι, καὶ πάλιν ῥάβδον ποιῆσαι. Προελθόντα δὲ μικρὸν, τὸν Νεῖλον τῇ ῥάβδῳ πατάξαι· τὸν δὲ ποταμὸν πολύχουν γενόμενον κατακλύζειν ὅλην τὴν Αἴγυπτον· ἀπὸ τότε δὲ καὶ τὴν κατάβασιν αὐτοῦ γίνεσθαι· συναγαγὸν δὲ τὸ ὕδωρ ἀποζέσαι, καὶ τὰ ποτάμια διαφθεῖραι ζῷα, τούς τε λαοὺς διὰ τὴν δίψαν φθείρεσθαι. Τὸν δὲ βασιλέα, τούτων γενομένων τῶν τεράτων, φάναι μετὰ μῆνα τοὺς λαοὺς ἀπολύσειν, ἐὰν ἀποκαταστήσῃ τὸν ποταμόν· τὸν δὲ Μώυσον πάλιν τῇ ῥάβδῳ πατάξαντα τὸ ὕδωρ συστεῖλαι τὸ ῥεῦμα. Τούτου δὲ γενομένου, τὸν βασιλέα τοὺς ἱερεῖς τοὺς ὑπὲρ Μέμφιν καλέσαι, καὶ φάναι αὐτοὺς ἀναιρήσειν καὶ τὰ ἱερὰ κατασκάψειν, ἐὰν μὴ καὶ αὐτοὶ τερατουργήσωσί τι. Τοὺς δὲ τότε διά τινων μαγγάνων καὶ ἐπαοιδῶν δράκοντα ποιῆσαι, καὶ τὸν ποταμὸν μεταχρῶσαι. Τὸν δὲ βασιλέα φρονηματισθέντα ἐπὶ τῷ γεγονότι, πάσῃ τιμωρίᾳ καὶ κολάσει καταικίζειν τοὺς Ἰουδαίους. Τὸν δὲ Μώυσον ταῦτα ὁρῶντα ἄλλα τε σημεῖα ποιῆσαι καὶ πατάξαντα τὴν γῆν τῇ ῥάβδῳ ζῷόν τι πτηνὸν ἀνεῖναι λυμαίνεσθαι τοὺς Αἰγυπτίους, πάντα τε ἐξελκωθῆναι τὰ σώματα. Τῶν δὲ ἰατρῶν μὴ δυναμένων ἰᾶσθαι τοὺς κάμνοντας, οὕτως πάλιν ἀνέσεως τυχεῖν τοὺς Ἰουδαίους. Πάλιν δὲ τὸν Μώυσον βάτραχον διὰ τῆς ῥάβδου ἀνεῖναι, πρὸς δὲ τούτοις ἀκρίδας καὶ σκνῖφας. Διὰ τοῦτο δὲ καὶ τοὺς Αἰγυπτίους τὴν ῥάβδον ἀνατιθέναι εἰς πᾶν ἱερὸν, ὁμοίως δὲ καὶ τῇ Ἴσιδι, διὰ τὸ τὴν γῆν εἶναι Ἶσιν, παιομένην δὲ τῇ ῥάβδῳ τὰ τέρατα ἀνεῖναι. Τοῦ δὲ βασιλέως ἔτι ἀφρονουμένου, τὸν Μώυσον χάλαζάν τε καὶ σεισμοὺς διὰ νυκτὸς ἀποτελέσαι, ὥστε τοὺς τὸν σεισμὸν φεύγοντας ἀπὸ τῆς χαλάζης ἀναιρεῖσθαι, τούς τε τὴν χάλαζαν ἐκκλίνοντας ὑπὸ τῶν σεισμῶν διαφθείρεσθαι. Συμπεσεῖν δὲ τότε τὰς μὲν οἰκίας πάσας, τῶν δὲ ναῶν τοὺς πλείστους. Τελευταῖον τοσαύταις συμφοραῖς περιπεσόντα τὸν βασιλέα τοὺς Ἰουδαίους ἀπολῦσαι· τοὺς δὲ χρησαμένους παρὰ τῶν Αἰγυπτίων πολλὰ μὲν ἐκπώματα, οὐκ ὀλίγον δὲ ἱματισμὸν, ἄλλην τε παμπληθῆ γάζαν, διαβάντας ἱκανὸν τόπον ἐπὶ τὴν Ἐρυθρὰν τριταίους ἐλθεῖν θάλασσαν. Μεμφίτας μὲν οὖν λέγειν, ἔμπειρον ὄντα τὸν Μώυσον τῆς χώρας τὴν ἄμπωτιν τηρήσαντα διὰ ξηρᾶς τῆς θαλάσσης τὸ πλῆθος περαιῶ-

---

Quam ob rem quum in carcerem ab eo conjectus esset, noctu omnes portas carceris sponte patuisse, custodesque partim repentino sublatos interitu, partim alto somno solutos fractis passim armis jacuisse. Moysum e vestigio sese in regiam, patefactis etiam ultro januis, intulisse, ac præsidiariis militibus profundo quoque somno sepultis, regem excitasse: qui facti novitatem primum quidem obstupuerit, mox tamen, quasi ludos Moysum faceret, Dei, a quo missus esset, nomen aperire jusserit. Quod ubi Moysus in aurem insinuasset, regem illico mutum concidisse, donec ab eodem arreptus sibi ac vitæ redderetur. Et illum quidem indicatum nomen tabellis inscripsisse, quas postmodum obsignarit: quendam vero sacerdotem, qui scripti nominis majestatem elevaret, repentino spasmo correptum periisse. Præterea quum rex a Moyso prodigium aliquod expeteret, eum quam manu virgam tenebat in serpentem subito convertisse; omnibusque stupentibus, arrepta cauda priorem ei rursus virgæ formam reddidisse. Paullo post Nilum eadem virga percussum, intumescentibus undis Ægyptum universam proluisse; ex eoque tempore statis deinceps vicibus in agros sese Nilum effudisse. Mox collectas et stagnantes passim aquas efferbuisse, nec piscibus modo interitum, sed exitialem hominibus sitim attulisse. Itaque regem tot prodigiis territum, sese post mensem Judæos dimissurum spopondisse, si pristinus flumini status a Moyso redderetur. Illum aqua denuo virga tetigisse, eodemque momento insolentem ejus impetum cohibuisse. Hic vero regem, evocatis qui trans Memphim habitant sacerdotibus necem omnibus interminatum, nisi similia ipsi quoque prodigia ostenderent. Eos præstigiis et incantationibus quibusdam repente draconis speciem objecisse ac fluminis colorem immutasse; quo facto elatiorem ac tumidiorem quam antea regem, omni poenarum ac suppliciorum genere postmodum Judæos vexasse. Quod ubi Moysus videret, quum alia pleraque ab eo miracula edita esse, tum ex terra quam virga percusserat, genus quoddam alati animantis exstitisse, quod Ægyptios pessime vexaret, omniumque corporibus fœdum morsibus punctionibusque suis vulnus inureret. Cui morbo quum nullum medici remedium invenirent, Judæos aliquantulum denuo respirasse, Moysum vero ejusdem virgæ contactu ranas præterea, locustas ac culices excitasse: quæ quidem in causa fuerint, quamobrem singulis in templis virgam Ægyptii consecrarint, eademque omnino qua ipsam et Isim religione voluerint: Isim quippe terram esse rati, quæ virga percussa tot miraculorum formas exclusisset. At furente nihilominus rege, Moysum ad grandinis calamitatem nocturnos terræ motus addidisse, ut qui se motui subducere conarentur, grandine afflicti et contusi perirent; qui autem grandinis impetum declinarent, terræ quassatione interirent. Ac domos quidem universas fanaque tum plurima corruisse, regem vero tot malis cladibusque fractum, Judæos, sero licet, aliquando tamen dimisisse. Qui multis ab Ægyptiorum poculis tum vestibus corrogatis, aliaque multiplici gaza, magno confecto itinere ad mare Rubrum tertio denique die pervenerint. Atque a Memphitis quidem ita narrari, Moysum totius regionis scientissimum, observato reciprocantis æstus tempore, sicco mari universam multitudinem transmisisse: ab Heliopolitanis vero secus;

σαι· Ἡλιουπολίτας δὲ λέγειν, ἐπικαταδραμεῖν τὸν βασιλέα μετὰ πολλῆς δυνάμεως ἅμα καὶ τοῖς καθιερωμένοις ζῴοις, διὰ τὸ τὴν ὕπαρξιν τοὺς Ἰουδαίους τῶν Αἰγυπτίων χρησαμένους διακομίζειν. Τῷ δὲ Μωύσῳ θείαν φωνὴν γενέσθαι, πατάξαι τὴν θάλασσαν τῇ ῥάβδῳ καὶ διαστῆναι· τὸν δὲ Μώυσον ἀκούσαντα, ἐπιθιγεῖν τῇ ῥάβδῳ τοῦ ὕδατος, καὶ οὕτω τὸ μὲν νᾶμα διαστῆναι, τὴν δὲ δύναμιν διὰ ξηρᾶς ὁδοῦ πορεύεσθαι. Συνεμβάντων δὲ τῶν Αἰγυπτίων καὶ διωκόντων, φησὶ πῦρ αὐτοῖς ἐκ τῶν ἔμπροσθεν ἐκλάμψαι, τὴν δὲ θάλασσαν πάλιν τὴν ὁδὸν ἐπικλύσαι· τοὺς δὲ Αἰγυπτίους ὑπό τε τοῦ πυρὸς καὶ τῆς πλημμυρίδος πάντας διαφθαρῆναι· τοὺς δὲ Ἰουδαίους διαφυγόντας τὸν κίνδυνον τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ διατρῖψαι, βρέχοντος αὐτοῖς τοῦ Θεοῦ κρῖμνον, ὅμοιον ἐλύμῳ, χιόνι παραπλήσιον τὴν χρόαν. Γεγονέναι δέ φησι τὸν Μώυσον μακρὸν, πυρρακῆ, πολιὸν, κομήτην, ἀξιωματικόν. Ταῦτα δὲ πρᾶξαι περὶ ἔτη ὄντα ὀγδοήκοντα ἐννέα. »

Quæ de Mose h. l. narrantur, eadem ex Artapano paucis memorant Clemens Alex. Strom. I, p. 149, 1 Sylb., Chron. Paschale p. 64, et Chron. in Crameri Anecdot. Parisin. II, p. 176.

15.

Sequitur apud Euseb. c. 28 de Mose narratio ex EZECHIELIS tragœdia, quæ Ἐξαγωγὴ, *Judæorum exitus*, inscribitur, deprompta. Quam quum Dübnerus meus ediderit ad calcem voluminis, quod Euripidis et reliquorum tragicorum fragmenta continet, denuo eam h. l. exhibere supersedeo.

16.

ΔΗΜΗΤΡΙΟΥ

περὶ Μωσέως.

Cap. 29 : Δημήτριος δὲ περὶ τῆς ἀναιρέσεως τοῦ Αἰγυπτίου καὶ τῆς διαφορᾶς τῆς πρὸς τὸν μηνύσαντα τὸν τελευτήσαντα, ὁμοίως τῷ τὴν ἱερὰν βίβλον γράψαντι ἱστόρησε· φυγεῖν μέντοι γε τὸν Μωσῆν εἰς Μαδιὰμ, καὶ συνοικῆσαι ἐκεῖ τῇ Ἰοθὸρ θυγατρὶ Σεπφώρᾳ, ἣν εἶναι, ὅσα στοιχάζεσθαι ἀπὸ τῶν ὀνομάτων, τῶν γενομένων ἐκ Χεττούρας, τοῦ Ἀβραὰμ γένους, ἐκ τοῦ Ἰεζὰν τοῦ γενομένου Ἀβραὰμ ἐκ Χεττούρας· ἐκ δὲ τοῦ Ἰεζὰν γενέσθαι Δαδάν· ἐκ δὲ τοῦ Δαδὰν Ῥαγουήλ· ἐκ δὲ τοῦ Ῥαγουὴλ Ἰοθὸρ καὶ Ἀβάβ (καὶ Ἰοβάβ in Cram. An. Par. II, p. 256, ubi eadem)· ἐκ δὲ τοῦ Ἰοθὸρ Σεπφώραν, ἣν γῆμαι Μωσῆν. Καὶ τὰς γενεὰς δὲ συμφωνεῖν· τὸν γὰρ Μωσῆν εἶναι ἀπὸ Ἀβραὰμ ἕβδομον, τὴν δὲ Σεπφώραν ἕκτην. Συνοικοῦντος γὰρ ἤδη τοῦ Ἰσαὰκ, ἀφ' οὗ Μωσῆν εἶναι, γῆμαι Ἀβραὰμ τὴν Χεττούραν ὄντα ἐτῶν ρμʹ, καὶ γεννῆσαι Ἰσαὰρ ἐξ αὐτῆς δεύτερον· τὸν δὲ Ἰσαὰκ ὄντα ἐτῶν ἑκατὸν γεννῆσαι. Ὥστε μβʹ ἐτῶν ὕστερον γεγονέναι τὸν Ἰσαὰρ ἀφ' οὗ τὴν Σεπφώραν γεγενεαλογῆσθαι. Οὐδὲν οὖν ἀντιπίπτει τὸν Μωσῆν καὶ τὴν Σεπφώραν κατὰ τοὺς αὐτοὺς γεγονέναι χρόνους. Κατοικεῖν δ' αὐτοὺς Μαδιὰμ πόλιν, ἣν ἀπὸ ἑνὸς τῶν Ἀβραὰμ παίδων ὀνομασθῆναι. Φησὶ γὰρ τὸν Ἀβραὰμ τοὺς παῖδας πρὸς ἀνατολὰς ἐπὶ κατοικίαν πέμψαι· διὰ τοῦτο δὲ καὶ Ἀαρὼν καὶ Μαριὰμ εἰπεῖν ἐν Ἀσηρὼθ Μωσῆν Αἰθιοπίδα γῆμαι γυναῖκα.

---

quippe regem abeuntes Judæos, quæque ab Ægyptiis mutuo acceperant auferentes, ingenti exercitu cum animantibus consecratis persecutum esse. At Moysum uti mare virga percuteret, divinitus admonitum, aquam virga tetigisse, ac discedentibus illico fluctibus, copias sicco tramite deduxisse. Eandem porro viam tentantibus ac fugientium terga prementibus Ægyptiis, quum adversum repente ignem coruscasse, tum ipsum quoque mare patentem semitam refluentibus undis obruisse, itaque partim igni partim æstu maritimo Ægyptios ad unum omnes periisse. Judæos vero ab imminenti periculo liberatos, per solitudinem annos quadraginta continenter vagatos esse, ac farina, quam cœlitus iis Deus pluerit, panicum figura, candore nivem referente, vitam sustentasse. Ceterum idem Moysum statura prociorem, colore subrufum, promissa cæsarie canum, totoque corpore augustiorem fuisse, hæcque omnia circa annum ætatis nonum et octogesimum perfecisse tradit. »

16.

E DEMETRIO

de eodem.

Demetrius autem et hominis Ægyptii cædem et susceptæ a Mose cum eo, a quo facti suggillatus est, altercationis exitum eundem in modum quo Sacra historia commemorat. Quippe Mosem quum se ad Madianitas fuga recepisset, Jothoris filiam uxorem duxisse, nomine Sepphoram, quo ex nomine eam ex Chetturæ nepotibus et Abrahami genere satam esse conjiciat : Abrahamum enim Jezanem ex Chettura suscepisse, ab Jezane vero Dadanem, ab hoc Raguelem, a Raguele Jothorem atque Ababum procreatos esse; postremo Jothoris filiam Sepphoram hanc exstitisse, quam secum matrimonio Moses copularit. Et vero ætatum seriem haud inepte huic suspicioni quadrare. Nam Mosem quidem septimam, Sepphoram vero sextam post Abrahamum numerari. Isaaco enim, ex quo Moses originem duxerit, jam secum habitante, Abrahamum annos natum quadraginta supra centum Chetturam duxisse, et Isaarum ex ea secundo loco suscepisse, quum Isaacum anno centesimo genuisset, sicque annis circiter duobus et quadraginta serius Isaarum illum esse natum, cujus ex stirpe Sepphora prodiisset. Causæ igitur nihil esse, quamobrem Moses et Sepphora eodem tempore vivere non potuerint. Ceterum eos Madiam urbem incoluisse, quæ ab uno ex Abrahami liberis nomen acceperit. Liberos enim suos orientem versus domicilii quærendi causa Abrahamum dimisisse, ac propterea Mosi deinceps ad Aserothem exprobratum ab Aarone ac Maria fuisse, quod Æthiopissam mulierem uxorem duxisset.

17.

Sequitur ap. Euseb. c. 29 alterum fragmentum peramplum ex Ezechielis Ἐξαγωγῇ petitum. Vide fr. 15.

18.

ΕΥΠΟΛΕΜΟΥ,

περὶ Δαβὶδ καὶ Σολομῶνος.

Cap. 30 : Εὐπόλεμος δέ φησιν ἔν τινι περὶ τῆς Ἠλίου προφητείας, Μωσῆν προφητεῦσαι ἔτη μ'· εἶτα Ἰησοῦν τὸν τοῦ Ναυῆ υἱὸν ἔτη λ', βιῶσαι δ' αὐτὸν ἔτη ρι', πῆξαί τε τὴν ἱερὰν σκηνὴν ἐν Σηλοῖ. Μετὰ δὲ ταῦτα προφήτην γενέσθαι Σαμουήλ. Εἶτα δὲ τοῦ Θεοῦ βουλήσει ὑπὸ Σαμουὴλ Σαοῦλον βασιλέα αἱρεθῆναι, ἄρξαντα δὲ ἔτη κα' τελευτῆσαι. Εἶτα Δαβὶδ τὸν τούτου υἱὸν δυναστεῦσαι, ὃν καταστρέψασθαι Σύρους τοὺς παρὰ τὸν Εὐφράτην οἰκοῦντας ποταμὸν, καὶ τὴν Κομμαγηνὴν, καὶ τοὺς ἐν Γαλαδηνῇ Ἀσσυρίους καὶ Φοίνικας. Στρατεῦσαι δ' αὐτὸν καὶ ἐπὶ Ἰδουμαίους καὶ Ἀμμανίτας καὶ Μωαβίτας καὶ Ἰτουραίους καὶ Ναβαταίους καὶ Ναβδαίους, αὖθις δὲ ἐπιστρατεῦσαι ἐπὶ Σούρωνα βασιλέα Τύρου καὶ Φοινίκης, οὓς καὶ ἀναγκάσαι φόρους Ἰουδαίοις ὑποτελεῖν· πρός τε Οὐαφρῆν τὸν Αἰγυπτίων βασιλέα φιλίαν συνθέσθαι. Βουλόμενόν τε Δαβὶδ οἰκοδομῆσαι ἱερὸν τῷ Θεῷ, ἀξιοῦν τὸν Θεὸν τόπον αὐτῷ δεῖξαι τοῦ θυσιαστηρίου· ἔνθα δὴ ἄγγελον αὐτῷ ὀφθῆναι ἑστῶτα ἐπάνω τοῦ τόπου, οὗ τὸν βωμὸν ἱδρῦσθαι ἐν Ἱεροσολύμοις, καὶ κελεύειν αὐτὸν μὴ ἱδρῦσθαι τὸ ἱερὸν διὰ τὸ αἵματι ἀνθρωπίνῳ πεφῦρθαι καὶ πολλὰ ἔτη πεπολεμηκέναι. Εἶναι δ' αὐτῷ ὄνομα Διαναδάν· προστάξαι δὲ αὐτῷ τοῦτον, ὅπως τῷ υἱῷ ἐπιτρέψῃ τὴν οἰκοδομίαν· αὐτὸν δὲ εὐτρεπίζειν τὰ πρὸς τὴν κατασκευὴν ἀνήκοντα, ἀργύριον, χαλκὸν, λίθους, ξύλα κυπαρίσσινα καὶ κέδρινα. Ἀκούσαντα δὲ τὸν Δαβὶδ πλοῖα ναυπηγήσασθαι ἐν Αἰλάνοις πόλει τῆς Ἀραβίας, καὶ πέμψαι μεταλλευτὰς εἰς τὴν Οὐρφῆ νῆσον, κειμένην ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, μέταλλα χρυσικὰ ἔχουσαν· καὶ τὸ χρυσίον ἐκεῖθεν μετακομίσαι τοὺς μεταλλευτὰς εἰς τὴν Ἰουδαίαν. Βασιλεύσαντα δὲ τὸν Δαβὶδ ἔτη μ' Σαλομῶνι τῷ υἱῷ τὴν ἀρχὴν παραδοῦναι, ὄντι ἐτῶν ιβ', ἐνώπιον Ἠλεὶ τοῦ ἀρχιερέως καὶ τῶν ιβ' φυλάρχων, καὶ παραδοῦναι αὐτῷ τόν τε χρυσὸν καὶ ἄργυρον καὶ χαλκὸν καὶ λίθον καὶ ξύλα κυπαρίσσινα καὶ κέδρινα. Καὶ αὐτὸν μὲν τελευτῆσαι, Σαλομῶνα δὲ βασιλεύειν, καὶ γράψαι πρὸς Οὐαφρῆν τὸν Αἰγύπτου βασιλέα τὴν ὑπογεγραμμένην ἐπιστολήν.

Cap. 31 : Βασιλεὺς Σαλομῶν Οὐαφρῇ βασιλεῖ Αἰγύπτου φίλῳ πατρικῷ χαίρειν.

Γίνωσκέ με παρειληφότα τὴν βασιλείαν παρὰ Δαβὶδ τοῦ πατρὸς διὰ τοῦ Θεοῦ τοῦ μεγίστου, καὶ ἐπιτεταχότος μοι οἰκοδομῆσαι ἱερὸν τῷ Θεῷ, ὃς τὸν οὐρανὸν καὶ τὴν γῆν ἔκτισεν· ἅμα δέ σοι γράψαι, ἀποστεῖλαί μοι τῶν παρά σου λαῶν, οἳ παραστήσονταί μοι μέχρι τοῦ ἐπιτελέσαι πάντα κατὰ τὴν χρείαν, καθότι ἐπιτέτακται.

Cap. 32 : Βασιλεὺς Οὐαφρῆς Σαλομῶνι βασιλεῖ μεγάλῳ χαίρειν.

Ἅμα τῷ ἀναγνῶναι τὴν παρά σου ἐπιστολὴν σφόδρα ἐχάρην, καὶ λαμπρὰν ἡμέραν ἤγαγον ἐγώ τε καὶ ἡ δύναμίς μου πᾶσα ἐπὶ τῷ παρειληφέναι σε τὴν βασιλείαν

18.

EX EUPOLEMO

de Davide, Salomone et Hierosolymis.

Eupolemus, in libro ubi de Eliæ prophetia agit, auctor est Mosem annos quadraginta prophetæ munus obiisse, cui Jesus Nauæ filius successerit, eodem annos triginta perfunctus, vita ad annum decimum supra centesimum propagata. Ab hoc sacrum præterea tabernaculum in Silo fixum esse. Postea Samuelem prophetam exstitisse, ab eoque postmodum Saulem regem Dei jussu creatum fuisse, qui circa annum regni vicesimum primum obierit. Eidem vero Davidem ipsius filium successisse, qui Syros ad Euphratem incolentes et Commagenen cum iis qui Galadenen tenebant Assyriis ac Phœnicibus debellarit. Eundem adversus Idumæos, Ammanitas, Moabitas, Ituræos, Nabatæos et Nabdæos, itemque contra Suronem Tyri Phœniciæque regem movisse, quos ille omnes Judæis in posterum tributa pendere coegerit. At cum Uaphre Ægyptiorum rege fœdus percussisse. Porro quum Deo templum excitare percuperet, vehementius a Deo contendisse, uti sibi statuendo altari locum indicaret : simulque repente oblatum ei angelum esse, qui supra locum eum, ubi Hierosolymæ ara posita est, consisteret; a quo tamen ejusmodi templum ædificari prohibitus fuerit, quod sese humano sanguine polluisset, annosque plurimos bello gerendo occupatus fuisset. Angeli nomen Dianadanum esse refert, jussumque ab eo Davidem, relicta filio ædificationis moliendæ cura, quæ futuri operis substructio postularet, aurum, argentum, æs, lapides, ligna, tam cupressina quam cedrina, diligenter ante comparare. Ergo Davidem, his auditis navibusque apud Ailana Arabiæ civitatem ædificatis, effodiendi metalli artifices in Urphen, Rubri maris insulam auri fodinis abundantem, misisse, qui auri plurimum in Judæam inde retulerint. Davidem autem postquam annos quadraginta regnasset, imperium Salomoni filio annos duodecim nato, coram Helio sacerdotum principe ac tribunis duodecim, cum auro, argento, ære, lapidibus lignisque omnibus cupressinis ac cedrinis tradidisse. Salomonem vero quum defuncto patre regnum capessisset, ad Uaphrem Ægypti regem eam quæ sequitur epistolam scripsisse.

Salomon rex Uaphræ Ægypti regi, amico paterno, salutem.

Noveris me summi numinis beneficio regnum a Davide patre accepisse, a quo templum Deo cœli terrarumque molitori ædificare jussus fuerim, simulque abs te literis petere, ut ad me ex regni tui hominibus fabrisque mittas, qui suam

παρὰ χρηστοῦ ἀνδρὸς καὶ δεδοκιμασμένου ὑπὸ τηλικούτου θεοῦ. Περὶ δὲ ὧν γράφεις μοι περὶ τῶν κατὰ τοὺς λαοὺς τοὺς παρ' ἡμῖν, ἀπέσταλκά σοι μυριάδας ὀκτὼ, ὧν καὶ τὰ πλήθη, ἐξ ὧν εἰσὶ, διασεσάφηκά σοι. Ἐκ μὲν τοῦ Σεβριθίτου νομοῦ, μυρίους· ἐκ δὲ τοῦ Μενδησίου καὶ Σεβεννύτου, δισμυρίους· [ἐκ δὲ τοῦ] Βουσιρίτου, Λεοντοπολίτου καὶ Βαθριθίτου (Ἀθριβίτου Holsten. ad St. B. p. 12), ἀνὰ μυρίους. Φρόντισον δὲ καὶ τὰ δέοντα αὐτοῖς καὶ τὰ ἄλλα, ὅπως εὐτακτῇ, καὶ ἵνα ἀποκατασταθῶσιν εἰς τὴν ἰδίαν, ὡς ἂν ἀπὸ τῆς χρείας γενομένης (sic). Eadem tangit Chronic. Alexandrin. p. 214.

Cap. 33: Βασιλεὺς Σαλομῶν Σούρωνι τῷ βασιλεῖ Τύρου καὶ Σιδῶνος καὶ Φοινίκης, φίλῳ πατρικῷ, χαίρειν.

Γίνωσκέ με παρειληφότα τὴν βασιλείαν παρὰ Δαβὶδ τοῦ πατρὸς διὰ τοῦ Θεοῦ τοῦ μεγίστου, ἐπιτεταχότος μοι οἰκοδομῆσαι ἱερὸν τῷ Θεῷ, ὃς τὸν οὐρανὸν καὶ τὴν γῆν ἔκτισεν· ἅμα δὲ καί σοι γράψαι, ἀποστεῖλαί μοι τῶν παρά σου λαῶν, οἳ συμπαραστήσονται ἡμῖν μέχρι τοῦ ἐπιτελέσαι τὴν τοῦ Θεοῦ χρείαν, καθότι μοι ἐπιτέτακται. Γέγραφα δὲ καὶ εἰς τὴν Γαλιλαίαν καὶ Σαμαρεῖτιν καὶ Μωαβῖτιν καὶ Ἀμμανῖτιν καὶ Γαλαδῖτιν χορηγεῖσθαι αὐτοῖς τὰ δέοντα ἐκ τῆς χώρας κατὰ μῆνα, κόρους σίτου μυρίους· ὁ δὲ κόρος ἐστὶν ἀρταβῶν ἕξ· καὶ οἴνου κόρους μυρίους· ὁ δὲ κόρος τοῦ οἴνου ἐστὶ μέτρα δέκα. Τὸ δὲ ἔλαιον καὶ τὰ ἄλλα χορηγηθήσεται αὐτοῖς ἐκ τῆς Ἰουδαίας, ἱερεῖα δὲ εἰς κρεοφαγίαν ἐκ τῆς Ἀραβίας.

Cap. 34: Σούρων Σαλομῶνι βασιλεῖ μεγάλῳ χαίρειν.

Εὐλογητὸς ὁ Θεὸς, ὃς τὸν οὐρανὸν καὶ τὴν γῆν ἔκτισεν, ὃς εἵλετο ἄνθρωπον χρηστὸν ἐκ χρηστοῦ ἀνδρός. Ἅμα τῷ ἀναγνῶναι τὴν παρά σου ἐπιστολὴν σφόδρα ἐχάρην, καὶ εὐλόγησα τὸν Θεὸν ἐπὶ τῷ παρειληφέναι σε τὴν βασιλείαν. Περὶ δὲ ὧν γράφεις μοι περὶ τῶν κατὰ τοὺς λαοὺς τοὺς παρ' ἡμῖν, ἀπέσταλκά σοι Τυρίων καὶ Φοινίκων ὀκτακισμυρίους, καὶ ἀρχιτέκτονά σοι ἀπέσταλκα ἄνθρωπον Τύριον, ἐκ μητρὸς Ἰουδαίας ἐκ τῆς φυλῆς τῆς Δαβίδ. Ὑπὲρ ὧν ἂν αὐτὸν ἐρωτήσῃς τῶν ὑπὸ τὸν οὐρανὸν πάντων [τῶν κατὰ] ἀρχιτεκτονίαν, ὑφηγήσεταί σοι καὶ ποιήσει. Περὶ δὲ τῶν δεόντων καὶ ἀποστελλομένων σοι παίδων καλῶς ποιήσεις ἐπιστείλας τοῖς κατὰ τόπον ἐπάρχοις, ὅπως χορηγῆται τὰ δέοντα. (Harum epistolarum ex Alexandro Polyhistore obiter meminit etiam Clem. Alex. p. 143,45 Sylb.)

Διελθὼν δὲ Σαλομῶν, ἔχων τοὺς πατρικοὺς φίλους, ἐπὶ τὸ ὄρος τοῦ Λιβάνου, μετὰ τῶν Σιδωνίων καὶ Τυρίων, μετήνεγκε τὰ ξύλα τὰ προκεκομμένα ὑπὸ τοῦ πατρὸς αὐτοῦ διὰ τῆς θαλάττης εἰς Ἰόππην, ἐκεῖθεν δὲ πεζῇ εἰς Ἱεροσόλυμα. Καὶ ἄρξασθαι οἰκοδομεῖν τὸ ἱερὸν τοῦ Θεοῦ, ὄντα ἐτῶν ιγ'· ἐργάζεσθαι δὲ τὰ ἔθνη τὰ προειρημένα καὶ φυλὰς ιβ' τῶν Ἰουδαίων, καὶ παρέχειν ταῖς ἑκκαίδεκα μυριάσι τὰ δέοντα πάντα κατὰ μῆνα φυλὴν μίαν, θεμελιῶσαί τε τὸν ναὸν τοῦ Θεοῦ, μῆκος πηχῶν ξ', πλάτος πηχῶν ξ', τὸ δὲ πλάτος τῆς οἰκοδομῆς καὶ τῶν θεμελίων, πηχῶν ι'· οὕτω γὰρ αὐτῷ

---

mihi operam navent, donec, uti par est, cuncta, prout jussus ego sum, accurate perfecero.

Uaphres rex Salomoni regi magno salutem.

Literas tuas simulatque perlegi, quum ingentem animo cepi lætitiam, tum genialem cum universo exercitu populoque meo diem egi, quod a viro optimo tantoque numini probatissimo regnum acceperis. Quod autem a nobis homines fabrosque postulas, eorum octoginta ad te millia misi, quorum etiam natale tibi solum indicare juvat. E Sebrithide præfectura decem millia, ex Mendesia et Sebennytide viginti millia, e Busiritide, Leontopolitide et Athribitide circiter triginta millia numerantur. Superest ut iis quæcunque opus fuerint, abunde suppeditari cures, partim ne quid inter eos turbarum excitetur, partim ut ædificatione perfecta, salvi ad suos incolumesque revertantur.

Salomon rex Suroni Tyri, Sidonis ac Phœniciæ regi, amico paterno, salutem.

Noveris me summi numinis beneficio regnum a Davide patre accepisse, a quo templum Deo cœli terrarumque molitori ædificare jussus fuerim, simulque abs te per literas petere, ut ad me ex regni tui hominibus fabrisque mittas, qui suam nobis operam navent, donec divinum illud opus, prout jussus sum, accurate perfecero. Ceterum in Galilæam, Samariam, Moabitidem, Amanitidem et Galaditidem scripsi, ut ex regionibus illis quæcunque opus fuerint, iis affatim suppetant; nempe in singulos menses, cororum tritici decem millia, qui singuli attabas sex continent; itemque cororum vini decem millia, qui singuli metra decem efficiunt, oleum autem et cetera ex Judæa, hostias vero, quarum carnibus vescantur, ex Arabia suppeditari jussi.

Suron Salomoni regi magno salutem.

Benedictus Deus, terræ ac cœli conditor, qui virum optimum ac parentis optimi filium elegerit. Literas tuas simulatque perlegi, summam animo voluptatem cepi, Deoque gratias egi, quod regnum capessisses. Quod autem a nobis homines operasque postulas, Tyriorum ac Phœnicum octoginta millia ad te misi, et inter ceteros architectum, patria Tyrium, sed matre Judæa eademque ex Davidis tribu natum, qui tibi quæcunque ex eo quæsieris, quæ cœli hujus ambitu continentur, si modo ad architecturam pertinent, ea scienter edisseret omnia facileque perficiet. Quod superest, partium tuarum erit, ad locorum præfectos scribere, ut huic tantæ hominum multitudini quæcunque necessaria fuerint, diligenter et abundanter provideant.

Salomon igitur, his lectis, paternorum amicorum auxilio fretus et Tyriorum et Sidoniorum manu stipatus, lustrato monte Libano, quidquid lignorum a parente cæsum olim fuerat, per mare Joppen usque transvexit, indeque pedestri ductu Hierosolyma comportavit. Protinus ad templi Deo voti se ædificationem accingit, anno ætatis decimo tertio. Quod in opus dum universa illa diversorum populorum mul-

προστάξαι Νάθαν τὸν προφήτην τοῦ Θεοῦ. Οἰκοδομεῖν δὲ ἐναλλὰξ δόμον λίθινον καὶ ἔνδεσμον κυπαρίσσινον, πελεκίνοις χαλκοῖς ταλαντιαίοις καταλαμβάνοντας τοὺς β' δόμους. Οὕτω δ' αὐτὸν οἰκοδομήσαντα ξυλῶσαι ἔξωθεν κεδρίνοις ξύλοις καὶ κυπαρισσίνοις, ὥστε τὴν λιθίνην οἰκοδομὴν μὴ φαίνεσθαι· χρυσῶσαί τε τὸν ναὸν ἔσωθεν χωννύντα πλινθία χρυσᾶ πενταπήχη, καὶ προστιθέναι προσηλοῦντα ἥλοις ἀργυροῖς, ταλαντιαίοις τὴν ὁλκὴν, μαστοειδέσι τὸν ῥυθμὸν, τέτταρσι δὲ τὸν ἀριθμόν. Οὕτω δ' αὐτὸν χρυσῶσαι ἀπὸ ἐδάφους ἕως τῆς ὀροφῆς, τό τε ὀρόφωμα ποιῆσαι ἐκ φατνωμάτων χρυσῶν, τὸ δὲ δῶμα ποιῆσαι χαλκοῦν ἀπὸ κεραμίδων χαλκῶν, χαλκὸν χωνεύσαντα, καὶ τοῦτον καταχέαντα. Ποιῆσαι δὲ δύο στύλους χαλκοῦς, καὶ καταχρυσῶσαι αὐτοὺς χρυσίῳ ἀδόλῳ, δακτύλῳ τὸ πάχος. Εἶναι δὲ τοὺς στύλους τῷ ναῷ ἰσομεγέθεις, τὸ δὲ πλάτος, κύκλῳ ἕκαστον κίονα πηχῶν δέκα· στῆναι δὲ αὐτοὺς τοῦ οἴκου ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ εὐωνύμων. Ποιῆσαι δὲ καὶ λυχνίας χρυσᾶς, δέκα τάλαντα ἑκάστην ὁλκὴν ἀγούσας, ὑπόδειγμα λαβόντα τὴν ὑπὸ Μωσέως ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου τεθεῖσαν. Στῆσαι δ' ἐξ ἑκατέρου μέρους τοῦ σηκοῦ τὰς μὲν ἐκ δεξιῶν, τὰς δὲ ἐξ εὐωνύμων. Ποιῆσαι δ' αὐτὸν καὶ λύχνους χρυσοῦς ο', ὥστε καίεσθαι ἐφ' ἑκάστης λυχνίας ἑπτά. Οἰκοδομῆσαι δὲ τὰς πύλας τοῦ ἱεροῦ, καὶ κατακοσμῆσαι χρυσίῳ καὶ ἀργυρίῳ· καὶ καταστεγάσαι φατνώμασι κεδρίνοις καὶ κυπαρισσίνοις. Ποιῆσαι δὲ καὶ κατὰ τὸ πρὸς βορρᾶν μέρος τοῦ ἱεροῦ στοὰν, καὶ στύλους αὐτῇ ὑποστῆσαι χαλκοῦς μη'. Κατασκευάσαι δὲ καὶ λουτῆρα χαλκοῦν, μῆκος πηχῶν κ', καὶ πλάτος πηχῶν κ', τὸ δὲ ὕψος πηχῶν ε'. Ποιῆσαι δὲ ἐπ' αὐτῷ στεφάνην πρὸς τὴν βάσιν ἔξω ὑπερέχουσαν πῆχυν ἕνα πρὸς τὸ τοὺς ἱερεῖς τούς τε πόδας προκλύζεσθαι καὶ τὰς χεῖρας νίπτεσθαι ἐπιβαίνοντας· ποιῆσαι δὲ καὶ τὰς βάσεις τοῦ λουτῆρος τορευτὰς, χωνευτὰς δώδεκα, καὶ τῷ ὕψει ἀνδρομήκεις, καὶ στῆσαι ἐξ ὑστέρου μέρους ὑπὸ τὸν λουτῆρα, ἐκ δεξιῶν τοῦ θυσιαστηρίου. Ποιῆσαι δὲ καὶ βάσιν χαλκῆν τῷ ὕψει πηχῶν δυοῖν, κατὰ τὸν λουτῆρα, ἵν' ἐφεστήκῃ ἐπ' αὐτῆς ὁ βασιλεὺς, ὅταν προσεύχηται, ὅπως ὀπτάνηται τῷ λαῷ τῶν Ἰουδαίων. Οἰκοδομῆσαι δὲ καὶ τὸ θυσιαστήριον πηχῶν κε' ἐπὶ πήχεις κ', τὸ δὲ ὕψος πηχῶν ιβ'. Ποιῆσαι δὲ καὶ δακτυλίους δύο χαλκοῦς ἁλυσιδωτοὺς, καὶ στῆσαι αὐτοὺς ἐπὶ μηχανημάτων ὑπερεχόντων τῷ ὕψει τὸν ναὸν πήχεις κ', καὶ σκιάζειν ἐπάνω παντὸς τοῦ ἱεροῦ· καὶ προσκρεμάσαι ἑκάστῃ δικτύϊ κώδωνας χαλκοῦς ταλαντιαίους τετρακοσίους· καὶ ποιῆσαι ὅλας τὰς δικτύας πρὸς τὸ ψοφεῖν τοὺς κώδωνας, καὶ ἀποσοβεῖν τὰ ὄρνεα, ὅπως μὴ καθίζῃ ἐπὶ τοῦ ἱεροῦ, μήτε νοσσεύῃ ἐπὶ τοῖς φατνώμασι τῶν πυλῶν καὶ στοῶν, καὶ μολύνῃ τοῖς ἀποπατήμασι τὸ ἱερόν. Περιβαλεῖν δὲ καὶ τὰ Ἱεροσόλυμα τὴν πόλιν τείχεσι καὶ πύργοις καὶ τάφροις· οἰκοδομῆσαι δὲ καὶ βασίλεια ἑαυτῷ. Προσαγορευθῆναι δὲ τὸ ἀνάκτορον πρῶτον μὲν Ἱερὸν Σαλομῶνος, ὕστερον δὲ παρεφθαρμένως τὴν πόλιν ἀπὸ τοῦ

---

Cf. Justinus XLII, 1 : *Phraates quum adversus eos* (sc. Scythas quos in auxilium adversus Antiochum Sidetem advoçaverat, sed, quum confecto jam bello supervenissent, negata mercede dimiserat) *proficisceretur, ad tutelam regni reliquit Himerum quendam, pueritiæ sibi flore conciliatum : qui tyrannica crudelitate, oblitus et vitæ præteritæ et vicarii officii, Babylonios multasque alias civitates importune vexavit.* Trogi Pompeii prolog. ad lib. XLII : *Ut præfectus Parthis a Phraate Mesenis bellum intulit et in Babylonios et Seleucenses sæviit.* Hæc igitur quum statim post ea acciderint, quæ libro XVI Posidonius narrat, atque Diodorus quoque (XXXIV, 21, in Exc. Virtut.) de ejusdem Himeri (cod. Εὐημέρου) sævitia statim post cladem Antiochi loquatur, dubium vix est, hæc non XXVI, verum XVI^mo Posidonii libro exposita esse. Ceterum quæ apud Diodorum leguntur : Εὐήμερος ὁ τῶν Πάρθων βασιλεύς, Ὑρκάνιος ὢν τὸ γένος, excerptoris culpa corrupta sunt. Dixit Diodorus Ἵμερος ὁ τοῦ Π. βασιλέως σατράπης vel tale quid, notante Valesio.

22.

E LIBRO VICESIMO SECUNDO.

Idem XIII, p. 594, E : Ἅρπαλος δὲ ὁ Μακεδών, ὁ τῶν Ἀλεξάνδρου πολλὰ χρημάτων συλήσας καὶ καταφυγὼν εἰς Ἀθήνας, ἐρασθεὶς Πυθιονίκης, πολλὰ εἰς αὐτὴν κατανάλωσεν ἑταίραν οὖσαν· καὶ ἀποθανούσῃ πολυτάλαντον μνημεῖον κατεσκεύασεν· ἐκφέρων τε αὐτὴν ἐπὶ τὰς ταφάς, ὥς φησι Ποσειδώνιος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν, τεχνιτῶν τῶν ἐπισημοτάτων χορῷ μεγάλῳ καὶ παντοίοις ὀργάνοις καὶ εὐφωνίαις παρέπεμπε τὸ σῶμα. Cf. Diodor. XVII, 108, Theopomp. fr. 277 et quos ibi laudavimus. Quanam occasione ad hæc excurrerit Posidonius nescimus.

23.

E LIBRO VICESIMO TERTIO.

Idem VI, p. 246, C : Ποσειδώνιος δ' ὁ Ἀπαμεὺς ἐν τῇ εἰκοστῇ καὶ τρίτῃ τῶν Ἱστοριῶν, « Κελτοὶ (φησὶ) περιάγονται μεθ' αὐτῶν καὶ πολεμοῦντες συμβιωτάς, οὓς καλοῦσι παρασίτους. Οὗτοι δὲ ἐγκώμια αὐτῶν καὶ πρὸς ἀθρόους λέγουσιν ἀνθρώπους συνεστῶτας, καὶ πρὸς ἕκαστον τῶν κατὰ μέρος ἐκείνων ἀκροωμένων. Τὰ δὲ ἀκούσματα αὐτῶν εἰσιν οἱ καλούμενοι Βάρδοι· ποιηταὶ δὲ οὗτοι τυγχάνουσι μετ' ᾠδῆς ἐπαίνους λέγοντες. »

24.

Idem IV, p. 154, A : Ποσειδώνιος δ' ἐν τρίτῃ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν· « Κελτοί, φησίν, ἐνίοτε παρὰ

21.

Posidonius decimo sexto Historiarum refert Lysimachum Babylonium, quum Himerum, qui non modo Babyloniorum, sed etiam Seleucensium erat tyrannus, ad cœnam vocasset cum trecentis, sublatis mensis unicuique trecentorum poculum argenteum quattuor minarum pondo dedisse, factaque libatione, simul omnibus propinasse, et quemque suum poculum secum auferre jussisse.

22.

Harpalus Macedo, is qui Alexandrum ingenti pecuniæ summa spoliavit, Athenasque confugit, Pythionicæ amore captus, multa in eam insumpserat, quum scortum ipsius esset; post cujus obitum multorum talentorum monumentum ei posuit : quumque ad sepulturam efferret, ut ait Posidonius libro vicesimo secundo Historiarum, cum ingenti celeberrimorum artificum choro, et omnifariorum musicorum instrumentorum et carminum cantibus cadaver est prosecutus.

23.

Posidonius Apamensis Historiarum libro vicesimo tertio : « Galli, ait, secum circumducunt, etiam quum in bellum proficiscuntur, convictores, quos parasitos vocant. Hi, quum in frequentibus hominum circulis, tum apud singulos privatim qui audire velint, laudes illorum celebrant. Acroamata eorum sunt qui *Bardi* vocantur : hi poetæ sunt, qui cum cantu laudes celebrant. »

24.

Posidonius tertio et vicesimo Historiarum : « Celtæ, ait, nonnumquam inter cœnam gladiatorio certamine congrediuntur. Quum enim armati conveniant, umbra-

τὸ δεῖπνον μονομαχοῦσιν· ἐν γὰρ τοῖς ὅπλοις ἀγερθέντες σκιαμαχοῦσι καὶ πρὸς ἀλλήλους ἀκροχειρίζονται, ποτὲ δὲ καὶ μέχρι τραύματος προΐασι, καὶ ἐκ τούτου ἐρεθισθέντες, ἐὰν μὴ ἐπισχῶσιν οἱ παρόντες, καὶ ἕως ἀναιρέσεως ἔρχονται. Τὸ δὲ παλαιόν φησιν ὅτι παρατεθέντων κωλήνων τὸ μηρίον ὁ κράτιστος ἐλάμβανεν· εἰ δέ τις ἕτερος ἀντιποιήσαιτο, συνίσταντο μονομαχήσοντες μέχρι θανάτου. Ἄλλοι δ' ἐν θεάτρῳ λαβόντες ἀργύριον ἢ χρυσίον, οἱ δὲ οἴνου κεραμίων ἀριθμόν τινα, καὶ πιστωσάμενοι τὴν δόσιν, καὶ τοῖς ἀναγκαίοις ἢ φίλοις διαδωρησάμενοι, ὕπτιοι ἐκταθέντες ἐπὶ θυρεῶν κεῖνται, καὶ παραστάς τις ξίφει τὸν λαιμὸν ἀποκόπτει. » Cf. Diodor. V, 28. Ex Athenæo hausit Eustath. p. 1606, 14.

25.

Athenæus IV, p. 151, E : Ποσειδώνιος δὲ ὁ ἀπὸ τῆς Στοᾶς ἐν ταῖς Ἱστορίαις αἷς συνέθηκεν οὐκ ἀλλοτρίως ἧς προῄρητο φιλοσοφίας, πολλὰ παρὰ πολλοῖς ἔθιμα καὶ νόμιμα ἀναγράφων, « Κελτοὶ (φησὶ) τὰς τροφὰς προτίθενται, χόρτον ὑποβάλλοντες, καὶ ἐπὶ τραπεζῶν ξυλίνων, μικρὸν ἀπὸ τῆς γῆς ἐπηρμένων. Ἡ τροφὴ δ' ἐστὶν ἄρτοι μὲν ὀλίγοι, κρέα δὲ πολλὰ ἐν ὕδατι, καὶ ὀπτὰ ἐπ' ἀνθράκων ἢ ὀβελίσκων. Προσφέρονται δὲ ταῦτα καθαρείως μέν, λεοντωδῶς δέ, ταῖς χερσὶν ἀμφοτέραις αἴροντες ὅλα μέλη, καὶ ἀποδάκνοντες· ἐὰν δὲ ᾖ τι δυσαπόσπαστον, μαχαιρίῳ μικρῷ παρατέμνοντες, ὃ τοῖς κολεοῖς ἐν ἰδίᾳ θήκῃ παράκειται. Προσφέρονται δὲ καὶ ἰχθῦς οἵ τε παρὰ τοὺς ποταμοὺς οἰκοῦντες καὶ παρὰ τὴν ἐντὸς καὶ τὴν ἔξω θάλασσαν, καὶ τούτους δὲ ὀπτοὺς μετὰ ἁλῶν καὶ ὄξους καὶ κυμίνου. Τοῦτο δὲ καὶ εἰς τὸ ποτὸν ἐμβάλλουσιν. Ἐλαίῳ δ' οὐ χρῶνται διὰ σπάνιν, καὶ διὰ τὸ ἀσύνηθες ἀηδὲς αὐτοῖς φαίνεται. Ὅταν δὲ πλείονες συνδειπνῶσι, κάθηνται μὲν ἐν κύκλῳ, μέσος δ' ὁ κράτιστος, ὡς ἂν κορυφαῖος χοροῦ, διαφέρων τῶν ἄλλων ἢ κατὰ τὴν πολεμικὴν εὐχέρειαν, ἢ κατὰ τὸ γένος, ἢ κατὰ πλοῦτον· ὁ δ' ὑποδεχόμενος παρ' αὐτόν, ἐφεξῆς δ' ἑκατέρωθε κατ' ἀξίαν ἧς ἔχουσιν ὑπεροχῆς. Καὶ οἱ μὲν τοὺς θυρεοὺς ὁπλοφοροῦντες ἐκ τῶν ὀπίσω παρεστᾶσιν, οἱ δὲ δορυφόροι κατὰ τὴν ἀντικρὺ καθήμενοι κύκλῳ, καθάπερ οἱ δεσπόται, συνευωχοῦνται. Τὸ δὲ ποτὸν οἱ διακονοῦντες ἐν ἀγγείοις περιφέρουσιν ἐοικόσι μὲν ἀμβίκοις ἢ κεραμέοις ἢ ἀργυροῖς· καὶ γὰρ τοὺς πίνακας, ἐφ' ὧν τὰς τροφὰς προτίθενται, τοιούτους ἔχουσιν· οἱ δὲ χαλκοῦς, οἱ δὲ κάνεα ξύλινα καὶ πλεκτά. Τὸ δὲ πινόμενόν ἐστι παρὰ μὲν τοῖς πλουτοῦσιν οἶνος, ἐξ Ἰταλίας καὶ τῆς Μασσαλιητῶν χώρας παρακομιζόμενος, ἄκρατος δ' οὗτος· ἐνίοτε δὲ καὶ ὀλίγον ὕδωρ παραμίγνυται· παρὰ δὲ τοῖς ὑποδεεστέροις ζῦθος πύρινον μετὰ μέλιτος ἐσκευασμένον· παρὰ δὲ τοῖς πολλοῖς καθ' αὑτό· καλεῖται δὲ κόρμα. Ἀπορροφοῦσι δὲ ἐκ τοῦ ποτηρίου κατὰ μικρόν, οὐ πλεῖον κυάθου· πυκνότερον δὲ τοῦτο ποιοῦσι. Περιφέρει δὲ ὁ παῖς ἐπὶ τὰ δεξιὰ καὶ τὰ λαιά. Οὕτως διακονοῦνται· καὶ τοὺς θεοὺς προσκυνοῦσιν, ἐπὶ τὰ δεξιὰ στρεφόμενοι. »

Ἔτι δὲ ὁ Ποσειδώνιος διηγούμενος καὶ τὸν Λουερ-

---

tilem quandam pugnam instituunt, et exercitii causa inter se conflictantur : interdum vero etiam usque ad vulnera procedunt; et inde irritati, nisi alii præsentes inhibeant, ad cædem usque progrediuntur. Priscis vero temporibus, inquit, moris apud eosdem fuerat, ut appositis in cœna pernis, quicunque fortissimus esset, femur acciperet : sin alius quispiam id sibi vindicaret, singulari certamine congressi ad mortem depugnabant. Alii in theatro, stipulata auri vel argenti summa, aut doliolorum vini numero aliquo, captis de præstando promisso pignoribus, initaque ratione ut merces ista inter necessarios ipsorum, quos maxime caros habent, dividatur, supinos sese super clypeis humi jacientibus extendunt : et adstans aliquis guttur eis gladio præcidit. »

25

Posidonius Stoicus in Historiis quas composuit ratione minime aliena ab ea quam secutus est philosophia, varia variorum populorum instituta moresque recensens : « Celtæ, inquit, [*sive*, Galli Galliam incolentes] convivis substrato fœno insidentibus cibos apponunt super mensis ligneis, parum supra terram elatis. Sunt autem cibi : parum quidem panis, sed caro multa, partim elixa, partim assa sive super prunis sive in verutis. Comedunt autem illa satis quidem munde illata, sed leonino more ambabus manibus integros artus capientes, et morsu dilaniantes : quodsi quid ægrius divellitur, cultello præcidunt, qui vagina tectus peculiari in loculo adjacet. Vescuntur autem etiam piscibus hi qui fluvios accolunt, aut maris sive interioris sive exterioris litora; eisque assis, cum sale et aceto et cumino : hoc autem etiam potioni injiciunt. Oleo vero non utuntur, ob raritatem; et, quoniam insolitum, ingratum illis videtur. Ubi plures una cœnant, in orbem sedent : in medio quidem præstantissimus, veluti chorum ducens; nempe qui ceteris vel bellica dexteritate vel nobilitate vel divitiis antecellit. Huic adsidet convivator : et reliqui deinde utrimque ordine, prout quisque dignitate alterum præit. Et armigeri quidem, qui scuta gestant, pone stant : satellites vero, e regione opposita in orbem sedentes, epulantur et ipsi haud secus quam heri. Potum vero famuli in vasis circumferunt, quæ cadis illis, quos *ambicas* Græci vocant, similia sunt, ceterum vel fictilia vel argentea : nam et lances, in quibus cibos apponunt, argenteas nonnulli habent; alii vero æneas; alii canistra lignea aut vimine texta. Est vero potus, apud divites quidem, vinum ex Italia aut ex Massiliensium regione advectum; et id quidem merum : interdum vero parum aquæ mixtum habet : apud paulo tenuiores, cerevisia triticea, cum melle parata; apud plerosque autem vulgo, cerevisia absque melle : *corma* eum potum vocant. Sorbillant autem ex eodem poculo paulatim non amplius cyatho; sed id sæpius faciunt. Circumfert autem puer a dextra versus sinistram. Ita ministrant : atque etiam deos adorant, ad dextram conversi. »

Idem Posidonius, divitias enarrans Luernii [*Luerii* sec. *Strabon.*] patris Bituitis illius, qui a Romanis sublatus est, ait : « popularem gratiam aucupantem, quum

νίου, τοῦ Βιτυΐτος πατρὸς, πλοῦτον, τοῦ ὑπὸ Ῥωμαίων καθαιρεθέντος, φησὶ « δημαγωγοῦντα αὐτὸν τοὺς ὄχλους ἐν ἅρματι φέρεσθαι διὰ τῶν πεδίων, καὶ σπείρειν χρυσὸν καὶ ἄργυρον ταῖς ἀκολουθούσαις τῶν Κελτῶν μυριάσι, φράγμα τε ποιεῖν δωδεκαστάδιον, τετράγωνον, ἐν ᾧ πληρουμένους ληνοὺς πολυτελοῦς πόματος, παρασκευάζειν τε τοσοῦτο βρωμάτων πλῆθος, ὥστε ἐφ' ἡμέρας πλείονας ἐξεῖναι τοῖς βουλομένοις εἰσερχομένοις τῶν παρασκευασθέντων ἀπολαύειν, ἀδιαλείπτως διακονουμένους. Ἀφορίσαντος δ' αὐτοῦ προθεσμίαν ποτὲ τῆς θοίνης, ἀφυστερήσαντά τινα τῶν βαρβάρων ποιητὴν ἀφικέσθαι, καὶ συναντήσαντα μετὰ ᾠδῆς ὑμνεῖν αὐτοῦ τὴν ὑπεροχὴν, ἑαυτὸν δ' ἀποθρηνεῖν ὅτι ὑστέρηκε, τὸν δὲ τερφθέντα θυλάκιον αἰτῆσαι χρυσίου, καὶ ῥῖψαι αὐτῷ παρατρέχοντι, ἀνελόμενον δ' ἐκεῖνον πάλιν ὑμνεῖν, λέγοντα, διότι τὰ ἴχνη τῆς γῆς, ἐφ' ἧς ἁρματηλατεῖ, χρυσὸν καὶ εὐεργεσίας ἀνθρώποις φέρει. » Ταῦτα μὲν οὖν ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ ἱστόρησεν. Cf. Strabo IV, p. 191.

De Bituito, Arvernorum rege, contra quem feliciter pugnavit consul Q. Fabius Maximus, Paulli nepos (a. 121 a. Chr.; 633 a. u. c.), vid. Florus III, 2, Epitom. Liv. LXI, 44, Oros. V, 14, Eutrop. IV, 22. — Aliud fragm. libro XXIII in codd. nonnullis adscriptum vide sub N° 32. Subjungimus reliqua quæ de Gallis Galliaque e Posidonio traduntur.

26.

Strabo IV, p. 197, de Gallorum moribus loquens : Πρόσεστι δὲ τῇ ἀνοίᾳ καὶ τὸ βάρβαρον καὶ τὸ ἔκφυλον, ὃ τοῖς προσβόρροις ἔθνεσι παρακολουθεῖ πλεῖστον, τὸ ἀπὸ τῆς μάχης ἀπιόντας τὰς κεφαλὰς τῶν πολεμίων ἐξάπτειν ἐκ τῶν αὐχένων τῶν ἵππων, κομίσαντας δὲ προσπατταλεύειν τὴν θέαν τοῖς προπυλαίοις. Φησὶ γοῦν Ποσειδώνιος αὐτὸς ἰδεῖν ταύτην πολλαχοῦ καὶ τὸ μὲν πρῶτον ἀηθίζεσθαι, μετὰ δὲ ταῦτα φέρειν πρᾴως διὰ τὴν συνήθειαν. Cf. Diodorus, V, 29, 4. Reliqua quæ Strabo et Diodorus de Gallorum moribus narrant, ex eodem Posidonio maximam partem petita fuerint.

27.

Strabo IV, p. 188, postquam de auro Tolosano Timagenis narrationem exposuit, pergit : Πιθανώτερος δ' ἐστὶν ὁ Ποσειδωνίου λόγος· τὰ μὲν γὰρ εὑρεθέντα (sc. ὑπὸ Καιπίωνος τοῦ στρατηγοῦ τῶν Ῥωμαίων) ἐν τῇ Τολώσσῃ χρήματα μυρίων που καὶ πεντακισχιλίων ταλάντων γενέσθαι φησὶ, τὰ μὲν ἐν σηκοῖς ἀποκείμενα, τὰ δ' ἐν λίμναις ἱεραῖς, οὐδεμίαν κατασκευὴν ἔχοντα, ἀλλ' ἀργὸν χρυσίον καὶ ἄργυρον· τὸ δ' ἐν Δελφοῖς ἱερὸν κατ' ἐκείνους ἤδη τοὺς χρόνους ὑπάρξαι κενὸν τῶν τοιούτων, σεσυλημένον ὑπὸ τῶν Φωκέων κατὰ τὸν ἱερὸν πόλεμον· εἰ δὲ καί τι ἐλείφθη, διανείμασθαι πολλούς· οὐδὲ σωθῆναι δὲ αὐτοὺς εἰκὸς εἰς τὴν οἰκείαν, ἀθλίως ἀπαλλάξαντας μετὰ τὴν ἐκ Δελφῶν ἀποχώρησιν καὶ σκεδασθέντας ἄλλους ἐπ' ἄλλα μέρη κατὰ διχοστασίαν· ἀλλ', ὥσπερ ἐκεῖνός τε εἴρηκε καὶ ἄλλοι πλείους, ἡ χώρα πολύχρυσος οὖσα καὶ δεισιδαιμόνων καὶ οὐ πολυτελῶν τοῖς βίοις πολλαχοῦ (τῆς Κελτικῆς) ἔσχε θησαυρούς· μάλιστα δ' αὐτοῖς αἱ λίμναι τὴν ἀσυλίαν παρεῖχον, εἰς ἃς καθίεσαν ἀργύρου ἢ καὶ χρυσοῦ βάρη. Οἱ γοῦν Ῥωμαῖοι κρατήσαντες τῶν τόπων ἀπέδοντο τὰς λίμνας δημοσίᾳ, καὶ τῶν ὠνησαμένων πολλοὶ μύλους εὗρον σφυρηλάτους ἀργυροῦς. Ἐν δὲ τῇ Τολώσσῃ καὶ τὸ ἱερὸν ἦν ἅγιον, τιμώμενον σφόδρα ὑπὸ τῶν περιοίκων, καὶ τὰ χρήματα ἐπλεόνασε διὰ τοῦτο, πολλῶν ἀνατιθέντων, καὶ μηδενὸς προσάπτεσθαι θαρ-

---

per agros curru veheretur, aurum argentumque sparsisse prosequentibus eum Gallorum myriadibus : et septum duodecim stadiorum cinxisse quadratum, in quo plures essent lacus, sumptuosa potione repletos, et cibariorum tantam copiam paratam, ut per complures dies, quicumque voluisset, potestatem intrandi haberet, et rebus paratis fruendi, ministrantibus indesinenter famulis. Eidem, quum epularum diem aliquando constituisset, barbarum quendam poetam, sero nec ad ipsum diem advenientem, occurrisse in via, hymnumque cecinisse, quo et illius laudes prædicabat, et suam sortem, quod sero venisset, lamentabatur : quo carmine delectatum illum, sacculum auri poposcisse, et cantori a latere currenti projecisse : quo sublato poetam, denuo laudes ejus canentem, dixisse, *vestigia terræ, in qua ille curru vehatur, aurum et beneficia mortalibus ferre* » Hæc igitur tertio et vicesimo libro ille memoriæ prodidit.

26.

Stoliditati accedit etiam barbaricum quippiam et inusitatum, quod plerumque septentrionalibus gentibus comitatur, quod quum a pugna redeunt, capita hostium de collis equorum suspendunt, et reportata spectaculi gratia vestibulis ædium affigunt; id se multis in Galliæ locis vidisse ait Posidonius, quumque initio rem insolentem aversaretur, consuetudine eam sibi minus molestam redditam.

27.

Probabilior autem est Posidonii narratio. Is inventas Tolosæ pecunias ait quindecim circiter fuisse millium talentûm, partim in sacrariis repositas, partim in sacris lacubus, artificis manus non expertas, sed aurum argentumque infectum fuisse : at templum Delphicum illo jam tempore vacuum fuisse hujusmodi rerum, utpote in Sacro bello a Phocensibus spoliatum; quodsi autem quid fuerit ibi repertum, fuisse id inter multos divisum. Neque verisimile esse, Tectosages in patriam rediisse salvos, qui post discessum a Delphis miseriis pressi, ob dissensionem alii alio dispersi abierint. Ergo, quod hic cum aliis pluribus tradit, regio illa auri dives quum esset, hominesque eam tenerent superstitiosi, ac in vitam degendam non sumptuosi, factum est ut multis in locis ea thesauros haberet; maxime autem paludes eos tutos præstabant, in quas argenti aut etiam auri pondera demittebant. Romani itaque potiti ea ditione, paludes publice vendiderunt; multique eorum qui emerunt, molas ex argento ductas repererunt. Tolosæ porro templum fuit sacrosanctum, quod valde venerabantur vicini, ideo-

ῥοῦντος. Ἵδρυται δ' ἡ Τολῶσσα κατὰ τὸ στενότατον τοῦ ἰσθμοῦ τοῦ διείργοντος ἀπὸ τῆς κατὰ Νάρϐωνα θαλάττης τὸν ὠκεανὸν, ὅν φησι Ποσειδώνιος ἐλάττω τῶν τρισχιλίων σταδίων.

Antecedentia vide in fragm. 10 Timagenis. De auro in fanis deorum disseminato cf. Diodor. V, 27, 4. Ceterum hæc petita non ex libro 23, sed ex uno librorum sequentium. Nam res pertinet ad an. 106, quo consul fuit Q. Servilius Cæpio. Cf. Justin. XXXII, 3 : *Tectosagi autem, quum* (*Delphis*) *in antiquam patriam Tolosam venissent, comprehensique pestifera lue essent, non prius sanitatem recuperare, quam haruspicum responsis moniti, aurum argentumque bellis sacrilegiisque quæsitum in Tolosensem lacum mergerent : quod omne magno post tempore Cæpio Romanus consul abstulit. Fuere autem argenti pondo centum decem millia, auri pondo quinquies decies centum millia. Quod sacrilegium causa excidii Cæpioni exercituique postea* (105 a. C.) *fuit.* Quæ Timagenis potius quam Posidonii sunt. Cf. etiam Cicero De orat. II, 47, De nat. deor. II, 30.

28.

Strabo IV, p. 182 : Μεταξὺ γὰρ τῆς Μασσαλίας καὶ τῶν ἐκϐολῶν τοῦ Ῥοδανοῦ πεδίον ἐστὶ τῆς θαλάττης διέχον εἰς ἑκατὸν σταδίους, τοσοῦτον δὲ καὶ τὴν διάμετρον, κυκλοτερὲς τὸ σχῆμα· καλεῖται δὲ Λιθῶδες ἀπὸ τοῦ συμϐεϐηκότος. Μεστὸν γάρ ἐστι λίθων χειροπληθῶν, ὑποπεφυκυῖαν ἐχόντων αὐτοῖς ἄγρωστιν, ἀφ' ἧς ἄφθονοι νομαὶ βοσκήμασίν εἰσιν· ἐν μέσῳ δ' ὕδατα καὶ ἁλυκίδες ἐνίστανται καὶ ἅλες. Ἅπασα μὲν οὖν καὶ ἡ ὑπερκειμένη χώρα προσήνεμός ἐστι, διαφερόντως δ' εἰς τὸ πεδίον τοῦτο [τὸ] μελαμϐόρειον καταιγίζει πνεῦμα βίαιον καὶ φρικῶδες· φασὶ γοῦν σύρεσθαι καὶ κυλινδεῖσθαι τῶν λίθων ἐνίους, κατακλᾶσθαι δὲ τοὺς ἀνθρώπους ἀπὸ τῶν ὀχημάτων καὶ γυμνοῦσθαι καὶ ὅπλων καὶ ἐσθῆτος ἀπὸ τῆς ἐμπνοῆς. Ἀριστοτέλης μὲν οὖν φησιν ὑπὸ σεισμῶν, τῶν καλουμένων βραστῶν, ἐκπεσόντας τοὺς λίθους εἰς τὴν ἐπιφάνειαν συνολισθεῖν εἰς τὰ κοῖλα τῶν χωρίων. Ποσειδώνιος δὲ λίμνην οὖσαν παγῆναι μετὰ κλυδασμοῦ, καὶ διὰ τοῦτο εἰς πλείονας μερισθῆναι λίθους, καθάπερ τοὺς ποταμίους κάχληκας καὶ τὰς ψήφους τὰς αἰγιαλίτιδας, ὁμοίως δὲ καὶ λείους καὶ ἰσομεγέθεις τῇ ὁμοιότητι· καὶ τὴν αἰτίαν ἀποδεδώκασιν ἀμφότεροι. Πιθανὸς μὲν οὖν ὁ παρ' ἀμφοῖν λόγος· ἀνάγκη γὰρ τοὺς οὕτω συνεστῶτας λίθους, οὐ καθ' ἑαυτοὺς ἢ ἐξ ὑγροῦ παγέντας μεταϐαλεῖν, [ἢ] ἐκ πετρῶν μεγάλων ῥήγματα συνεχῆ λαϐουσῶν ἀποκριθῆναι. Τὸ μέντοι δυσαπολόγητον Αἰσχύλος καταμαθὼν, ἢ παρ' ἄλλου λαϐὼν εἰς μῦθον ἐξετόπισε. Φησὶ γοῦν Προμηθεὺς παρ' αὐτῷ, καθηγούμενος Ἡρακλεῖ τῶν ὁδῶν τῶν ἀπὸ Καυκάσου πρὸς τὰς Ἑσπερίδας·

Ἥξεις δὲ Λιγύων εἰς ἀτάρϐητον στρατὸν,
ἔνθ' οὐ μάχης, σάφ' οἶδα, καὶ θοῦρός περ ὢν
μέμψει· πέπρωται γάρ σε καὶ βέλη λιπεῖν
ἐνταῦθ' ἑλέσθαι θ' οὔ τιν' ἐκ γαίας λίθον
ἕξεις, ἐπεὶ πᾶς χῶρός ἐστι μαλθακός.
Ἰδὼν δ' ἀμηχανοῦντά σ' ὁ Ζεὺς οἰκτερεῖ,
νεφέλην δ' ὑποσχὼν νιφάδι γογγύλων πέτρων
ὑπόσκιον θήσει χθόν', οἷς ἔπειτα σὺ
βαλὼν διώσει ῥᾳδίως Λίγυν στρατόν·

ὥσπερ οὐ κρεῖττον ὂν, φησὶν ὁ Ποσειδώνιος, εἰς αὐτοὺς τοὺς Λίγυας ἐμϐαλεῖν τοὺς λίθους καὶ καταχῶσαι πάντας, ἢ τοσούτων δεόμενον ποιῆσαι λίθων τὸν Ἡρακλέα. Τὸ μὲν οὖν τοσούτων, ἀναγκαῖον ἦν, εἴπερ καὶ πρὸς ὄχλον

---

que abundabat thesauris, multis donaria dedicantibus, et nemine attingere auso. Sita est Tolosa quo loco arctissimus est isthmus, qui a Narbonensi mari Oceanum distinguit, quem isthmum Posidonius ait minorem esse tribus stadiorum millibus.

28.

Inter Massiliam et ostia Rhodani campus est a mari centum circiter dissitus stadiis, diametro ejusdem quantitatis, forma circulari : is Lapidosus seu Saxosus ab eventu dicitur; est enim plenus lapidum qui manum implere possint, inter quos gramen nascitur, abunde pascuis pecoris suppeditans; in medio autem aquæ et salinæ sunt et sales. Tota quidem ea quæ superius adjacet regio ventis est exposita; in hunc autem maxime campum ventus incumbit ac defertur melamboreus (*quasi* ater septentrionalis), violentus ac horribilis, quo ferunt et lapides agitari atque volvi, et homines de vehiculis deturbari, ac vi flatus armis vestibusque nudari. Aristoteles ergo ait a terræ motibus, quibus ob ejiciendi vim Brastôn nomen est, lapides in superficiem egestos, in cava loca confertim delapsos esse. Posidonius lacum fuisse dicit, qui quum fluctuatione quadam exaruerit, ideoque in plures dissipatus sit lapides, sicut fluminum lapillos, et littorum scrupulos, similes inter se ut lævitate, ita magnitudine. Sane uterque probabilem rei rationem exposuit. Necesse est enim lapides qui sic constituuntur, non per se [*esse ortos, sed*] aut humidi alicujus concretione hanc formam accepisse, aut ex magnis saxis frequentes rupturas expertis esse avulsos. Æschylus quidem aut intelligens difficulter causas rei exponi posse, aut ab alio accipiens, hoc in fabulam detorsit. Nam apud eum Prometheus Herculi exponens iter a Caucaso ad Hesperidas, in hanc loquitur sententiam :

Venies et impavidas ad Ligurum copias.
Ibi, bellicosus etsi sis, tamen (hoc scio)
satis arduo tibi conflictabere prœlio,
fato jubente destitui te spiculis :
mollique saxa nec poteris avellere
tellure. Sed tuas miserabitur pater
angustias : plenam rotundorum nive
lapidum polo subtendet nubem, umbra solum
teget : hisce tu lapidibus armatus ferum
facile Ligusticum fundes exercitum.

Quasi vero, inquit Posidonius, non præstasset saxa in ipsos injicere Ligures potius, iisque hos obruere, quam tot fingere lapidibus eguisse Herculem. At vero tot lapidibus opus erat contra tam ingentem multitudinem : ut hac quidem in parte fabulæ auctor probabiliora dixerit quam fabulæ

παμπληθῆ· ὥστε ταύτῃ γε πιθανώτερος ὁ μυθογράφος τοῦ ἀνασκευάζοντος τὸν μῦθον. Ἀλλὰ καὶ τὰ ἄλλα πεπρῶσθαι φήσας ὁ ποιητὴς οὐκ ἐᾷ μέμφεσθαι φιλαιτίως. Καὶ γὰρ ἐν τοῖς περὶ τῆς προνοίας καὶ τῆς εἱμαρμένης λόγοις εὕροι τις ἂν πολλὰ τοιαῦτα τῶν ἀνθρωπίνων καὶ τῶν φύσει γινομένων, ὥστ' ἐπ' αὐτῶν φάναι πολὺ κρεῖττον εἶναι τόδε ἢ τόδε γενέσθαι, οἷον εὔομβρον εἶναι τὴν Αἴγυπτον, ἀλλὰ μὴ τὴν Αἰθιοπίαν ποτίζειν τὴν γῆν· καὶ τὸν Πάριν εἰς Σπάρτην πλέοντα ναυαγίῳ περιπεσεῖν, ἀλλὰ μὴ τὴν Ἑλένην ἁρπάσαντα δίκας τῖσαι τοῖς ἀδικηθεῖσιν ὕστερον, ἡνίκα τοσοῦτον ἀπειργάσατο φθόρον Ἑλλήνων καὶ βαρβάρων· ὅπερ Εὐριπίδης ἀνήνεγκεν εἰς τὸν Δία·

> Ζεὺς γὰρ κακὸν μὲν Τρωσὶ, πῆμα δ' Ἑλλάδι
> θέλων γενέσθαι, ταῦτ' ἐβούλευσεν πατήρ.

Cf. Pompon. Mela II, 5; Plinius H. N. III, 4.

29.

E LIBRO VICESIMO SEPTIMO.

Athenæus IX, p. 369, C : Ποσειδώνιος δ' ὁ ἀπὸ τῆς Στοᾶς ἐν τῇ εἰκοστῇ ἑβδόμῃ τῶν Ἱστοριῶν, περὶ τὴν Δαλματίαν φησὶ γίγνεσθαι γογγυλίδας ἀχηπεύτους, καὶ ἀγρίους σταφυλίνους.

Δαλματίαν] ἀλματίαν editt. vett. Dalmatas debellavit L. Cæcilius Metellus consul, a. 117 a. C. 637 a. u. (V. Liv. epitom. LXII; Appian. Illyr. c. 11; Eutrop. IV, 23). Ad hunc annum Posidonii fragm. refero.

30.

E LIBRO VICESIMO OCTAVO.

Idem XV, p. 692, C : Ἥδιστον δὲ, ἄνδρες φίλοι, ἀναγιγνώσκων τὴν ὀγδόην καὶ εἰκοστὴν τῶν Ποσειδωνίου Ἱστοριῶν, περὶ μύρων τι λεγόμενον ἐτήρησα οὐκ ἀλλότριον ἡμῶν τοῦ συμποσίου. Φησὶ γὰρ ὁ φιλόσοφος· « Ἐν Συρίᾳ ἐν τοῖς βασιλικοῖς συμποσίοις, ὅταν τοῖς εὐωχουμένοις δοθῶσιν οἱ στέφανοι, εἰσίασί τινες μύρων Βαβυλωνίων ἔχοντες ἀσκίδια καὶ πόρρωθεν ἐκ τούτων περιπορευόμενοι τοὺς μὲν στεφάνους τῶν κατακειμένων δροσίζουσι τοῖς μύροις, ἄλλο μηδὲν ἔξωθεν παραρραίνοντες. »

31.

Idem XII, p. 540, A : Ἀντίοχον δὲ τὸν Γρυπὸν ἐπικαλούμενον βασιλέα, φησὶ Ποσειδώνιος ἐν τῇ ὀγδόῃ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν, τὰς ἐπὶ Δάφνῃ πανηγύρεις ἐπιτελοῦντα, ὑποδοχὰς λαμπρὰς ἐπιτελεῖν. Ἐν αἷς τὸ μὲν πρῶτον ἀναδόσεις ἐγίγνοντο ὁλομελῶν βρωμάτων, εἶτ' ἤδη καὶ ζώντων χηνῶν καὶ λαγωῶν καὶ δορκάδων. Ἀνεδίδοντο δὲ, φησὶ, καὶ χρυσοῖ στέφανοι τοῖς δειπνοῦσι, καὶ ἀργυρωμάτων πλῆθος, καὶ θεραπόντων καὶ ἵππων καὶ καμήλων. Ἔδει τε ἀναβάντα ἐπὶ τὴν κάμηλον ἕκαστον πιεῖν, καὶ λαβεῖν τε τὴν κάμηλον καὶ τὰ ἐπὶ τῆς καμήλου, καὶ τὸν παρεστῶτα παῖδα. » Cf. f. 17.

Idem V, p. 210, E : Καὶ ἄλλος δ' Ἀντίοχος βασιλεὺς, ἐπιτελῶν τοὺς ἐν Δάφνῃ ἀγῶνας, ἐποιήσατο καὶ αὐτὸς ὑποδοχὰς λαμπρὰς, ὡς ὁ αὐτός φησι Ποσειδώνιος. Τὸ μὲν γὰρ πρῶτον ἀναδόσεις ἐποιήσατο κατ' ἄνδρα ὁλομελῶν βρωμάτων· μετὰ δὲ καὶ ζώντων χηνῶν, λαγωῶν καὶ δορκάδων. Ἀνεδίδοντο δὲ καὶ χρυσοῖ στέφανοι τοῖς δειπνοῦσι, καὶ ἀργυρωμάτων πλῆθος, καὶ θεραπόντων καὶ ἵππων καὶ καμήλων. Καὶ ἔδει ἀναβάντα ἐπὶ τὴν κάμηλον πιεῖν ἕκαστον, καὶ λαβεῖν τὴν κάμηλον, καὶ τὸν παρεστῶτα παῖδα.

Antiochus Grypus regnavit inde ab anno 123 a. Chr. Quæ h. l. narrantur, ad annum 116 vel 115 pertinere ex serie librorum collegeris.

---

reprehensor. Sed alias quoque poeta, hæc ita in fatis esse dicens, non patitur in ea culpandi studio inquiri. Nam ubi de providentia et fato disputatur, multa inveneris alioqui in rebus humanis ac naturalibus, de quibus diceres, præstitisse alio quam hoc modo ea fieri : ut verbi gratia, imbribus potius irriguam Ægyptum debuisse esse quam ab Æthiopia humorem accipere, et Paridem, quum Spartam peteret, debuisse potius naufragium facere, quam rapta Helena pœnas postmodo dare læsis, quando auctor exstiterat tantæ cladis Græcorum ac barbarorum; quam Euripides Jovi imputat :

> **Jupiter malum quum Trojis, et Græciæ**
> **inferre cladem vult, ea decrevit pater.**

29.

Posidonius Stoicus septimo et vicesimo libro Historiarum circa Dalmatiam rapas nasci sine cultura et silvestres pastinacas.

30.

Historiarum Posidonii librum vicesimum octavum perlegens, jucundissimum quidpiam, amici, observavi de unguentis ibi traditum, non alienum a nostro convivio. Ait enim philosophus : « In Syria in regis conviviis, postquam convivantibus distributæ sunt coronæ, intrant nonnulli utriculos habentes unguentorum Babyloniorum : qui circumeuntes ex illis utriculis coronas adcumbentium irrorant unguentis, aliud nihil præterea conspergentes. »

31.

Antiochum regem, eum qui Grypus est cognominatus, scribit Posidonius vigesimo octavo Historiarum libro, quum ludos ad Daphnen celebraret, splendida epula exhibuisse. In quibus primum viritim distribuebantur integra fercula parata; tum deinde vivi etiam anseres, lepores, et dorcades. Distribuebantur vero etiam, ait, convivis aureæ coronæ, et argenteorum vasorum multitudo, et servorum et equorum et camelorum : et quemque, ut camelum conscenderat, sic bibere oportebat, et camelum abducere, et quæ imposita camelo erant, et adstantem puerum. »

32.

E LIBRO TRICESIMO.

Athen. IV, 153, E: Γερμανοὶ δὲ, ὡς ἱστορεῖ Ποσειδώνιος ἐν τῇ τριακοστῇ, ἄριστον προσφέρονται κρέα μεληδὸν ὠπτημένα καὶ ἐπιπίνουσι γάλα καὶ τὸν οἶνον ἄκρατον.

τριακοστῇ] in nonnullis codd. τρίτῃ καὶ εἰκοστῇ. Libro 23 vidimus sermonem fuisse de moribus Gallorum; ibidem nostra quoque locum nancisci poterant. Sed alter numerus, quem cum Dindorfio exhibuimus, faciliorem etiam explicationem habet. Nam series librorum nos ducit ad annum 113 a. C., quo Cimbri et Teutoni in Italiam transierunt. — μεληδὸν] num ἀμεληδὸν? Diodorus V, 28, 4 de Gallis: πλησίον αὐτῶν ἐσχάραι κεῖνται ἔχουσαι... ὀβελοὺς πλήρεις κρεῶν ὁλομερῶν.

33.

E LIBRO TRICESIMO QUARTO.

Idem VI, p. 246, D: Ἐν δὲ τῇ τετάρτῃ καὶ τριακοστῇ ὁ αὐτὸς συγγραφεὺς (sc. Ποσειδώνιος) Ἀπολλώνιόν τινα ἀναγράφει, παράσιτον γεγονότα Ἀντιόχου τοῦ Γρυποῦ ἐπικαλουμένου, τοῦ τῆς Συρίας βασιλέως.

34.

E LIBRO TRICESIMO SEXTO.

Idem XI, p. 494, F: Παναθηναϊκόν. Ποσειδώνιος ὁ φιλόσοφος ἐν ἕκτῃ καὶ τριακοστῇ τῶν Ἱστοριῶν ὡς οὕτω καλουμένων τινῶν ποτηρίων μνημονεύει, γράφων οὕτως· « Ἦσαν δὲ καὶ ὀνύχινοι σκύφοι, καὶ συνθέσεις τούτων μέχρι διχοτύλων· καὶ Παναθηναϊκὰ μέγιστα, τὰ μὲν δίχοα, τὰ δὲ καὶ μείζονα. »

E LIBRIS INCERTIS.

34 a.

Strabo VII, p. 309, de Chersoneso: Αὕτη δ' ἦν πρότερον αὐτόνομος, πορθουμένη δὲ ὑπὸ τῶν βαρβάρων ἠναγκάσθη προστάτην ἑλέσθαι Μιθριδάτην τὸν Εὐπάτορα, στρατηγιῶντα ἐπὶ τοὺς ὑπὲρ τοῦ ἰσθμοῦ μέχρι Βορυσθένους βαρβάρους καὶ τοῦ Ἀδρίου· ταῦτα δ' ἦν ἐπὶ Ῥωμαίους παρασκευή. Ἐκεῖνος μὲν οὖν κατὰ ταύτας τὰς ἐλπίδας ἄσμενος πέμψας εἰς τὴν Χερρόνησον στρατιὰν, ἅμα πρός τε τοὺς Σκύθας ἐπολέμει, Σκίλουρόν τε καὶ τοὺς Σκιλούρου παῖδας τοὺς περὶ Πάλακον· οὓς Ποσειδώνιος μὲν πεντήκοντά φησιν, Ἀπολλωνίδης δ' ὀγδοήκοντα· ἅμα δὲ τούτους τε ἐχειρώσατο βίᾳ, καὶ Βοσπόρου κατέστη κύριος παρ' ἑκόντος λαβὼν Παρισάδου τοῦ κατέχοντος. Ἐξ ἐκείνου δὴ τοῦ χρόνου τοῖς τοῦ Βοσπόρου δυνάσταις ἡ τῶν Χερρονησιτῶν πόλις ὑπήκοος μέχρι νῦν ἐστι.

Res pertinet ad priora tempora Mithridatis, qui regnavit inde ab a. 120 a. C. Accuratius rem definire vix licet.

35.

Athen. VI, p. 272, E: Ποσειδώνιος γοῦν, οὗ συνεχῶς μέμνησαι, ὁ φιλόσοφος, καὶ ἀποστάντας φησὶν αὐτοὺς (servos Atticos) καταφονεῦσαι μὲν τοὺς ἐπὶ τῶν μετάλλων φύλακας, καταλαβέσθαι δὲ τὴν ἐπὶ Σουνίῳ ἀκρόπολιν, καὶ ἐπὶ πολὺν χρόνον πορθῆσαι τὴν Ἀττικήν. Οὗτος δ' ἦν ὁ καιρὸς, ὅτε καὶ ἐν Σικελίᾳ ἡ δευτέρα τῶν δούλων ἐπανάστασις ἐγένετο· πολλαὶ δὲ αὗται ἐγένοντο καὶ ἀπώλοντο οἰκετῶν ὑπὲρ τὰς ἑκατὸν μυριάδας.

Cf. Diodor. XXXVI, 1 sqq. Bellum servile alterum gestum a. 102-99 a. C.

32.

Germani, uti narrat Posidonius libro trigesimo, in prandio vescuntur carne membratim assata, bibuntque lac et vinum merum.

33.

Idem scriptor, libro trigesimo tertio, Apollonium aliquem commemorat, quem parasitum fuisse ait Antiochi Syriæ regis, illius qui Grypus cognominatus est.

34.

Panathenaicum. Horum meminit Posidonius philosophus, sexto et trigesimo Historiarum libro, tanquam poculorum sic nominatorum, his verbis: « Erant vero etiam scyphi ex onyche, et compactiones horum, usque ad duarum cotylarum capacitatem; et Panathenaica maxima, duorum congiorum alia, alia vero etiam majora. »

24 a.

Chersonesus prius libera suique juris erat; deinde a barbaris infestata patronum sibi sumere coacta est Mithridatem Eupatora, ducis munus ambientem contra barbaros qui supra isthmum ad Borysthenem usque et Adriam habitabant. Idque contra Romanos præparabat. Hac igitur ductus spe libenter misso in Chersonesum exercitu, simul contra Scythas bellabat, et contra Scilurum ejusque liberos, quorum princeps Palacus erat, quosque numero quinquaginta Posidonius, octoginta Apollonides fuisse dicunt. Atque tum hos vi subegit, tum Bosporo potitus est, quem sponte ei tradidit Parisades (*Pærisades*) regulus. Inde ab hoc tempore Bospori principibus urbs Chersonitarum ad hunc usque diem subjecta est.

35.

Posidonius philosophus, quem tu adeo frequenter commemoras, tradit rebellantes eos (servos Atticos), interfectis metallorum præfectis, Sunii arcem occupasse, et multo tempore devastasse Atticam. Accidit id per idem tempus, quo in Sicilia altera servorum defectio concitata est. Multæ vero eorum seditiones tumultusque fuere, in quibus perierunt servorum ultra decies centena millia.

[E LIBRO QUADRAGESIMO QUARTO.]

36.

Idem IV, p. 153, B : Ἱστορῶν δὲ (sc. Ποσειδώνιος) καὶ περὶ Ἡρακλέωνος τοῦ Βεροιαίου, ὃς ὑπὸ τοῦ Γρυποῦ καλουμένου Ἀντιόχου τοῦ βασιλέως προαχθεὶς μικροῦ δεῖν τῆς βασιλείας ἐξέβαλε τὸν εὐεργέτην, γράφει ἐν τῇ τετάρτῃ [καὶ τετταρακοστῇ] τῶν Ἱστοριῶν τάδε· « Ἐποιεῖτό τε τῶν στρατιωτῶν τὰς κατακλίσεις ἐπὶ τοῦ ἐδάφους, ἐν ὑπαίθρῳ, ἀνὰ χιλίους δειπνίζων. Τὸ δὲ δεῖπνον ἦν ἄρτος μέγας καὶ κρέας, τὸ δὲ ποτὸν κεκραμένος οἶνος οἷος δήποτε ὕδατι ψυχρῷ. Διηκόνουν δὲ ἄνδρες μαχαιροφόροι, καὶ σιωπὴ ἦν εὔτακτος. »

« Heracleonem post Antiochi Grypi mortem regnum occupasse cognovimus e prologo libri XXXIX Pompeii Trogi. Vaillantus dubito an recte eum Antiochi Epiphanis ætati adscripserit, qui quinquaginta amplius annis ante floruit (De imper. Seleuc. p. 205). Neque id prætermittendum est in citando libro Posidonii vitium esse commissum et pro τετάρτῃ restituendum τετάρτῃ καὶ τριακοστῇ, ut superiore loco (sc. fr. 33), qui ad eandem ætatem pertinet. » Bake p. 148. Ego retuli ad librum XLIV, quia hæc videbatur facilior emendatio, atque libri numerus melius convenit temporibus, quæ indicat Trogus Pompeius et Josephus A. J. XIII, 13, 4 : Ἀντίοχος ὁ Γρυπὸς ἐπιχληθεὶς ἀποθνήσκει ὑπὸ Ἡρακλέωνος ἐπιβουληθεὶς βιώσας μὲν ἔτη τεσσαράκοντα καὶ πέντε, βασιλεύσας δ' ἐννέα καὶ εἴκοσι (125-96). Antiochus Grypus mortuus est Ol. 170, 4. a. 96 a. C. Noster tamen locus non ad hunc mortis annum, sed ad superiores (circ. 100 a. C.) pertinere putandus est.

37.

E LIBRO QUADRAGESIMO SEPTIMO.

Idem XII, p. 550, B : Εἰς πάχος δ' ἐπεδεδώκει καὶ ὁ υἱὸς αὐτοῦ Ἀλέξανδρος, ὁ τὴν ἑαυτοῦ μητέρα ἀποκτείνας συμβασιλεύουσαν αὐτῷ. Φησὶ γοῦν περὶ αὐτοῦ Ποσειδώνιος ἐν τῇ ἑβδόμῃ καὶ τεσσαρακοστῇ τῶν Ἱστοριῶν οὕτως· « Ὁ δὲ τῆς Αἰγύπτου δυνάστης, μισούμενος μὲν ὑπὸ τῶν ὄχλων, κολακευόμενος δὲ ὑπὸ τῶν περὶ αὐτὸν, ἐν πολλῇ δὲ τρυφῇ ζῶν, οὐδὲ πατεῖν οἷός τε ἦν, εἰ μὴ δυσὶν ἐπαπερειδόμενος ἐπορεύετο. Εἰς δὲ τὰς ἐν τοῖς συμποσίοις ὀρχήσεις ἀπὸ μετεώρων κλινῶν καθαλλόμενος ἀνυπόδητος συντονωτέρας αὐτὰς τῶν ἠσκηκότων ἐποιεῖτο. »

ὁ υἱὸς αὐτοῦ] sc. Ptolemæi VII Euergetæ II filius junior Ptolemæus IX Alexander I, qui post fratrem Ptolemæum Soterem II una cum Cleopatra matre regnavit 107-89 a. C. V. Letronn., *Inscr. de l'Égypte*, tom. I, 73 sqq. Matrem occidit anno 90. Ceterum hoc de suo addidit Athenæus.

38.

E LIBRO QUADRAGESIMO NONO.

Idem IV, p. 168, D : Παρὰ δὲ Ῥωμαίοις μνημονεύεται, ὥς φησι Ποσειδώνιος ἐν τῇ ἐνάτῃ καὶ τεσσαρακοστῇ τῶν Ἱστοριῶν, Ἀπίκιόν τινα ἐπὶ ἀσωτίᾳ πάντας ἀνθρώπους ὑπερηκοντικέναι. Οὗτος δ' ἐστὶν Ἀπίκιος ὁ καὶ τῆς φυγῆς αἴτιος γενόμενος Ῥουτιλίῳ, τῷ τὴν Ῥωμαϊκὴν ἱστορίαν ἐκδεδωκότι τῇ Ἑλλήνων φωνῇ. Posidonius tamen de prioribus temporibus loquutus est, quum historiæ ejus nonnisi ad 96 a. C. descendant. Rutilius Rufus in exilium profectus est a. 93. a. u. c. 649 (v. Liv. Epit. 70; Vellej. II, 13; Cicero Brut. c. 30).

PARS ALTERA.

39.

Idem VI, p. 266, E : Νικόλαος (fr. 79) δ' ὁ περιπατητικὸς καὶ Ποσειδώνιος ὁ στωικὸς ἐν ταῖς Ἱστορίαις ἑκάτερος τοὺς Χίους φησὶν, ἐξανδραποδισθέντας ὑπὸ Μιθριδάτου τοῦ Καππάδοκος, παραδοθῆναι τοῖς

36.

Idem Posidonius, ubi de Heracleone exponit Beroense, qui, quum ab Antiocho rege, cui cognomen Grypus erat, ad dignitatem esset promotus, parum abfuit quin regno ejiceret benefactorem, hæc scribit, Historiarum quarto (?): « Cœnam exhibens militibus, discumbere eos humi sub dio jussit, per millenos distributos. Erat autem cœna, panis magnus et caro; potus autem, vinum qualecumque, frigida temperatum. Ministrabant autem viri gladiis cincti, et silentium erat modestum. »

37.

Ejusdem filius etiam, Alexander, sagina multa factus est obesior; is qui matrem suam, quum esset regni particeps, necavit. De quo scribit idem Posidonius, septimo et quadragesimo Historiarum libro, in hunc modum : « Ægypti dominus, exosus multitudini, sed assentationibus familiarium circumventus, multa in luxuria mollitieque vivebat, nec ambulare poterat, nisi duobus ministris suffultus incederet. At saltationes inter epulas idem, nudis pedibus e sublimibus lectulis prosiliens, acriori contentione peragebat, quam qui ad eas ex professo erant exercitati. »

38.

Apud Romanos, ut ait Posidonius quadragesimo nono Historiarum libro, Apicius quidam traditur homines omnes luxuria superasse. Est autem hic Apicius, quo auctore exilio damnatus est Rutilius, qui Romanam historiam Græco sermone scripsit.

39.

Nicolaus Peripateticus et Posidonius Stoicus suis in Historiis tradunt uterque Chios subjugatos a Mithridate Cappadoce propriis servis vinctos esse traditos, ut in Colchorum terram deportarentur. Ita vero illis succensuit deus, quod

ἰδίοις δούλοις δεδεμένους, ἵν' εἰς τὴν Κόλχων γῆν κατοικισθῶσιν. Οὕτως αὐτοῖς ἀληθῶς τὸ δαιμόνιον ἐμήνισε, πρώτοις χρησαμένοις ὠνητοῖς ἀνδραπόδοις, τῶν πολλῶν αὐτουργῶν ὄντων κατὰ τὰς διακονίας. Μήποτ' οὖν διὰ ταῦτα καὶ ἡ παροιμία, Χῖος δεσπότην ὠνήσατο, ᾗ κέχρηται Εὔπολις ἐν Φίλοις. Res pertinet ad annum 86. Plura de his vide apud Appian. Bell. Mithrid. c. 47.

40.

Plutarch. Mario c. 45, 3 : Ὕπατος μὲν οὖν ἀπεδείχθη τὸ ἕβδομον Μάριος καὶ προελθὼν αὐταῖς Καλάνδαις Ἰανουαρίαις, ἔτους ἀρχῇ, Σέξτον τινὰ Λικίνιον κατεκρήμνισεν· ὃ κἀκείνοις καὶ τῇ πόλει τῶν αὖθις ἐδόκει κακῶν γεγονέναι σημεῖον μέγιστον. Αὐτὸς δὲ ἤδη τοῖς τε πόνοις ἀπειρηκὼς καὶ ταῖς φροντίσιν οἷον ὑπέραντλος ὢν καὶ κατάπονος τὴν ψυχὴν πρὸς τοσαύτην αὖθις ἐπίνοιαν νέου πολέμου καὶ καινῶν ἀγώνων καὶ φόβων ὑπ' ἐμπειρίας δεινῶν καὶ καμάτου τρέμουσαν οὐκ ἀνέφερε, λογιζόμενος ὡς οὐ πρὸς Ὀκτάβιον οὐδὲ Μερουλᾶν σύγκλυδος ὁμίλου καὶ στασιώδους ὄχλου στρατηγοὺς ὁ κίνδυνος ἔσοιτο, Σύλλας δὲ ἐκεῖνος ἔπεισιν ὁ τῆς πατρίδος αὐτὸν ἐξελάσας πάλαι, νῦν δὲ Μιθριδάτην συνεσταλκὼς εἰς τὸν Εὔξεινον Πόντον. Ὑπὸ τοιούτων θραυόμενος λογισμῶν καὶ τὴν μακρὰν ἄλην αὐτοῦ καὶ φυγὰς καὶ κινδύνους διὰ γῆς καὶ θαλάττης ἐλαυνομένου λαμβάνων πρὸ ὀφθαλμῶν εἰς ἀπορίας ἐνέπιπτε δεινὰς καὶ νυκτερινὰ δείματα καὶ ταραχώδεις ὀνείρους, ἀεί τινος ἀκούειν φθεγγομένου δοκῶν,

> Δειναὶ γὰρ κοῖται καὶ ἀποιχομένοιο λέοντος.

Μάλιστα δὲ πάντων φοβούμενος τὰς ἀγρυπνίας ἐνέβαλεν εἰς πότους ἑαυτὸν καὶ μέθας ἀώρους καὶ παρ' ἡλικίαν, ὥσπερ ἀπόδρασιν τῶν φροντίδων τὸν ὕπνον μηχανώμενος. Τέλος δὲ ὡς ἧκέ τις ἀπαγγέλλων ἀπὸ θαλάσσης, νέοι προσπίπτοντες αὐτῷ φόβοι, τὰ μὲν δέει τοῦ μέλλοντος, τὰ δὲ ὥσπερ ἄχθει καὶ κόρῳ τῶν παρόντων, ῥοπῆς βραχείας ἐπιγενομένης εἰς νόσον κατηνέχθη πλευρῖτιν, ὡς ἱστορεῖ Ποσειδώνιος ὁ φιλόσοφος, αὐτὸς εἰσελθεῖν καὶ διαλεχθῆναι περὶ ὧν ἐπρέσβευεν ἤδη νοσοῦντι φάσκων αὐτῷ. Moritur Marius d. XIII Januar. an. 86 a. C. sec. Livium Epit. 80; die XVII Januar. sec. Plutarch. Mar. c. 46.

41.

Athenæus V, p. 211, D : Ὁ δ' Ἀλέξανδρος (sc. Bala) προσηνὴς ἦν ἐν πᾶσι, καὶ φιλόλογος ἐν ταῖς ὁμιλίαις, καὶ οὐχ ὅμοιος Ἀθηνίωνι τῷ περιπατητικῷ φιλοσόφῳ, τῷ καὶ διατριβῆς προστάντι φιλοσόφου Ἀθήνησί τε καὶ ἐν Μεσσήνῃ, ἔτι δὲ καὶ ἐν Λαρίσσῃ τῆς Θετταλίας, καὶ μετὰ ταῦτα τῆς Ἀθηναίων πόλεως τυραννήσαντι. Περὶ οὗ καθ' ἕκαστα ἱστορεῖ Ποσειδώνιος ὁ Ἀπαμεύς. Ἅπερ εἰ καὶ μακρότερά ἐστιν, ἐκθήσομαι, ἵν' ἐπιμελῶς πάντας ἐξετάζωμεν τοὺς φάσκοντας εἶναι φιλοσόφους, καὶ μὴ τοῖς τριβωνίοις καὶ τοῖς ἀκάρποις πώγωσι πιστεύωμεν. Κατὰ γὰρ τὸν Ἀγάθωνα,

> Εἰ μὲν φράσω τἀληθές, οὐχί σ' εὐφρανῶ·
> εἰ δ' εὐφρανῶ τί σ', οὐχὶ τἀληθὲς φράσω.

Ἀλλὰ φίλη, φασίν, ἡ ἀλήθεια· ἐκθήσομαι τὰ περὶ τὸν ἄνδρα, ὡς ἐγένετο.

« Ἐν τῇ Ἐρυμνέως τοῦ περιπατητικοῦ σχολῇ διέ-

primi servis usi essent pretio emptis, quum tamen plurimi præsto fuissent liberi homines, qui, quo victum sibi pararent, suam illis operam erant locaturi. Fortasse igitur inde etiam obtinuit proverbium, *Chius sibi dominum emit*, quo usus est Eupolis in fabula Amicis.

40.

Marius septimum consul est creatus : progressusque ipsis Januarii Kalendis, quendam Sext. Licinium de saxo præcipitavit; id quod Romanis urbique malorum, quæ post paulo evenerunt, evidens videbatur signum. At vero Marius jam et laboribus confectus curisque animo quasi oppresso et fatigato, erigere mentem ad tantas de novo bello recentibusque certaminibus et periculis atque laboribus (quorum omnium, jam ante ea expertus, molem noverat) cogitationes trepidantem, non valuit : veniebatque ei in animum non se cum Octavio aut Merula, promiscuæ turbæ factiosæque catervæ ducibus congressurum, sed Syllam adesse qui ipsum ante Roma ejecisset, et nunc compulso ad Euxinum Pontum Mithridate adduceret exercitum. His fractus cogitationibus longumque suum errorem, fugas et pericula, quæ mari terraque pulsus pertulerat, ante oculos sibi fingens, in anxietates incidit graves nocturnosque terrores et turbulenta somnia, semper aliquem audire putans, qui diceret :

> Terribile absentis adeo esse cubile leonis.

Maxime quoque insomnium metuens, potationibus se dedit, ebrietatique ab ætate sua alienæ indulsit, somnum veluti effugium sollicitudinum alliciens. Tandem a mari allato nuncio et novis insuper terroribus accidentibus, partim metu futurorum, partim præsentium fastidio atque molestia levi addito momento, in morbum laterum incidit : ita enim Posidonius narrat, qui se ad eum jam decumbentem intrasse, et legationem suam obivisse ait.

41.

Alexander (*Antiochi Epiphanis f.*) adversus omnes mitis ac lenis erat et in congressibus disputare de rebus ad literarum studia pertinentibus amabat, minime similis Athenioni philosopho Peripatetico; qui postquam scholæ quoque philosophicæ præfuerat Athenis, et Messenæ, atque etiam Larissæ in Thessalia, postremo tyrannus exstitit civitatis Atheniensium; de quo accurate et particulatim omnia scripsit Posidonius Apamensis. Quæ ego quamquam longiora sunt, exponam; quo diligentius cunctos explorare discamus, qui se philosophos esse profitentur, neque detritis palliis aut intonsis barbis temere fidem habeamus. Nam quod ait Agathon :

> Si vera dicam, gaudio tibi non ero :
> si gaudio sum, vera non dicam tibi.

Sed *amica*, ut in proverbio aiunt, *sit veritas* : exponam equidem hujus hominis historiam, uti res habet.

τριβέ τις Ἀθηνίων, προσκαρτερῶν τοῖς λόγοις· ὅστις Αἰγυπτίαν ὠνησάμενος θεράπαιναν, ἐπεπλέκετο αὐτῇ. Ταύτης οὖν, εἴτ' ἐξ αὐτοῦ τεκούσης, εἴτ' ἐξ ἄλλου τινὸς, ὁμώνυμος Ἀθηνίωνι τῷ δεσπότῃ παρετρέφετο. Γράμματα δὲ μαθὼν, καὶ πρεσβύτην γενόμενον τὸν δεσπότην μετὰ τῆς μητρὸς ἐχειραγώγει, καὶ ἀποθανόντα κληρονομήσας, παρέγγραφος Ἀθηναίων πολίτης ἐγένετο. Γήμας τε παιδισκάριον εὔμορφον, μετὰ τούτου πρὸς τὸ σοφιστεύειν ὥρμησε, μειράκια σχολαστικὰ θηρεύων. Καὶ σοφιστεύσας ἐν Μεσσήνῃ κἀν Λαρίσσῃ τῇ Θετταλικῇ, καὶ πολλὰ ἐργασάμενος χρήματα, ἐπανῆλθεν εἰς τὰς Ἀθήνας. Καὶ χειροτονηθεὶς ὑπὸ τῶν Ἀθηναίων πρεσβευτὴς, ὅτε εἰς Μιθριδάτην τὰ πράγματα μετέρρει, ὑποδραμὼν τὸν βασιλέα, τῶν φίλων εἷς ἐγένετο, μεγίστης τυχὼν προαγωγῆς. Διόπερ μετεώριζε τοὺς Ἀθηναίους δι' ἐπιστολῶν, ὡς τὰ μέγιστα παρὰ τῷ Καππαδόκῃ δυνάμενος, ὥστε μὴ μόνον τῶν ἐπιφερομένων ὀφλημάτων ἀπολυθέντας ἐν ὁμονοίᾳ ζῆν, ἀλλὰ καὶ τὴν δημοκρατίαν ἀνακτησαμένους καὶ δωρεῶν μεγάλων τυχεῖν ἰδίᾳ καὶ δημοσίᾳ. Ταῦτα οἱ Ἀθηναῖοι διεκόμπουν, τὴν Ῥωμαίων ἡγεμονίαν καταλελύσθαι πεπιστευκότες.

« Ἤδη οὖν τῆς Ἀσίας μεταβεβλημένης, ὁ Ἀθηνίων ἐπανῆγεν εἰς τὰς Ἀθήνας, καὶ ὑπὸ χειμῶνος ἐνοχληθεὶς εἰς τὴν Καρυστίαν κατηνέχθη. Τοῦτο μαθόντες οἱ Κεκροπίδαι ἔπεμψαν ἐπὶ τὴν ἀνακομιδὴν αὐτοῦ ναῦς μακρὰς καὶ φορεῖον ἀργυρόπουν. Ἀλλ' εἴσεισιν ἤδη καὶ σχεδὸν τὸ πλεῖστον μέρος τῆς πόλεως ἐπὶ τὴν ἐκδοχὴν αὐτοῦ ἐξεκέχυτο· συνέτρεχον δὲ πολλοὶ καὶ ἄλλοι θεαταὶ, τὸ παράδοξον.τῆς τύχης θαυμάζοντες, εἰ ὁ παρέγγραφος Ἀθηνίων εἰς Ἀθήνας ἐπ' ἀργυρόποδος κατακομίζεται φορείου καὶ πορφυρῶν στρωμάτων ὁ μηδέποτε ἐπὶ τοῦ τρίβωνος ἑωρακὼς πορφύραν πρότερον, οὐδενὸς οὐδὲ Ῥωμαίων ἐν τοσαύτῃ φαντασίᾳ καταχλιδῶντος τῆς Ἀττικῆς. Συνέτρεχον οὖν πρὸς τὴν θέαν ταύτην ἄνδρες, γυναῖκες, παῖδες, τὰ κάλλιστα προσδοκῶντες παρὰ Μιθριδάτου, ὁπότε Ἀθηνίων ὁ πένης καὶ τὰς ἐρανικὰς ποιησάμενος ἀκροάσεις διὰ τὸν βασιλέα σιληπορδῶν διὰ τῆς χώρας καὶ πόλεως πομπεύει. Συνήντησαν δ' αὐτῷ καὶ οἱ περὶ τὸν Διόνυσον τεχνῖται, τὸν ἄγγελον τοῦ νέου Διονύσου καλοῦντες ἐπὶ τὴν κοινὴν ἑστίαν καὶ τὰς περὶ ταύτην εὐχάς τε καὶ σπονδάς. Ὁ δὲ πρότερον ἐκ μισθωτῆς οἰκίας ἐξιὼν εἰς τὴν Δι... οἰκίαν, τοῦ τότε πλουτοῦντος ἀνθρώπου ταῖς ἐκ Δήλου προσόδοις, εἰσηνέχθη κεκοσμημένην στρωμναῖς τε καὶ γραφαῖς καὶ ἀνδριᾶσι καὶ ἀργυρωμάτων ἐκθέσει. Ἀφ' ἧς ἐξῄει χλαμύδα λαμπρὰν ἐκσύρων, καὶ περικείμενος δακτύλιον χρυσίου, ἐγγεγλυμμένην ἔχοντα τὴν Μιθριδάτου εἰκόνα· προεπόμπευον δ' αὐτοῦ καὶ ἐφείποντο θεράποντες πολλοί. Ἐν δὲ τῷ τεμένει τῶν τεχνιτῶν θυσίαι τ' ἐπετελοῦντο ἐπὶ τῇ Ἀθηνίωνος παρουσίᾳ, καὶ μετὰ κήρυκος προαναφωνήσεως σπονδαί. Καὶ τῇ ὑστεραίᾳ πολλοὶ μὲν ἐπὶ τὴν οἰκίαν ἐλθόντες ἀνέμενον αὐτοῦ τὴν πρόοδον· πλήρης δ' ἦν καὶ ὁ Κεραμεικὸς ἀστῶν καὶ ξένων, καὶ αὐτόκλητος εἰς τὴν ἐκκλησίαν τῶν ὄχλων συνδρομή. Ὁ δὲ μόλις προῆλθε

« In Erymnei Peripatetici schola versabatur quidam Athenio, doctrinæ sedulam dans operam. Is postquam Ægyptiam emisset famulam, cum ea consuetudinem habebat. Ex hac igitur, sive ex ipsius complexu, sive ex nescio cujus, natus ejusdem cum Athenione nominis servulus, in ejus domo educabatur. Qui quum didicisset literas, et senem jam dominum cum matre manu ducere solitus esset, mortuo illi hæres successit, et adscriptitius civis Atheniensis factus est. Deinde in matrimonium ducta formosa puella, simul cum ea ad docendas literas se contulit, adolescentes venans qui scholam ipsius frequentarent. Igitur literarum doctrinam professus quum Messenæ, tum Larissæ in Thessalia, multa comparata pecunia, Athenas rediit. Ibi populi suffragiis nominatus legatus ad Mithridatem, cujus tunc maxime eminebat potentia, ita se insinuavit in regis benevolentiam, ut in amicorum numerum ab eo receptus, summo in honore apud eum haberetur. Itaque ad rerum novarum spem animos erexit Atheniensium, crebris missis epistolis; quibus, pro summa qua apud Cappadocem ipse valeret auctoritate, fore pollicebatur, ut non modo mulctis irrogatis liberati in pace et concordia viverent, sed et restituta populi potestate magna insuper munera et privatim et publice essent nacturi. Quibus promissis fastuose gloriabantur Athenienses, jamjam eversam esse Romanorum potentiam sibi persuadentes.

« Quum jam Asia omnis ad regem defecisset, Athenas reversus est Athenio : sed tempestate jactatus, Carystum delatus est. Id ubi resciverunt Cecropidæ, mittunt ad eum deducendum naves longas, et lecticam argenteis pedibus fultam. Sed jam ille urbem intrat : et plurima fere civium pars ad eum excipiendum effusa erat : confluebatque simul aliorum multitudo spectatorum, inopinatum mirantium fortunæ lusum, adscriptitium Athenionem Athenas intrantem, lectica gestatum argenteis ornata pedibus, et purpureis stragulis strata; eum qui trito pallio vestitus purpuram nunquam antea vidisset; quum nullus ne Romanus quidem tanto fastu Atticæ terræ insultasset. Confluebant igitur ad id spectaculum viri, mulieres, pueri, lætissima quæque a Mithridate exspectantes : interea dum Athenio, quondam inops, et opera quæstuaria ludimagister, regis favore nixus per regionem et urbem cum insolenti lascivia pompam ducit. Obviam ei processerant etiam artifices Bacchi (scenici), nuncium novi Bacchi ad communem focum et preces libationesque ibi peragendas vocantes. Et qui olim ex ædibus mercede conductis egressus erat, nunc in Di... domum, hominis Deli reditibus omnium ditissimi, deductus est, stragulis, picturis, statuis et argenteorum vasorum expositione splendentem : e qua exibat nitentem chlamydem trahens, et aureum annulum gestans, cui Mithridatis insculpta effigies erat : et comitabatur eum sequebaturque famulorum multitudo. In delubro vero (scenicorum) artificum sacrificia peragebantur, et libationes præconis voce proclamatæ, adventus causa Athenionis. Et postero die hominum multitudo ad ædes conveniebant, egressum ejus exspectantes : et repletus erat Ceramicus civibus et peregrinis; eratque spontaneus, nemine indicente, ad concionem

δορυφορούμενος ὑπὸ τῶν εὐδοκιμεῖν παρὰ τῷ δήμῳ θελόντων, ἑκάστου σπεύδοντος κἂν προσάψασθαι τῆς ἐσθῆτος.

« Ἀναβὰς οὖν ἐπὶ τὸ βῆμα τὸ πρὸ τῆς Ἀττάλου στοᾶς ᾠκοδομημένον τοῖς Ῥωμαίων στρατηγοῖς, στὰς ἐπὶ τούτου καὶ περιβλέψας κυκληδὸν τὸ πλῆθος, ἔπειτ' ἀναβλέψας, « Ἄνδρες Ἀθηναῖοι, ἔφη, τὰ πράγματά με βιάζεται καὶ τὸ τῆς πατρίδος συμφέρον, ἀπαγγέλλειν ἃ οἶδα. Τὸ δὲ μέγεθος τῶν μελλόντων λέγεσθαι, διὰ τὸ παράδοξον τῆς περιστάσεως, ἐμποδίζει με. » Ἀθρόως δ' ἐπιβοησάντων αὐτῷ τῶν περιεστώτων, θαρρεῖν καὶ λέγειν· « Λέγω τοίνυν, ἔφη, τὰ μηδέποτε ἐλπισθέντα, μηδ' ἐν ὀνείρῳ φαντασθέντα. Βασιλεὺς Μιθριδάτης κρατεῖ μὲν Βιθυνίας καὶ τῆς ἄνω Καππαδοκίας, κρατεῖ δὲ τῆς συνεχοῦς Ἀσίας ἁπάσης ἄχρι Παμφυλίας καὶ Κιλικίας. Καὶ βασιλεῖς μὲν αὐτὸν Ἀρμενίων καὶ Περσῶν δορυφοροῦσι· δυναστεύει δὲ τῶν περὶ τὴν Μαιῶτιν καὶ τὸν ὅλον Πόντον κατῳκισμένων ἐθνῶν ἐν περιμέτρῳ τρισμυρίων σταδίων. Ῥωμαίων δὲ στρατηγὸς μὲν Παμφυλίας Κόϊντος Ὄππιος παραδοθεὶς ἀκολουθεῖ δέσμιος, Μάνιος δὲ Ἀκύλλιος, ὁ ὑπατευκώς, ὁ τὸν ἀπὸ Σικελίας καταγαγὼν θρίαμβον, συνδέτην ἔχων ἁλύσει μακρᾷ Βαστάρνην πεντάπηχυν, πεζὸς ὑπὸ ἱππέως ἕλκεται. Τῶν δ' ἄλλων Ῥωμαίων οἱ μὲν θεῶν ἀγάλμασι προσπεπτώκασιν, οἱ δὲ λοιποὶ μεταμφιεσάμενοι τετράγωνα ἱμάτια, τὰς ἐξ ἀρχῆς πατρίδας πάλιν ὀνομάζουσι. Πᾶσα δὲ πόλις ταῖς ὑπὲρ ἄνθρωπον τιμαῖς ὑπαντῶσα καταχαλεῖται τὸν θεὸν βασιλέα· χρησμοὶ δὲ πάντοθεν τὸ κράτος τῆς οἰκουμένης θεσπιῳδοῦσι. Διὸ καὶ πρὸς τὴν Θρᾴκην καὶ τὴν Μακεδονίαν μεγάλα πέμπεται στρατόπεδα, καὶ τὰ τῆς Εὐρώπης ἅπαντα μέρη ἀθρόα εἰς αὐτὸν μεταβέβληται. Πάρεισι γὰρ πρὸς αὐτὸν πρέσβεις οὐ μόνον ἐκ τῶν Ἰταλικῶν ἐθνῶν, ἀλλὰ καὶ παρὰ Καρχηδονίων, συμμαχεῖν ἀξιοῦντες ἐπὶ τὴν τῆς Ῥώμης ἀναίρεσιν. »

« Μικρὸν δ' ἐπισχὼν ἐπὶ τούτοις, καὶ ἐάσας τοὺς πολλοὺς συλλαλῆσαι περὶ τῶν παραδόξως προηγγελμένων, τρίψας τὸ μέτωπον, « Τί οὖν, εἶπε, συμβουλεύω; μὴ ἀνέχεσθαι τῆς ἀναρχίας, ἣν ἡ Ῥωμαίων σύγκλητος ἐπισχεθῆναι πεποίηκεν, ἕως αὐτὴ δοκιμάσῃ περὶ τοῦ πῶς ἡμᾶς πολιτεύεσθαι δεῖ. Καὶ μὴ περιίδωμεν τὰ ἱερὰ κεκλεισμένα, αὐχμῶντα δὲ τὰ γυμνάσια, τὸ θέατρον ἀνεκκλησίαστον, ἄφωνα δὲ τὰ δικαστήρια, καὶ τὴν θεῶν χρησμοῖς καθωσιωμένην πύκν' ἀφῃρημένην τοῦ δήμου. Μὴ περιίδωμεν δὲ, ἄνδρες Ἀθηναῖοι, τὴν ἱερὰν τοῦ Ἰάκχου φωνὴν κατασεσιγασμένην, καὶ τὸ σεμνὸν ἀνάκτορον τοῖν θεοῖν κεκλεισμένον, καὶ τῶν φιλοσόφων τὰς διατριβὰς ἀφώνους. » Πολλῶν οὖν καὶ ἄλλων τοιούτων λεχθέντων ὑπὸ τοῦ οἰκότριβος, συλλαλήσαντες αὑτοῖς οἱ ὄχλοι, καὶ συνδραμόντες εἰς τὸ θέατρον, εἵλοντο τὸν Ἀθηνίωνα στρατηγὸν ἐπὶ τῶν ὅπλων. Καὶ παρελθὼν ὁ περιπατητικὸς εἰς τὴν ὀρχήστραν, ἴσα βαίνων Πυθοκλεῖ, εὐχαρίστησέ τε τοῖς Ἀθηναίοις, καὶ ἔφη διότι « Νῦν ὑμεῖς ἑαυτῶν στρατηγεῖτε, προέστηκα δ' ἐγώ. Καὶ ἂν συνεπισχύσητε, τοσοῦτον δυνήσομαι, ὅσον κοινῇ πάντες ὑμεῖς. » Ταῦτ' εἰπὼν συγκατέστησεν

---

concursus. Ille vero ad extremum egressus est, stipatus ab iis qui populi favorem captabant : et magni faciebat quisque, si vel vestimenta hominis contrectare posset.

« Jam postquam tribunal conscenderat, quod ante Attali porticum prætoribus Romanis fuerat exstructum; in eo stans, primum in orbem circumtulit oculos in præsentem multitudinem; deinde sursum spectans, sic exorsus est : « Res ipsa me cogit, Athenienses, et patriæ utilitas, ut quæ comperta habeo, ea enunciem. Sed eorum, quæ dicenda sunt, magnitudo, quum prorsus incredibilis sit hæc rerum conversio, me retinet. » Tum vero una voce cunctis qui circumstabant, « fidenter proloqueretur, » clamantibus, in hunc modum perrexit : « Dicam igitur, inquit, quæ præter omnium acciderunt opinionem, quæque nemo ne per somnium quidem sibi fingere poterat. Rex Mithridates Bithyniam obtinet et superiorem Cappadociam; obtinetque continentem omnem Asiam, ad Pamphyliam usque et Ciliciam. Armeniorum reges Persarumque pro custodibus corporis habet; dominaturque populis omnibus qui circa Mæotim totumque Pontum in tricies mille stadiorum circuitu habitant. Romanus vero Pamphyliæ prætor, Quintus Oppius, traditus vinctusque sequitur eum. Manius Aquillius, vir consularis, is qui de Sicilia triumphum egit, pedes ab equite trahitur, cum Bastarna, quinque cubitorum homine, longa catena colligatus. Ceterorum Romanorum civium alii ad deorum simulacra procubuerunt; reliqui, sumpta denuo quadrata veste, priorem quisque patriam rursus fatentur. Cunctæ autem civitates augustiore honore quam pro mortalium sorte regem prosequentes, deum illum invocant; et oracula undique imperium orbis eidem vaticinantur. Igitur numerosi exercitus adversus Thraciam Macedoniamque ab eo mittuntur; et omnes Europæ partes certatim ad ejusdem partes transierunt. Sunt enim apud eum legati, non modo ab Italicis populis missi, verum etiam a Carthaginiensibus, ad societatem armorum eum invitantes in Romanorum exitium. »

(3) Αὐτὸς δὲ διαιρῶν εἰς τὰς ζώνας (cf. fr. 71-74) πέντε μέν φησιν εἶναι χρησίμους πρὸς τὰ οὐράνια. Τούτων δὲ περισκίους δύο τὰς ὑπὸ τοῖς πόλοις μέχρι τῶν ἐχόντων τοὺς τροπικοὺς ἀρκτικοὺς, ἑτεροσκίους δὲ τὰς ἐφεξῆς ταύταις δύο μέχρι τῶν ὑπὸ τοῖς τροπικοῖς οἰκούντων, ἀμφίσκιον δὲ τὴν μεταξὺ τῶν τροπικῶν. Πρὸς δὲ τὰ ἀνθρώπεια ταύτας τε καὶ δύο ἄλλας στενὰς τὰς ὑπὸ τοῖς τροπικοῖς, καθ' ἃς ἥμισύ πως μηνὸς κατὰ κορυφήν ἐστιν ὁ ἥλιος, δίχα διαιρουμένας ὑπὸ τῶν τροπικῶν. Ἔχειν γάρ τι ἴδιον τὰς ζώνας ταύτας, αὐχμηράς τε ἰδίως καὶ ἀμμώδεις ὑπαρχούσας καὶ ἀφόρους πλὴν σιλφίου καὶ πυρωδῶν τινων καρπῶν συγκεκαυμένων. Ὄρη γὰρ μὴ εἶναι πλησίον, ὥστε τὰ νέφη προσπίπτοντα ὄμβρους ποιεῖν, μηδὲ δὴ ποταμοῖς διαρρεῖσθαι· διόπερ οὐλότριχας καὶ οὐλόκερως καὶ προχείλους καὶ πλατύρρινας γεννᾶσθαι· τὰ γὰρ ἄκρα αὐτῶν συστρέφεσθαι· καὶ τοὺς ἰχθυοφάγους δὲ κατὰ ταύτας τὰς ζώνας οἰκεῖν. Ὅτι δὲ ταῦτ' ἴδια τῶν ζωνῶν τούτων δηλοῦν φησι τὸ τοὺς νοτιωτέρους αὐτῶν ἔχειν τὸ περιέχον εὐκρατότερον καὶ τὴν γῆν καρπιμωτέραν καὶ εὐυδροτέραν.

In sequentibus (p. 96 et 97) Strabo rationem

---

nidem fuisse ait; sed hunc adustam zonam duplo fere latiorem quam oportebat statuere, quum eam extra tropicos producat utrinque usque ad temperatas zonas : Aristotelem autem vocare torridam eam quæ inter tropicos est, eas autem quæ inter tropicos et arcticos circulos intercipiuntur, temperatas. Horum utrumque merito reprehendit. Torrida nempe zona (inquit) ea dicitur quæ habitari ob æstum non potest : at amplius dimidio ejus latitudinis quæ tropicis includitur non posse habitari, argumento sunt supra Ægyptum incolentes Æthiopes. Nimirum enim dimidium totius latitudinis est, quod utrinque ab æquatore ad tropicos pertinet. In ea latitudine a Syena, qui est limes æstivi tropici, ad Meroen stadia sunt quinquies mille : atque inde ad Cinnamomiferæ regionis parallelum, qui initium est zonæ torridæ, tria stadiorum millia : totiusque hujus intervalli dimensio haberi potest, quum et navigetur et peragretur. Quod autem restat, usque ad æquatorem inquam, id ex dimensione terræ ab Eratosthene tradita cognoscitur stadiorum esse octies mille et octingentorum. Quæ igitur ratio est sex millium et octingentorum ad octo millia et octingenta, ea erit spatii inter tropicos intercepti ad latitudinem torridæ. Quodsi recentiorum dimensionum ea introducatur, quæ minimam facit terram, qualem Posidonius refert centum et octoginta millium, ea torridam zonam spatii ejus quod est inter tropicos aut semissem circiter, aut semisse non multo majorem ostendet, æqualem et eandem minime. Jam quum arcti circuli neque sint apud omnes, neque ubi sunt, iidem omnibus sint, quomodo iis poterunt zonæ temperatæ distingui, quæ quidem sunt immutabiles? Id quidem ad refellendum nihil facit, quod arctici non sunt ubique : nam apud eos exsistant omnes necesse est qui temperatis zonis inhabitant, de quibus quidem solis temperata zona dicitur. Id autem recte ad refellendum adhibetur, quod sunt hi non iidem ubique, sed variantur.

(3) Ipse zonas dividens, quinque ait utiles esse ad res cœlestes : ex his duas periscios, sub polis usque ad eos quibus tropicus est pro arctico : inde duas heteroscios, quæ ab his sunt usque ad habitantes sub ipsis tropicis : tum unam amphiscion, quæ est spatium tropicis inclusum habitantium. Ad humanas autem res adhiberi vult quum has, tum alias duas arctas sub tropicis, et ab iis per medium diversas, secundum quas semissem mensis sol vertici incolarum imminet. Has enim zonas habere quippiam peculiare, quod et singulariter siccæ et arenosæ sint, et nullius rei feraces præterquam silphii et frugum quarundam tritico similium, sed adustarum : nam neque montes esse in propinquo, ut nubium concursu imbres fieri possint, neque amnibus eas rigari. Itaque villosa ibi, admodum cornuta, labiis promissis et latis nasis animalia nasci; extrema enim eorum contorqueri : et Ichthyophagos iis in zonis habitare. Atque hæc propria esse istarum zonarum inde liquere, quod qui vicinius austro habitant, aerem habent melius temperatum, solumque fertilius et magis irriguum.

Quodsi (ut ait Eratosthenes) plaga quædam temperata

exponit, qua Polybius non quinque verum sex zonas distinxerit. Eam disputationem hisce concludit verbis : Εἰ δ' ὥσπερ Ἐρατοσθένης φησὶν, ἡ ὑποπίπτουσα τῷ ἰσημερινῷ ἐστιν εὔκρατος, καθάπερ καὶ Πολύβιος ὁμοδοξεῖ (προστίθησι δ' οὗτος καὶ διότι ὑψηλοτάτη ἐστί· διόπερ καὶ κατομβρεῖται, τῶν βορείων νεφῶν κατὰ τοὺς ἐτησίας ἐκεῖ τοῖς ἀναστήμασι προσπιπτόντων πλείστων), πολὺ κρεῖττον τρίτην (τὴν) εὔκρατον ταύτην ποιεῖν στενήν τινα, ἢ τὰς ὑπὸ τοῖς τροπικοῖς εἰσάγειν. Συνηγορεῖ δὲ τούτοις καὶ τὰ τοιαῦτα, ὧν μέμνηται καὶ Ποσειδώνιος, τὸ ἐκεῖ τὰς μεταστάσεις ὀξυτέρας εἶναι τὰς εἰς τὰ πλάγια, ὡς δ' αὔτως καὶ τὰς ἀπ' ἀνατολῆς ἐπὶ δύσιν τοῦ ἡλίου· ὀξύτεραι γὰρ αἱ κατὰ μεγίστου κύκλου τῶν ὁμοταχῶν κινήσεων.

(4) Ἐνίσταται δ' ὁ Ποσειδώνιος τῷ Πολυβίῳ, διότι φησὶ τὴν ὑπὸ τῷ ἰσημερινῷ οἴκησιν ὑψηλοτάτην· οὐδὲν γὰρ εἶναι κατὰ τὴν σφαιρικὴν ἐπιφάνειαν ὕψος διὰ τὴν ὁμαλότητα, οὐδὲ δὴ ὀρεινὴν εἶναι τὴν ὑπὸ τῷ ἰσημερινῷ, ἀλλὰ μᾶλλον πεδιάδα ἰσόπεδόν πως τῇ ἐπιφανείᾳ τῆς θαλάττης· τοὺς δὲ πληροῦντας τὸν Νεῖλον ὄμβρους ἐκ τῶν Αἰθιοπικῶν ὀρῶν συμβαίνειν. Ταῦτα δ' εἰπὼν ἐνταῦθα ἐν ἄλλοις συγχωρεῖ, φήσας ὑπονοεῖν ὄρη εἶναι τὰ ὑπὸ τῷ ἰσημερινῷ, πρὸς ἃ ἑκατέρωθεν ἀπὸ τῶν εὐκράτων ἀμφοῖν προσπίπτοντα τὰ νέφη ποιεῖν τοὺς ὄμβρους. Αὕτη μὲν οὖν ἡ ἀνομολογία φανερά· ἀλλὰ καὶ δοθέντος τοῦ ὀρεινὴν εἶναι τὴν ὑπὸ τῷ ἰσημερινῷ, ἄλλη τις ἀνακύπτειν ἂν δόξειεν. Οἱ γὰρ αὐτοὶ σύρρουν φασὶν εἶναι τὸν ὠκεανόν· πῶς οὖν ὄρη κατὰ μέσον ἱδρύουσιν αὐτόν; πλὴν εἰ νήσους τινὰς βούλονται λέγειν. Ὅπως δὲ [δὴ] ποτε τοῦτ' ἔχει, τῆς γεωγραφικῆς μερίδος ἔξω πίπτει· δοτέον δ' ἴσως τῷ προθεμένῳ τὴν περὶ ὠκεανοῦ πραγματείαν ταῦτ' ἐξετάζειν.

(5) Μνησθεὶς δὲ τῶν περιπλεῦσαι λεγομένων τὴν Λιβύην, Ἡρόδοτον μὲν οἴεσθαί φησιν ὑπὸ Δαρείου πεμφθέντας τινὰς τελέσαι τὸν περίπλουν· Ἡρακλείδην δὲ τὸν Ποντικὸν ἐν διαλόγῳ ποιεῖν ἀφιγμένον παρὰ Γέλωνι μάγον τινὰ περιπλεῦσαι φάσκοντα. Ἀμάρτυρα δὲ ταῦτ' εἶναι φήσας καὶ Εὔδοξόν τινα Κυζικηνὸν θεωρὸν καὶ σπονδοφόρον τοῦ τῶν Κορείων (Κορινθίων v. l.) ἀγῶνος ἐλθεῖν εἰς Αἴγυπτον ἱστορεῖ κατὰ τὸν δεύτερον Εὐεργέτην· συσταθῆναι δὲ καὶ τῷ βασιλεῖ καὶ τοῖς περὶ αὐτὸν καὶ μάλιστα κατὰ τοὺς ἀνάπλους τοῦ Νείλου, θαυμαστικὸν ὄντα τῶν τοπικῶν ἰδιωμάτων ἅμα καὶ οὐκ ἀπαίδευτον. Τυχεῖν δή τινα Ἰνδὸν κομισθέντα ὡς τὸν βασιλέα ὑπὸ τῶν φυλάκων τοῦ Ἀραβίου μυχοῦ, λεγόντων εὑρεῖν ἡμιθανῆ καταχθέντα μόνον ἐν νηΐ, τίς δ' εἴη καὶ πόθεν, ἀγνοεῖν, μὴ συνιέντας τὴν διάλεκτον· τὸν δὲ παραδοῦναι τοῖς διδάξουσιν ἑλληνίζειν. Ἐκμαθόντα δὲ διηγήσασθαι, διότι ἐκ τῆς Ἰνδικῆς πλέων περιπέσοι πλάνῃ καὶ σωθείη δεῦρο, τοὺς σύμπλους ἀποβαλὼν λιμῷ· ὑποληφθέντα δὲ ὑποσχέσθαι τὸν εἰς Ἰνδοὺς πλοῦν ἡγήσασθαι τοῖς ὑπὸ τοῦ βασιλέως προχειρισθεῖσι· τούτων δὲ γενέσθαι τὸν Εὔδοξον. Πλεύσαντα δὴ μετὰ δώρων ἐπανελθεῖν ἀντιφορτισάμενον ἀρώματα καὶ λίθους πολυτελεῖς, ὧν τοὺς μὲν καταφέρουσιν οἱ ποταμοὶ μετὰ τῶν ψήφων, τοὺς δ' ὀρυκτοὺς εὑρίσκουσι, πεπηγότας ἐξ ὑγροῦ, καθάπερ τὰ κρυστάλλινα παρ' ἡμῖν· διαψευσθῆναι δὲ

æquatori subjecta est (in quod etiam Polybius consentit, et addit quod, quum sit sublimissima, imbribus rigatur, quando flantibus Etesiis nubes a borea plurimæ eminentibus locis appelluntur), multo rectius esset tertiam hanc angustam zonam temperatam constituere quam tropicis subjectas admittere. His adstipulantur ista quoque, etiam a Posidonio commemorata, quod illic solis progressiones celeriores sunt, in obliquum factæ itemque ab ortu in occasum : nam motionum ejusdem ordinis celerrimæ sunt quæ fiunt maximo circulo.

(4) Reprehendit porro Posidonius Polybium, qui habitationem sub æquatore dixerit esse editissimam, quum neque in globosa superficie, utpote æquabili, altitudo locum habeat, neque montosa sit terra æquinoctiali subdita, sed campestris potius ac fere eadem cum mari planitie; quibus Nilus impletur imbribus, eos ex Æthiopicis decurrere montibus. Hæc ille hoc fatus loco, alibi concedit, inquiens se arbitrari montes esse id quod sub æquatore jacet, ad quos utrinque a temperatis plagis concurrant nubes, et imbres generent. Atque hæc quidem a se ipso dissensio est evidens. Præterea autem etiam hoc concesso, montosam esse regionem quæ substrata est æquatori, alia videtur emergere. Iidem enim in sese confluere oceanum affirmant : quomodo ergo in medio montes ponunt? nisi si insulas aliquas intelligi volunt. Utut res ea habet, extra geographiæ ea professionem cadit, sed ei fortasse qui de oceano tractationem instituerit, fuerit committenda.

(5) Facta deinde mentione eorum qui navigando Libyam ambiverint, scribit Herodotum in ea fuisse opinione, quosdam a Dario [*dicendum erat* Necone] missos ambitum istum confecisse; Heraclidem vero Ponticum in dialogo perhibere, magum quendam ad Gelonem venisse, qui se navigio circumivisse diceret : sed ea testibus carere ait, et narrat Eudoxum quendam Cyzicenum, sacrum legatum et inducias nunciantem caduceatorem in ludis solennibus Proserpinæ [*alii in ludis Corinthiorum Isthmicis*], in Ægyptum venisse, quo tempore Euergetes secundus regnum tenuit : eumque cum rege et ejus familiaribus sermones contulisse, maxime de sursum navigando Nilo, utpote hominem et admiratione eorum quæ singulis locis propria sunt præditum, neque ineruditum. Forte tum a custodibus Arabici sinus Indum quendam ad regem fuisse allatum, dicentibus eum semimortuum ab ipsis inventum fuisse in navi solum deprehensum, neque se scire quis aut cujas esset, quod sermonem ejus non intelligerent. Eum a rege mandatum iis qui Græcam eum linguam docerent : qua percepta hominem narrasse ex India se navigantem recto cursu excidisse, atque huc evasisse, sociis fame amissis : simulque pollicitum se navigationis ad Indos monstratorem fore iis quibus eam rem rex demandaret, quos inter et Eudoxus fuerit. Hunc ad Indos cum donis navigasse, et eorum loco reportasse aromata ac lapides pretiosos, quorum alios fluvii cum scrupis devehunt, alii effodiuntur concreti ex humore, ut apud nos crystalli. Ceterum Eudoxum sua fuisse spe

τῶν ἐλπίδων· ἀφελέσθαι γὰρ αὐτὸν ἅπαντα τὸν φόρτον τὸν Εὐεργέτην. Τελευτήσαντος δ' ἐκείνου τὸν βίον, Κλεοπάτραν τὴν γυναῖκα διαδέξασθαι τὴν ἀρχήν· πάλιν οὖν καὶ ὑπὸ ταύτης πεμφθῆναι τὸν Εὔδοξον μετὰ μείζονος παρασκευῆς. Ἐπανιόντα δ' ἀνέμοις παρενεχθῆναι ὑπὲρ τὴν Αἰθιοπίαν· προσφερόμενον δέ τισι τόποις ἐξοικειοῦσθαι τοὺς ἀνθρώπους μεταδόσει σιτίων τε καὶ οἴνου καὶ παλαθίδων, ὧν ἐκείνοις οὐ μετῆν, ἀντὶ δὲ τούτων ὑδρείας τε τυγχάνειν καὶ καθοδηγίας, ἀπογράφεσθαί τε τῶν ῥημάτων ἔνια. Εὑρόντα δ' ἀκρόπρῳρον ξύλινον ἐκ ναυαγίου ἵππον ἔχον ἐγγεγλυμμένον, πυθόμενον ὡς ἀπὸ τῆς ἑσπέρας πλεόντων τινῶν εἴη τὸ ναυάγιον τοῦτο, κομίζειν αὐτὸ ἀναστρέψαντα πρὸς τὸν οἰκεῖον πλοῦν. Σωθέντα δ' εἰς Αἴγυπτον, οὐκέτι τῆς Κλεοπάτρας ἡγουμένης, ἀλλὰ τοῦ παιδὸς, ἀφαιρεθῆναι πάλιν πάντα· φωραθῆναι γὰρ νενοσφισμένον πολλά. Τὸ δ' ἀκρόπρῳρον προφέροντα ἐς τὸ ἐμπόριον, δεικνύναι τοῖς ναυκλήροις, γνῶναι δὲ Γαδειριτῶν ὄν. Τούτων γὰρ τοὺς μὲν ἐμπόρους μεγάλα στέλλειν πλοῖα, τοὺς δὲ πένητας μικρὰ, ἃ καλεῖν ἵππους, ἀπὸ τῶν ἐν ταῖς πρῴραις ἐπισήμων· τούτους δὲ πλεῖν μέχρι τοῦ Λίξου ποταμοῦ περὶ τὴν Μαυρουσίαν ἁλιευομένους· ἀλλὰ τῶν δὴ ναυκλήρων τινὰς γνωρίσαι τὸ ἀκρόπρῳρον ἑνὸς τῶν ἀπὸ τοῦ Λίξου ποταμοῦ πορρώτερον πλευσάντων καὶ μὴ σωθέντων ὑπάρξαν. Ἐκ δὲ τούτου συμβαλόντα τὸν Εὔδοξον, ὡς δυνατὸς εἴη ὁ περίπλους ὁ Λιβυκὸς, πορευθέντα οἴκαδε τὴν οὐσίαν ἐνθέμενον πᾶσαν ἐξορμῆσαι. Καὶ πρῶτον μὲν εἰς Δικαιαρχίαν, εἶτ' εἰς Μασσαλίαν ἐλθεῖν, καὶ τὴν ἑξῆς παραλίαν μέχρι Γαδείρων, πανταχοῦ δὲ διακωδωνίζοντα ταῦτα καὶ χρηματιζόμενον κατασκευάσασθαι πλοῖον μέγα καὶ ἐφόλκια δύο λέμβοις λῃστρικοῖς ὅμοια, [οἷς] ἐμβιβάσασθαι μουσικὰ παιδισκάρια καὶ ἰατροὺς καὶ ἄλλους τεχνίτας, ἔπειτα πλεῖν ἐπὶ τὴν Ἰνδικὴν μετέωρον ζεφύροις συνεχέσι. Καμνόντων δὲ τῷ πλῷ τῶν συνόντων, ἄκοντα ἐπουρίσαι πρὸς γῆν, δεδοικότα τὰς πλημμυρίδας καὶ τὰς ἀμπώτεις. Καὶ δὴ καὶ συμβῆναι ὅπερ ἐδεδίει· καθίσαι γὰρ τὸ πλοῖον, ἡσυχῆ δὲ, ὥστε μηδ' ἀθροῦν διαλυθῆναι, ἀλλὰ φθῆναι τὰ φορτία σωθέντα εἰς γῆν καὶ τῶν ξύλων τὰ πλεῖστα· ἐξ ὧν τρίτον λέμβον συμπηξάμενον πεντηκοντόρῳ πάρισον πλεῖν, ἕως ἀνθρώποις συνέμιξε τὰ αὐτὰ ῥήματα φθεγγομένοις, ἅπερ πρότερον ἀπογέγραπται· ἅμα δὲ τοῦτό γε γνῶναι, ὅτι τε οἱ ἐνταῦθα ἄνθρωποι ὁμοεθνεῖς εἶεν τοῖς Αἰθίοψιν ἐκείνοις, καὶ ὅτι ὁμοροῖεν τῇ Βόγου βασιλείᾳ. Ἀφέντα δὴ τὸν ἐπὶ Ἰνδοὺς πλοῦν ἀναστρέφειν· ἐν δὲ τῷ παράπλῳ νῆσον εὔυδρον καὶ εὔδενδρον ἐρήμην ἰδόντα σημειώσασθαι. Σωθέντα δὲ εἰς τὴν Μαυρουσίαν, διαθέμενον τοὺς λέμβους πεζῇ κομισθῆναι πρὸς τὸν Βόγον καὶ συμβουλεύειν αὐτῷ τὴν ναυστολίαν ἐπανελέσθαι ταύτην, ἰσχῦσαι δ' εἰς τἀναντία τοὺς φίλους ὑποτείνοντας φόβον, μὴ συμβῇ τὴν χώραν εὐεπιβούλευτον γενέσθαι, δειχθείσης παρόδου τοῖς ἔξωθεν ἐπιστρατεύειν ἐθέλουσιν. Ὡς δ' ἐπύθετο λόγῳ μὲν πεμπόμενον ἑαυτὸν ἐπὶ τὴν ἀναδειχθεῖσαν ναυστολίαν, ἔργῳ δ' ἐκτεθησόμενον εἰς ἐρήμην τινὰ νῆσον, φυγεῖν εἰς τὴν Ῥωμαίων ἐπικράτειαν, κἀκεῖθεν εἰς τὴν Ἰβηρίαν διᾶραι. Πάλιν δὲ κατασκευασάμενον στρόγγυλον πλοῖον καὶ μακρὸν πεντη-

---

falsum, Euergeta quidquid navi advexerat adimente. Mortuo Euergeta, uxorem ejus Cleopatram regnum tenuisse, rursumque ab hac missum Eudoxum majore cum apparatu, in reditu ventis supra Æthiopiam fuisse delatum : ubi quum ad quædam loca appulisset, animos incolentium sibi conciliasse frumenti, vini et caricarum largitione, quibus illi carebant, ab iisque contra aquam et navigationis duces accepisse, et vocabula quædam descripsisse. Quumque invenisset ligneam summitatem proræ e naufragio superstitem, equoque insculpto insignem, idque cujusdam navis ab occasu advecti naufragium esse inaudivisset, secum in reditu detulisse, salvumque in Ægyptum rediisse : ubi filio jam Cleopatræ suffecto in regnum, denuo omnibus spoliatum fuisse, comperto multa ipsum intervertisse. Proræ autem summitatem ab ipso in emporium delatam, naucleriisque exhibitam; fuisseque ab his edoctum, Gaditanæ esse id navis : nam Gaditanorum mercatores ingentibus uti navibus, pauperes parvis, quas equos appellent a proræ insignibus, iisque eos piscandi gratia usque ad Lixum amnem circa Maurusiam navigare : atque adeo quosdam nauclerorum agnovisse lignum illud unius eorum fuisse, qui ulterius a Lixo fluvio navigarant, neque reversi fuerant. Ex his Eudoxum collegisse, posse Libyam navigio circumiri : ita domum revertisse, omnibusque suis facultatibus impositis navigationem instituisse, et primum Dicæarchiam, inde Massiliam, ac reliqua deinde ora maritima navigata Gades pervenisse. Ubique autem divulgato instituto, rem fecisse, magnaque navi comparata, et duabus scaphis lemborum piraticorum similibus, impositis pueris symphoniacis, medicis, aliisque artificibus, Indiam versus per altum navigasse, subvectum continentibus Favoniis. Iis autem qui una vehebantur ex navigatione defessis, invitum ad terram secundo vento appulisse, metuentem sibi a maris æstuum vicibus; et evenisse id quod metuerat : subsedisse enim navim, sensim tamen, neque subito fuisse solutam, sed et merces prius, et lignorum deinde majorem partem in terram fuisse egestam. Quibus eum e lignis tertium confecisse lembum, assimilem quinquaginta remorum navi, et navigasse usque ad eos homines, qui sermone uterentur qualem ante litteris ab eo fuisse consignatum retulimus : quod simul senserit, simul etiam certiorem se factum, hos ejusdem cum illis Æthiopibus gentis esse, et esse vicinos Bogi regno. Inde omissa ad Indos navigatione eum revertisse, interque navigandum annotasse insulam desertam, quam aqua et arboribus bene instructam vidisset. Hinc quum in Maurusiam incolumis pervenisset, divenditis lembis, terrestri itinere ad Bogum ivisse, eique suscipiendæ hujus navigationis auctorem fuisse : vicisse tamen sententiam familiarium, qui monebant metuendum esse ne ditio hæc ita insidiis aliorum opportuna reddatur, commonstrato aditu iis qui extrinsecus bellum inferre vellent. Itaque se, quum audiret verbis se ad eam destinari navigationem, futurum autem ut in desertam aliquam exponeretur insulam, in Romanorum effugisse provinciam, indeque in Iberiam navigasse. Tum

κόντορον, ὥστε τῷ μὲν πελαγίζειν, τῷ δὲ πειρᾶσθαι τῆς γῆς, ἐνθέμενον γεωργικὰ ἐργαλεῖα καὶ σπέρματα καὶ οἰκοδόμους ὁρμῆσαι πρὸς τὸν αὐτὸν περίπλουν· διανοούμενον, εἰ βραδύνοιτο ὁ πλοῦς, ἐνδιαχειμάσαι τῇ προεσκεμμένῃ νήσῳ, καὶ σπείραντα καὶ ἀνελόμενον τοὺς καρποὺς τελέσαι τὸν ἐγνωσμένον ἐξ ἀρχῆς πλοῦν.

Ἐγὼ μὲν οὖν, φησὶ, μέχρι [τῆσδε] τῆς περὶ τὸν Εὔδοξον ἱστορίας ἥκω· τί δ' ὕστερον συνέβη, τοὺς ἐκ Γαδείρων καὶ τῆς Ἰβηρίας εἰκὸς εἰδέναι. Ἐκ πάντων δὴ τούτων φησὶ δείκνυσθαι, διότι ἡ οἰκουμένη κύκλῳ περιρρεῖται τῷ ὠκεανῷ·

Οὐ γάρ μιν δεσμὸς περιβάλλεται ἠπείροιο,
ἀλλ' ἐς ἀπειρεσίην κέχυται· τό μιν οὔτι μιαίνει.

Θαυμαστὸς δὴ κατὰ πάντα ἐστὶν ὁ Ποσειδώνιος, τὸν μὲν τοῦ μάγου περίπλουν, ὃν Ἡρακλείδης εἶπεν, ἀμάρτυρον νομίσας, καὶ αὐτῶν τῶν ὑπὸ Δαρείου πεμφθέντων, ὃν Ἡρόδοτος ἱστορεῖ, τὸ δὲ Βεργαῖον διήγημα τοῦτο ἐν πίστεως μέρει τιθείς, εἴθ' ὑπ' αὐτοῦ πεπλασμένον, εἴτ' ἄλλων πλασάντων πιστευθέν. (Quæ in hac narratione de temporibus regum Ægypti memorantur, primus explicuit et aliunde qua solet sagacitate confirmavit Letronnius, *Inscr. de l'Ég.* I, p. 58 sqq.)

Pluribus deinde narrationis hujus falsitatem postquam Strabo probavit, subjicit: Οὐ πολὺ οὖν ἀπολείπεται ταῦτα τῶν Πυθέου καὶ Εὐημέρου καὶ Ἀντιφάνους ψευσμάτων. Ἀλλ' ἐκείνοις μὲν συγγνώμη, τοῦτ' αὐτὸ ἐπιτηδεύουσιν, ὥσπερ τοῖς θαυματοποιοῖς· τῷ δ' ἀποδεικτικῷ καὶ φιλοσόφῳ, σχεδὸν δέ τι περὶ πρωτείων ἀγωνιζομένῳ, τίς ἂν συγγνοίη; Ταῦτα μὲν οὖν οὐκ εὖ.

Post hæc pergit: (6) Τὸ δὲ ἐξαίρεσθαι τὴν γῆν ποτε καὶ ἱζήματα λαμβάνειν καὶ μεταβολὰς τὰς ἐκ τῶν σεισμῶν καὶ τῶν ἄλλων τῶν παραπλησίων, ὅσα διηριθμησάμεθα καὶ ἡμεῖς, ὀρθῶς κεῖται παρ' αὐτῷ· πρὸς ὃ καὶ τὸ τοῦ Πλάτωνος εὖ παρατίθησιν, ὅτι ἐνδέχεται καὶ μὴ πλάσμα εἶναι τὸ περὶ τῆς νήσου τῆς Ἀτλαντίδος, περὶ ἧς ἐκεῖνος ἱστορῆσαι Σόλωνά φησι πεπυσμένον παρὰ τῶν Αἰγυπτίων ἱερέων, ὡς ὑπάρχουσά ποτε ἀφανισθείη τὸ μέγεθος οὐκ ἐλάττων ἠπείρου· καὶ τοῦτο οἴεται βέλτιον εἶναι λέγειν ἢ διότι ὁ πλάσας αὐτὴν ἠφάνισεν, ὡς ὁ ποιητὴς τὸ τῶν Ἀχαιῶν τεῖχος (cf. Strabo p. 598). Εἰκάζει δὲ καὶ τὴν τῶν Κίμβρων (cf. fr. 75) καὶ τῶν συγγενῶν ἐξανάστασιν ἐκ τῆς οἰκείας ** γενέσθαι κατὰ θαλάττης ἔφοδον, οὐκ ἀθρόαν συμβᾶσαν.

(7) Ὑπονοεῖ δὲ τὸ τῆς οἰκουμένης μῆκος ἑπτά που μυριάδων σταδίων ὑπάρχον ἥμισυ εἶναι τοῦ ὅλου κύκλου, καθ' ὃν εἴληπται, ὥστε, φησίν, ἀπὸ τῆς δύσεως εὔρῳ πλέων ἐν τοσαύταις μυριάσιν ἔλθοι ἂν εἰς Ἰνδούς. (8) Ἐπιχειρήσας δὲ αἰτιᾶσθαι τοὺς οὕτω τὰς ἠπείρους διορίσαντας, ἀλλὰ μὴ παραλλήλοις τισὶ τῷ ἰσημερινῷ, δι' ὧν ἔμελλον ἐξαλλάξεις δείκνυσθαι ζῴων τε καὶ φυτῶν καὶ ἀέρων, τῶν μὲν τῇ κατεψυγμένῃ συναπτόντων, τῶν δὲ τῇ διακεκαυμένῃ, ὥστε οἱονεὶ ζώνας εἶναι τὰς ἠπείρους, ἀνασκευάζει πάλιν καὶ ἐν ἀναλύσει δίκης γίνεται, ἐπαινῶν πάλιν τὴν οὖσαν διαίρεσιν, θετικὴν ποιούμενος τὴν ζήτησιν πρὸς οὐδὲν χρησίμως. Αἱ γὰρ τοιαῦται διατάξεις οὐκ ἐκ προνοίας γίνονται, καθάπερ

rursus constructa rotunda navi, et longa quinquaginta remorum alia, ut per altum veheretur illa, hac pone terram, impositis instrumentis rusticis, seminibus et ædificandi peritis, ad eandem circumnavigationem se contulisse, eo consilio, ut, si tardius hæc succederet, in antea observata insula hiemaret, consitisque agris et perceptis fructibus, initio propositam absolveret navigationem.

Hactenus mihi quidem (inquit) cognita est historia Eudoxi: quid vero postea illi acciderit, par est Gaditanos scire et Hispanos. Ex his ergo omnibus demonstrari ait, oceanum terrarum orbi circuli in morem esse circumfusum:

Non etenim terræ vinclo circumdatur ille:
fusus in immensum est, ne quicquam polluat ipsum.

Enimvero mirum se in his omnibus præbet Posidonius, qui quum Magi circumnavigationem ab Heraclide expositam testimonio destitui censeat, itemque eorum qui a Dario [*imo* Necone] missi fuerant ab Herodoto narratam, fidem adhibet huic Bergæo commento, sive ipse confinxerit, sive ab alio confictum pro vero habuerit.

Hæc igitur non multum absunt a Pytheæ, Euhemeri et Antiphanis mendaciis. Verum hi quidem digni sunt venia, quibus idem fuit quod præstigiatoribus propositum; demonstratori autem, philosopho, ac nonnihil etiam de palma certanti quis ignoscat? Hæc itaque male.

(6) Recte autem apud eum exposita sunt, terram aliquando attolli, aliquando subsidere, mutarique terræ motibus, et alia id genus, etiam a nobis enumerata; quibus etiam Platonis sententiam commode apponit, fieri nempe posse ut non sit figmentum id quod de Atlantide insula fertur, de qua is ait tradidisse Solonem, qui ita ab Ægyptiis didicisset sacerdotibus, deletam eam esse, quum fuerit aliquando continente tota non minor insula, existimatque hoc rectius dici, quam id, deletam fuisse ab eo ipso qui eam commentus fuerit, sicut apud Homerum accidit muro Achæorum. Conjectura etiam colligit Cimbrorum illisque cognatorum populorum migrationem e patria factam esse [prædandi causa, non] ob maris incursiones subito obortas.

7. Suspicatur etiam habitatæ terræ longitudinem septuaginta circiter millibus stadiorum constare, dimidiumque esse totius in quo sumitur circuli: itaque (inquit) ab occasu Euro spirante navigans tantum spatium, ad Indos pervenias. (8) Aggressus deinde eos reprehendere qui continentis partes hoc modo distinxerunt, non lineis quibusdam respectu æquatoris parallelis, quibus ductis diversitates animalium, plantarum et aeris demonstrari potuissent, quatenus alia ad frigidam, alia ad torridam pertinent plagam, retractat et in solvenda accusatione versatur, laudans eam quæ obtinet divisionem et disputationem in utramque partem instituens, nulla sane cum utilitate. Hujusmodi enim dispositiones non magis dedita opera institutæ sunt, quam gentium et linguarum differentiæ, sed casu quodam et fortuna; quin etiam artes, facultates, et studia, si ab uno

οὐδὲ αἱ κατὰ τὰ ἔθνη διαφοραί, οὐδὲ [αἱ] διάλεκτοι, ἀλλὰ κατὰ ἐπίπτωσιν καὶ συντυχίαν· καὶ τέχναι τε καὶ δυνάμεις καὶ ἐπιτηδεύσεις, ἀρξάντων τινῶν, κρατοῦσιν αἱ πλείους ἐν ὁποιῳοῦν κλίματι, ἔστι δέ τι καὶ παρὰ τὰ κλίματα, ὥστε τὰ μὲν φύσει ἐστὶν ἐπιχώριά τισι, τὰ δ' ἔθει καὶ ἀσκήσει. Οὐ γὰρ φύσει Ἀθηναῖοι μὲν φιλόλογοι, Λακεδαιμόνιοι δ' οὔ, καὶ οἱ ἔτι ἐγγυτέρω Θηβαῖοι, ἀλλὰ μᾶλλον ἔθει· οὕτως οὐδὲ Βαβυλώνιοι φιλόσοφοι φύσει καὶ Αἰγύπτιοι, ἀλλ' ἀσκήσει καὶ ἔθει· καὶ ἵππων τε καὶ βοῶν ἀρετὰς καὶ ἄλλων ζῴων, οὐ τόποι μόνον, ἀλλὰ καὶ ἀσκήσεις ποιοῦσιν· ὁ δὲ συγχεῖ ταῦτα. Ἐπαινῶν δὲ τὴν τοιαύτην διαίρεσιν τῶν ἠπείρων, οἵα νῦν ἐστι, παραδείγματι χρῆται τῷ τοὺς Ἰνδοὺς τῶν Αἰθιόπων διαφέρειν τῶν ἐν τῇ Λιβύῃ· εὐερνεστέρους γὰρ εἶναι καὶ ἧττον ἕψεσθαι τῇ ξηρασίᾳ τοῦ περιέχοντος· διὸ καὶ Ὅμηρον πάντας λέγοντα Αἰθίοπας δίχα διελεῖν,

οἱ μὲν δυσομένου Ὑπερίονος, οἱ δ' ἀνιόντος·

* * καὶ εἰσάγοντα τὴν ἑτέραν οἰκουμένην, ἣν οὐκ οἶδεν Ὅμηρος, δουλεύειν ὑποθέσει· καὶ ἔδει, φησὶ, μεταγράφειν οὕτως·

ἠμὲν ἀπερχομένου Ὑπερίονος,

οἷον ἀπὸ τοῦ μεσημβρινοῦ περικλίνοντος.

8. Πρῶτον μὲν οὖν οἱ πρὸς Αἰγύπτῳ Αἰθίοπες καὶ αὐτοὶ δίχα διαιροῦνται· οἱ μὲν γὰρ ἐν τῇ Ἀσίᾳ εἰσὶν, οἱ δ' ἐν τῇ Λιβύῃ, οὐδὲν διαφέροντες ἀλλήλων. Ἔπειθ' Ὅμηρος οὐ διὰ τοῦτο διαιρεῖ τοὺς Αἰθίοπας, (ἢ) ὅτι τοὺς Ἰνδοὺς ᾔδει τοιούτους τινὰς τοῖς σώμασιν (οὐδὲ γὰρ ἀρχὴν εἰδέναι τοὺς Ἰνδοὺς εἰκὸς Ὅμηρον, ὅπου γε οὐδ' ὁ Εὐεργέτης κατὰ τὸν Εὐδόξειον μῦθον ᾔδει τὰ κατὰ τὴν Ἰνδικὴν, οὐδὲ τὸν πλοῦν τὸν ἐπ' αὐτήν), ἀλλὰ μᾶλλον κατὰ τὴν λεχθεῖσαν ὑφ' ἡμῶν πρότερον διαίρεσιν. Ἐκεῖ δὲ καὶ περὶ τῆς γραφῆς τῆς Κρατητείου διῃτήσαμεν, ὅτι οὐδὲν διαφέρει, οὕτως ἢ ἐκείνως γράφειν· ὁ δὲ τοῦτο μὲν διαφέρειν φησὶ, κρεῖττον δ' οὕτως εἶναι μεταθεῖναι « ἠμὲν ἀπερχομένου. » Τί οὖν διαφέρει τοῦτο τοῦ « ἠμὲν δυσομένου; » πᾶν γὰρ τὸ τμῆμα τὸ ἀπὸ τοῦ μεσημβρινοῦ ἐπὶ δύσιν δύσις καλεῖται, καθάπερ καὶ τὸ τοῦ ὁρίζοντος ἡμικύκλιον· ὅπερ καὶ Ἄρατος ἐπισημαίνεται,

ᾗχί περ ἄκραι
μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν.

Εἰ δ' ἐπὶ τῆς Κρατητείου γραφῆς οὕτω βέλτιον, φήσει τις καὶ ἐπὶ τῆς Ἀρισταρχείου δεῖν. Τοσαῦτα καὶ πρὸς Ποσειδώνιον. Πολλὰ γὰρ καὶ ἐν τοῖς καθ' ἕκαστα τυγχάνει τῆς προσηκούσης διαίτης, ὅσα γεωγραφικά· ὅσα δὲ φυσικώτερα, ἐπισκεπτέον ἐν ἄλλοις, ἢ οὐδὲ φροντιστέον· πολὺ γάρ ἐστι τὸ αἰτιολογικὸν παρὰ αὐτῷ καὶ τὸ Ἀριστοτελίζον, ὅπερ ἐκκλίνουσιν οἱ ἡμέτεροι διὰ τὴν ἐπίκρυψιν τῶν αἰτιῶν.

Jam reliqua subjicimus quæ ex hoc libro petita sunt vel petita esse videntur. Ordinem rerum observabimus eundem, quem Strabo l. l. secutus est. — Ac primum quidem de *forma terræ* conferatur :

69.

Agathemerus in Hudson. Geogr. Min. tom. II,

fiat initium, plerumque invalescunt in quocunque terræ situ : quanquam et climati aliquid tribuendum est : itaque alia domestica fiunt natura, alia institutione et exercitio. Non enim natura fit quod Athenienses studiosi sunt litterarum, Lacedæmonii non item, ac ne Thebani quidem illis viciniores, sed institutione potius. Ita neque Babylonios natura philosophos facit, aut Ægyptios, sed exercitatio et consuetudo. Quin et equorum, boum, aliorumque animalium præstantia non locis tantum, sed et assuefactioni debetur. Hæc iste confundit. Porro laudans talem continentis regionum distinctionem, qualis nunc est, exemplo utitur, Indos Æthiopibus qui sunt in Africa præstare, quia robustiores sint, minusque aeris siccitate adusti : ideo Homerum quoque de universis loquentem Æthiopibus, sic eos divisisse (*Od*. A, 24) :

Hi qua sol cadit, et qua nascitur illi :

** [et Cratetem] qui alterius habitatæ terræ, quam Homerus ignoravit, mentionem hoc in loco invenire voluit, opinionis suæ tenacem esse, dum ait, ita potius scribendum esse :

Aut qua sol abit,

utpote declinante eo a meridiano.

8. Primum quidem Æthiopes Ægypto contermini, ipsi quoque bifariam dividuntur, quum in Asia partim eorum sit, partim in Africa, nihilque a se invicem differant. Deinde Homerus non ideo dividit Æthiopas, quod tales fere corporibus Indos nosset (quos ei plane ignotos fuisse probabile est, quum secundum Eudoxeam fabulam ne Euergetes quidem Indiam navigationemque ad eam cognitam habuerit), sed respexit Homerus potius ad supra dictam a nobis divisionem. Atque ibi etiam de Cratetis lectione pronunciavimus, nihil ad rem interesse utro modo legatur. Posidonius tamen interesse aliquid sentit, sed ita potius corrigendum :

Hi qua sol abit.

Quid autem interest inter *abit* et *cadit*? nam tota quidem portio quæ a meridie versus occasum est, occasus dicitur, sicut et horizontis ille semicirculus : quod et Aratus indicat (*Phæn*. 61) :

supremus
Ortus ubi atque Obitus parte admiscentur in una.

Quodsi quis rectius hoc habere in Cratetis scriptura dicat, etiam in Aristarchea eandem is dicet obtinere rationem. Atque hæc adversus Posidonium. Multa enim quæ ad geographiam pertinent in ipsa tractatione singulatim sub censuram vocabimus; quæ autem ad naturæ contemplationem pertinent, ea alibi sunt excutienda, aut potius nihil curanda. Multas enim habet is de causis disputationes, in multis Aristotelem imitatur, quæ nostri declinant ob causarum obscuritatem.

69.

Posidonius Stoicus formam terræ esse fundæ similem,

p. 2 : Ποσειδώνιος δὲ ὁ Στωϊκὸς σφενδονοειδῆ καὶ μεσόπλατον ἀπὸ νότου εἰς βορρᾶν, στενὴν πρὸς ἕω καὶ δύσιν· τὰ πρὸς εὖρον δ' ὅμως πλατύτερα πρὸς Ἰνδικήν. Eustathius in Il. p. 690, 43 : Τὴν δὲ οἰκουμένην γῆν Ποσειδώνιος ὁ Στωϊκὸς καὶ Διονύσιος σφενδονοειδῆ φασι. Eadem notat Eustath. ad Dionys. Perieg. v. I.

70.

Strabo I, p. 145 : Γρανότερα δ' ἐστὶ καὶ τὰ περὶ τῶν περισκίων καὶ ἀμφισκίων καὶ ἑτεροσκίων, ἅ φησι Ποσειδώνιος. Ὅμως γε καὶ τούτων τό γε τοσοῦτον ἐπιμνηστέον, ὥστε τὴν ἐπίνοιαν διασαφῆσαι, καὶ πῆ χρήσιμον πρὸς τὴν γεωγραφίαν, καὶ πῆ ἄχρηστον. Ἐπεὶ δὲ περὶ τῶν ἀφ' ἡλίου σκιῶν ὁ λόγος ἐστὶν, ὁ δ' ἥλιος πρὸς αἴσθησιν κατὰ παραλλήλου φέρεται, καθ' οὗ καὶ ὁ κόσμος· παρ' οἷς καθ' ἑκάστην κόσμου περιστροφὴν ἡμέρα γίνεται καὶ νὺξ, ὅτε μὲν ὑπὲρ γῆς τοῦ ἡλίου φερομένου, ὅτε δ' ὑπὸ γῆν, παρὰ τούτοις οἵ τε ἀμφίσκιοι ἐπινοοῦνται καὶ οἱ ἑτερόσκιοι. Ἀμφίσκιοι μὲν, ὅσοι κατὰ μέσον ἡμέρας τοτὲ μὲν ἐπὶ τάδε πιπτούσας ἔχουσι τὰς σκιὰς, ὅταν ὁ ἥλιος ἀπὸ μεσημβρίας τῷ γνώμονι προσπίπτῃ τῷ ὀρθῷ πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, τοτὲ δ' εἰς τοὐναντίον ὅταν ὁ ἥλιος εἰς τοὐναντίον περιστῇ· τοῦτο δὲ συμβέβηκε μόνοις τοῖς μεταξὺ τῶν τροπικῶν οἰκοῦσιν. Ἑτερόσκιοι δ' ὅσοις ἢ ἐπὶ τὴν ἄρκτον ἀεὶ πίπτουσιν, ὥσπερ ἡμῖν, ἢ ἐπὶ τὰ νότια, ὥσπερ τοῖς ἐν τῇ ἑτέρᾳ εὐκράτῳ ζώνῃ οἰκοῦσι· τοῦτο δὲ συμβαίνει πᾶσι τοῖς ἐλάττονα ἔχουσι τοῦ τροπικοῦ τὸν ἀρκτικόν. Ὅταν δὲ τὸν αὐτὸν ἢ μείζονα, ἀρχὴ τῶν περισκίων ἐστὶ μέχρι τῶν οἰκούντων ὑπὸ τῷ πόλῳ. Τοῦ γὰρ ἡλίου καθ' ὅλην τὴν τοῦ κόσμου περιστροφὴν ὑπὲρ γῆς φερομένου, δηλονότι καὶ ἡ σκιὰ κύκλῳ περιενεχθήσεται περὶ τὸν γνώμονα. Καθ' ὃ δὴ καὶ περισκίους αὐτοὺς ἐκάλεσεν, οὐδὲν ὄντας πρὸς τὴν γεωγραφίαν· οὐ γάρ ἐστιν οἰκήσιμα ταῦτα τὰ μέρη διὰ ψῦχος, ὥσπερ ἐν τοῖς πρὸς Πυθέαν λόγοις εἰρήκαμεν.

71.

Sequitur locus qui *de zonis* est. Achilles Tatius c. 12 : Οἱ μὲν γὰρ ἓξ αὐτὰς (τὰς ζώνας) εἶπον, ὡς Πολύβιος καὶ Ποσειδώνιος, τὴν διακεκαυμένην εἰς δύο διαιροῦντες. In his perperam Polybio sociari Posidonium patet.

72.

Cleomedes Cycl. Theor. I, c. 6, p. 40 ed. Bak. : Σχολαιότερον δὲ... τοῦ ἡλίου προσιόντος τοῖς τροπικοῖς καὶ ἀποχωροῦντος, καὶ διὰ τοῦτο ἐπὶ πλέον περὶ αὐτοὺς ἐγχρονίζοντος, καὶ οὐχ ὄντων ἀοικήτων τῶν ὑπ' αὐτοῖς, οὐδὲ τῶν ἔτι ἐνδοτέρω (ἡ γὰρ Συήνη ὑπὸ τῷ θερινῷ κεῖται κύκλῳ, ἡ δὲ Αἰθιοπία ἔτι ταύτης ἐνδοτέρω), ἀπὸ τούτων ὁ Ποσειδώνιος τὸ ἐνδόσιμον λαβὼν, καὶ πᾶν τὸ ὑπὸ τὸν ἰσημερινὸν κλίμα εὔκρατον εἶναι ὑπέλαβε. Καὶ πέντε ζώνας εἶναι τῆς γῆς τῶν εὐδοκίμων φυσικῶν ἀποφηναμένων, αὐτὸς τὴν ὑπ' ἐκείνων διακεκαῦσθαι λεγομένην, οἰκουμένην καὶ εὔκρατον εἶναι ἀπεφήνατο. Ὅπου γὰρ, φησὶ, πλέον τοῦ ἡλίου περὶ τοὺς τροπικοὺς διατρίβοντος, οὐκ ἔστιν ἀοίκητα τὰ ὑπ' αὐτοῖς, οὐδὲ τὰ ἔτι τούτων ἐνδοτέρω, πῶς οὐκ ἂν πολὺ πλέον τὰ ὑπὸ τῷ ἰσημερινῷ εὔκρατα εἴη, ταχέως τῷ κύκλῳ τούτῳ καὶ προσιόντος τοῦ ἡλίου καὶ πάλιν ἴσῳ τάχει ἀφισταμένου αὐτοῦ, καὶ μὴ ἐγχρονίζοντος περὶ τὸ κλίμα, καὶ μὴν διὰ παντὸς, φησὶν, ἴσης τῆς νυκτὸς

---

ita ut media pars latior sit a meridie versus septemtrionem, angustiora sint orientem et occidentem versus, ita tamen ut orientalis pars Indica sit occidentali latior.

70.

Magis sunt luculenta quæ de Perisciis, Amphisciis et Heterosciis Posidonius prodidit. Attamen horum quoque eo usque mentio facienda, ut explicemus quatenus vel utilia sint ea, vel inutilia geographo. Quoniam autem verba fiunt de solis umbris, et sol, quantum sensu deprehendi potest, eodem circulo ad eum quo mundus versatur, parallelo convertitur, itaque apud quos in mundi conversione dies fiet eo supra terram, nox infra terram vehente, apud hos Amphiscii intelliguntur et Heteroscii : amphiscii sunt quorum gnomoni sub meridiem erecto sol affulgens in supposita planitie umbram modo in hanc, alias in diversam partem projicit, sole in oppositam priori regionem delato : hoc autem iis tantummodo contingit, qui inter tropicos habitant. Heteroscii sunt, quibus id genus umbræ aut semper versus septentrionem cadunt, ut nobis; aut versus meridiem, ut iis qui in altera temperata zona degunt : usu venit hoc omnibus, qui arcticum tropico minorem habent. Perisciorum principium est, ubi vel æqualis tropico arcticus est, vel major; usque ad eos qui sub polo habitant. Quum enim sol secundum totam cœli conversionem supra terram feratur, nimirum et umbra in orbem ambiet gnomonem : unde et periscios (*quasi* circumumbros) eos nuncupavit, nihil ad geographiam attinentes, quippe partes istæ ob frigus habitari non possunt, uti in refutatione Pytheæ ostendimus.

71.

Nonnulli sex zonas esse statuunt, ut Polybius et Posidonius, qui torridam in duas dirimunt.

72.

Quum autem segnius et accedat ad tropicos sol et recedat, ac propterea diutius circa eos commoretur, atque eo minus plagæ quæ iis subjectæ sunt habitentur, quin et eæ quæ illis interiores sunt (Syene enim æstivo tropico subest, et Æthiopia interior etiam) : hinc ansam nactus Posidonius, totam etiam illam plagam quæ sub æquinoctiali est, temperatam esse suspicatus est. Et quum quinque zonas terræ esse nobiles physici demonstrassent, ipse eam, quam illi torridam appellabant, habitatam et temperatam esse ostendit. Quum enim, inquit, ea quæ tropicis subjecta sunt, in quibus sol diutius immoratur, habitentur, atque etiam quæ interiora sunt, quidni multo magis ea quæ æquinoctiali subsunt, temperata sint, siquidem ad eum circulum et accedat sol, et rursus pari celeritate recedat, neque in eo climate commoretur, quum præsertim perpetuo,

τῇ ἡμέρᾳ οὔσης ἐνταῦθα, καὶ διὰ τοῦτο σύμμετρον ἐχούσης πρὸς ἀνάψυξιν τὸ διάστημα. Καὶ τοῦ ἀέρος τούτου ἐν τῷ μεσαιτάτῳ καὶ βαθυτάτῳ τῆς σκιᾶς ὄντος, καὶ ὄμβροι γενήσονται, καὶ πνεύματα γενήσονται, δυνάμενα ἀναψύχειν τὸν ἀέρα· ἐπεὶ καὶ περὶ τὴν Αἰθιοπίαν ὄμβρους συνεχεῖς καταφέρεσθαι ἱστοροῦσι περὶ τὸ θέρος καὶ μάλιστα τὴν ἀκμὴν αὐτοῦ, ἀφ' ὧν καὶ ὁ Νεῖλος πληθύνειν τοῦ θέρους ὑπονοεῖται. Ὁ μὲν οὖν Ποσειδώνιος οὕτω φέρεται.

73.

Strabo XVII, p. 830 : Ποσειδώνιος δ' οὐκ οἶδ' εἰ ἀληθῆ ἔφη ὀλίγοις καὶ μικροῖς διαρρεῖσθαι ποταμοῖς τὴν Λιβύην· αὐτοὺς γὰρ οὓς [πολλοὺς γὰρ αὐτοὺς?] Ἀρτεμίδωρος εἴρηκε καὶ μεγάλους. Ἐν δὲ τῇ μεσογαίᾳ ταῦτ' ἀληθέστερον εἰπεῖν· εἴρηκε δὲ τούτου τὴν αἰτίαν αὐτός· μὴ γὰρ κατομβρεῖσθαι τοῖς ἀρκτικοῖς μέρεσι, καθάπερ οὐδὲ τὴν Αἰθιοπίαν φασί· διὸ πολλάκις λοιμικὰ ἐμπίπτειν ὑπὸ αὐχμῶν καὶ τὰς λίμνας τελμάτων πίμπλασθαι, καὶ τὴν ἀκρίδα ἐπιπολάζειν. Ἔτι φησὶ τὰ μὲν ἀνατολικὰ ὑγρὰ εἶναι· τὸν γὰρ ἥλιον ἀνίσχοντα ταχὺ παραλλάττειν, τὰ δ' ἑσπέρια ξηρά· ἐκεῖ γὰρ καταστρέφειν· ὑγρὰ γὰρ καὶ ξηρὰ τὰ μὲν παρ' ὑδάτων ἀφθονίαν ἢ σπάνιν λέγεται, τὰ δὲ παρὰ τὴν τῶν ἡλίων. Sequitur disputatio Strabonis.

74.

Strabo XVII, p. 790 : Nili incrementorum causas si inquisitione dignas habuissent Ægyptii antiquiores, non cogeremur talibus testibus uti, οἵους Ποσειδώνιος εἴρηκε. Φησὶ γὰρ Καλλισθένη λέγειν τὴν ἐκ τῶν ὄμβρων αἰτίαν τῶν θερινῶν, παρὰ Ἀριστοτέλους λαβόντα· ἐκεῖνον δὲ παρὰ Θρασυάλκου τοῦ Θασίου (τῶν ἀρχαίων δὲ φυσικῶν εἷς οὗτος)· ἐκεῖνον δὲ παρ' ἄλλου· τὸν δὲ παρ' Ὁμήρου διιπετέα φάσκοντος τὸν Νεῖλον·

ἂψ δ' εἰς Αἰγυπτοῖο διιπετέος ποταμοῖο.

De mutationibus, quæ terræ motibus et inundationibus, etc., factæ sint (vide fr. 68 § 6) :

75.

Strabo VII, p. 293 : Περὶ δὲ Κίμβρων τὰ μὲν οὐκ εὖ λέγεται, τὰ δ' ἔχει πιθανότητας οὐ μετρίας. Οὔτε γὰρ τὴν τοιαύτην αἰτίαν τοῦ πλάνητας γενέσθαι καὶ λῃστρικοὺς ἀποδέξαιτ' ἄν τις, ὅτι χερρόνησον οἰκοῦντες μεγάλῃ πλημμυρίδι ἐξελασθεῖεν ἐκ τῶν τόπων· καὶ γὰρ νῦν ἔχουσι τὴν χώραν, ἣν εἶχον πρότερον... Γελοῖον δὲ τῷ φυσικῷ καὶ αἰωνίῳ πάθει, δὶς ἑκάστης ἡμέρας συμβαίνοντι, προσοργισθέντας ἀπελθεῖν ἐκ τοῦ τόπου. Ἔοικε δὲ πλάσματι τὸ συμβῆναί ποτε ὑπερβάλλουσαν πλημμυρίδα· ἐπιτάσεις μὲν γὰρ καὶ ἀνέσεις δέχεται, τεταγμένας δὲ καὶ περιοδιζούσας ὁ ὠκεανὸς ἐν τοῖς τοιούτοις πάθεσιν. Οὐκ εὖ δ' οὐδ' ὁ φήσας ὅπλα αἴρεσθαι πρὸς τὰς πλημμυρίδας τοὺς Κίμβρους, οὐδ' ὅτι ἀφοβίαν οἱ Κελτοὶ ἀσκοῦντες, κατακλύζεσθαι τὰς οἰκίας ὑπομένουσιν, εἶτ' ἀνοικοδομοῦσι, καὶ ὅτι πλείων αὐτοῖς συμβαίνει φθόρος ἐξ ὕδατος ἢ πολέμου, ὅπερ Ἔφορός φησιν. Ἡ γὰρ τάξις ἡ τῶν πλημμυρίδων, καὶ τὸ τὴν ἐπικλυζομένην χώραν εἶναι γνώριμον οὐκ ἔμελλε ταύτας τὰς ἀτοπίας παρέξειν. Δὶς γὰρ ἑκάστης ἡμέρας τούτου συμβαίνοντος, τὸ μηδ' ἅπαξ αἰσθάνεσθαι φυσικὴν οὖσαν τὴν παλίρροιαν καὶ ἀβλαβῆ, καὶ οὐ μόνοις τούτοις συμβαίνουσαν, ἀλλὰ τοῖς παρωκεανίταις πᾶσι,

---

inquit, nox æqualis ibi sit dici, itaque justum habeat ad refrigerandum intervallum? Quum aer ille in media et profundissima umbra sit, et imbres erunt et venti et flatus, qui aerem poterunt refrigerare. Siquidem et in Æthiopia continui imbres decidere traduntur, æstatis tempore, maximeque circa vim ejus : e quibus Nilus etiam augescere æstivo tempore existimatur. Posidonius igitur sic disputat.

73.

Posidonius scribit (nescio quam vere) raris parvisque fluminibus Libyam irrigari; nam multos eos esse magnosque Artemidorus dicit. De mediterraneis tamen non absque verisimilitudine illud dici potest. Ipse enim Posidonius causam rei affert. Scilicet ea non complui in partibus septentrionalibus; sicuti neque Æthiopiam dicunt; atque hinc sæpe propter siccitatem pestem incidere et lacus cœnosos fieri, locustarumque exsistere copiam. Addit orientalia humida esse, quod sol exoriens cito prætereat; occidua vero sicca, quod sol ibi decumbat. Humida vero et sicca alia ob aquarum copiam vel inopiam, alia ob solis radiorum diuturnam brevemve dicuntur præsentiam.

74.

Ait Posidonius Callisthenem tradere æstivos imbres causam esse (incrementorum Nili fluvii), idque hunc ab Aristotele sumpsisse, Aristotelem vero a Thrasyalce Thasio (qui unus fuit ex antiquis physicis), Thrasyalcem autem ab alio, atque illum ab Homero, qui Nilum cœlitus delapsum ait :

Rursus ad Ægypti cœlo delapsa fluenta.

75.

De Cimbris quædam minus recte dicuntur, quædam probabilitatem habent non mediocrem. Non enim hac de causa eos, ut incertis vagarentur sedibus et latrociniis victum quærerent, compulsos crediderim, quod e peninsula, quam inhabitabant, diluvio fuerint ejecti; quoniam etiamnum antiquas sedes incolant. Et ridiculum sit eos naturali et sempiterno æstui, quotidie his contingenti, iratos solum vertisse. Quin et figmentum videtur eluviem aliquando immodicam accidisse : quum id genus oceani accidentia intendantur quidem ea et remittantur, sed ordine tamen suo atque modo. Non recte etiam is qui arma adversus exundationem capere Cimbros ait : nec magis, ut exercitatione intrepidi fiant, Celtas pati domos suas aquis obrui, rursumque ædificare, pluresque eorum aquis quam bello perire; quod quidem Ephorus tradit. Nam hæc absurda non admittit quum ordo æstuum, tum notitia regionis illuviem passæ. Quum enim bis quotidie æstus accideret, qui credibile sit tandem, nunquam eos sensisse, naturalem esse hanc maris reciprocationem et innoxiam, nec non sibi cum

πῶς οὐκ ἀπίθανον. Οὐδὲ Κλείταρχος εὖ· φησὶ γὰρ τοὺς ἱππέας ἰδόντας τὴν ἔφοδον τοῦ πελάγους ἀφιππάσασθαι, καὶ φεύγοντας ἐγγὺς γενέσθαι τοῦ περικαταληφθῆναι. Οὔτε δὲ τοσούτῳ τάχει τὴν ἐπίβασιν ὁρμωμένην ἱστοροῦμεν, ἀλλὰ λεληθότως προσιοῦσαν τὴν θάλατταν· οὔτε τὸ καθ' ἡμέραν γιγνόμενον καὶ πᾶσιν ἔναυλον ἤδη ὂν τοῖς πλησιάζειν μέλλουσι, πρὶν ἢ θεάσασθαι, τοσοῦτον ἔμελλε παρέξεσθαι φόβον, ὥστε φεύγειν, ὡς ἂν εἰ ἐξ ἀδοκήτου προσέπεσε.

Ταῦτα δὲ δικαίως ἐπιτιμᾷ τοῖς συγγραφεῦσι Ποσειδώνιος, καὶ οὐ κακῶς εἰκάζει, ὅτι λῃστρικοὶ ὄντες καὶ πλάνητες οἱ Κίμβροι, καὶ μέχρι τῶν περὶ τὴν Μαιῶτιν ποιήσαιντο στρατείαν· ἀπ' ἐκείνων δὲ καὶ ὁ Κιμμέριος κληθείη βόσπορος, οἷον Κιμβρικὸς, Κιμμερίους τοὺς Κίμβρους ὀνομασάντων τῶν Ἑλλήνων. Φησὶ δὲ καὶ Βοΐους τὸν Ἑρκύνιον δρυμὸν οἰκεῖν πρότερον· τοὺς δὲ Κίμβρους ὁρμήσαντας ἐπὶ τὸν τόπον τοῦτον, ἀποκρουσθέντας ὑπὸ τῶν Βοΐων ἐπὶ τὸν Ἴστρον, καὶ τοὺς Σκορδίσκους Γαλάτας καταβῆναι· εἶτ' ἐπὶ Τευριστὰς καὶ (ἢ?) Ταυρίσκους, καὶ τούτους Γαλάτας· εἶτ' ἐπὶ Ἑλουηττίους, πολυχρύσους μὲν ἄνδρας, εἰρηναίους δέ· ὁρῶντας δὲ τὸν ἐκ τῶν λῃστηρίων πλοῦτον, ὑπερβάλλοντα τοῦ παρ' ἑαυτοῖς, τοὺς Ἑλουηττίους ἐπαρθῆναι, μάλιστα δ' αὐτῶν Τιγυρηνούς τε καὶ Τωυγενοὺς, ὥστε καὶ συνεξορμῆσαι.

76.

Strabo I, p. 58 : Ἐν δὲ τῇ Φοινίκῃ φησὶ Ποσειδώνιος γενομένου σεισμοῦ καταποθῆναι πόλιν ἱδρυμένην ὑπὲρ Σιδόνος, καὶ αὐτῆς δὲ Σιδόνος σχεδόν τι τὰ δύο μέρη πεσεῖν, ἀλλ' οὐχ ἀθρόως, ὥστε μὴ πολὺν φθόρον ἀνθρώπων γενέσθαι. Τὸ δ' αὐτὸ πάθος καὶ ἐπὶ τὴν Συρίαν ὅλην διέτεινε, μετρίως δέ πως· διέβη δὲ καὶ ἐπί τινας νήσους τάς τε Κυκλάδας καὶ τὴν Εὔβοιαν, ὥστε τῆς Ἀρεθούσης (ἔστι δ' ἐν Χαλκίδι κρήνη) τὰς πηγὰς ἀποτυφλωθῆναι, συχναῖς δ' ἡμέραις ὕστερον ἀναβλύσαι κατ' ἄλλο στόμιον, μὴ παύεσθαι δὲ σειομένην τὴν νῆσον κατὰ μέρη, πρὶν ἢ χάσμα γῆς ἀνοιχθὲν ἐν τῷ Ληλάντῳ πεδίῳ πηλοῦ διαπύρου ποταμὸν ἐξήμεσε.

Rem tangit Seneca in Qu. Nat. VI, 24 verbis : *Idem Sidonii accidisse, crede Posidonio.* Cf. Nicolaus fragm. 80. Justin. XL, 1.

77.

Strabo XI, p. 514 : Τοὔνομα δὲ ταῖς Ῥάγαις ἀπὸ τῶν γενομένων σεισμῶν γενέσθαι φασὶν, ὑφ' ὧν πόλεις δὲ συχναὶ καὶ κῶμαι δισχίλιαι, ὥς φησι Ποσειδώνιος, ἀνετράπησαν. Cf. not. ad. fr. 9.

Cf. Seneca Qu. Nat. VI, 21 : *Duo genera sunt, ut Posidonio placet, quibus movetur terra : utrique nomen est proprium. Altera succussio est, quum terra quatitur, et sursum et deorsum movetur : altera inclinatio, quæ in latera nutat, navigii more.* Illas βράστας, has ἐπικλίντας Græci dicunt. Ceterum Seneca sua haud dubie petivit e Meteorologicis. Cf. Diog. Laert. VII, 154.

78.

Strabo VI, p. 276, de insulis Liparæis : Πολλάκις δὲ καὶ φλόγες εἰς τὴν ἐπιφάνειαν τοῦ πελάγους τοῦ περὶ τὰς νήσους ὤφθησαν ἐπιδραμοῦσαι, τῶν κατὰ βάθους κοιλιῶν ἀναστομωθέντος πόρου τινὸς, καὶ τοῦ πυρὸς βιασαμένου πρὸς τὸ ἐκτός. Ποσειδώνιος δὲ κατὰ τὴν ἑαυτοῦ μνήμην φησὶ περὶ τροπὰς θερινὰς ἅμα τῇ ἕῳ μεταξὺ τῆς Ἱερᾶς καὶ τῆς Εὐωνύμου πρὸς ὕψος ἀρθεῖσαν ἐξαίσιον τὴν θάλατταν ὁραθῆναι, καὶ συμμεῖναί

---

omnibus ad oceanum accolentibus communem? Male etiam Clitarchus, equites narrans occursum maris spectantes citatis equis refugisse et pæne fuisse affluxu obrutos. Neque enim tanta celeritate accedere mare deprehendimus, sed sensim et latenter : neque id quod fieret quotidie, et si qui accessissent, antequam cerneretur, aures personaret, tantum potuit objicere his terrorem, ut quasi de improviso oblata re fugam facerent.

Hæc Posidonius jure in scriptoribus reprehendit. Idem non inepta conjectura colligit, Cimbros homines fuisse prædones et vagos armisque ad Mæotim usque lacum progressos, et fuisse ab iis Cimmerium Bosporum denominatum, quasi Cimbricum, quum Græci Cimbros Cimmeriorum nomine afficiant. Idem perhibet, Bojos quondam Hercyniam incoluisse silvam, ac Cimbros quum ad ea loca se contulissent, ab iis repulsos ad Istrum et Scordiscos Gallos descendisse : inde ad Teuristas ac (*sive?*) Tauriscos, ipsos quoque Gallos, tum ad Helvetios, viros auri divites, attamen pacem tum colentes. Hos, quum viderent suis majores opes latrociniis Cimbrorum partas, maxime Tigurinos ac Tugenos, animum ad prædas adjecisse, ac Cimbris Italiam petentibus socios se adjunxisse.

76.

In Phœnice scribit Posidonius terræ motu facto urbem absorptam fuisse supra Sidonem sitam, ipsiusque Sidonis corruisse fere bessem, non confertim tamen, eoque non magnam hominum cladem accidisse. Id autem mali totam Syriam, mediocriter tamen, pervasit, et attigit insulas quasdam de Cycladibus : et in Eubœa ita se exseruit, ut fontes Arethusæ, quæ in Chalcide est, obturati fuerint, qui fons multis post diebus alia erupit scaturigine : neque ante desiit insula per partes concuti, quam hiatus terræ in Lelanto campo apertus fluvium luti igniti evomuit.

77.

Nomen Rhagis (*Rupturas* diceres) a terræ motibus factum aiunt, quibus urbes complures et pagos bis mille subversos esse Posidonius scribit.

78.

Sæpenumero etiam in superficie maris, quod est circa insulas istas, discurrere flammas animadversum est, quum cavernarum, quibus ignis in profundo continetur, meatu aliquo recluso foras vi prorupit. Posidonius scriptum reliquit, sua ætate circa solstitium æstivum, prima luce inter Hieram et Euonymum mare conspectum fuisse ad mon-

τινα χρόνον ἀναφυσωμένην συνεχῶς, εἶτα παύσασθαι· τοὺς δὲ τολμήσαντας προσπλεῖν, ἰδόντας νεκροὺς ἰχθύας ἐλαυνομένους ὑπὸ ῥοῦ (τοὺς δὲ) καὶ θέρμῃ καὶ δυσωδίᾳ πληγέντας φυγεῖν, ἓν δὲ τῶν πλοιαρίων τὸ μᾶλλον πλησιάσαν τοὺς μὲν τῶν ἐνόντων ἀποβαλεῖν, τοὺς δ' εἰς Λιπάραν μόλις σῶσαι, τοτὲ μὲν ἔκφρονας γινομένους ὁμοίως τοῖς ἐπιληπτικοῖς, τοτὲ δὲ ἀνατρέχοντας εἰς τοὺς οἰκείους λογισμούς· πολλαῖς δ' ἡμέραις ὕστερον ὁρᾶσθαι πηλὸν ἐπανθοῦντα τῇ θαλάττῃ, πολλαχοῦ δὲ καὶ φλόγας ἐκπιπτούσας καὶ λιγνύας, ὕστερον δὲ παγῆναι καὶ γενέσθαι τοῖς μυλίταις λίθοις ἐοικότα τὸν πάγον· τὸν δὲ τῆς Σικελίας στρατηγὸν, Τίτον Φλαμίνιον, δηλῶσαι τῇ συγκλήτῳ, τὴν δὲ πέμψασαν ἐκθύσασθαι ἔν τε τῷ νησιδίῳ καὶ ἐν Λιπάραις τοῖς τε καταχθονίοις θεοῖς καὶ τοῖς θαλαττίοις.

Fortasse hæc ex Historiis petita. Ad easdem si sequentia referre malis, nihil ego refragor.

79.

Strabo VI, p. 269. Ὅταν, [φησὶ] Ποσειδώνιος, γίνηται τὰ περὶ τὸ ὄρος, κατατεφροῦται πολλῷ βάθει τὰ Καταναίων χωρία· ἡ μὲν οὖν σποδὸς, λυπήσασα πρὸς καιρὸν, εὐεργετεῖ τὴν χώραν χρόνοις ὕστερον· εὐάμπελον γὰρ παρέχεται καὶ χρηστόκαρπον, τῆς ἄλλης οὐχ ὁμοίως οὔσης εὐοίνου· τάς τε ῥίζας, [ἃς] ἐκφέρει τὰ κατατεφρωθέντα χωρία, πιαίνειν (δ') ἐπὶ τοσοῦτον τὰ πρόβατά φασιν, ὥστε πνίγεσθαι· διόπερ ἐκ τῶν ὤτων ἀφαιροῦσιν αἷμα δι' ἡμερῶν τεσσάρων ἢ πέντε, καθάπερ τοῦτο καὶ κατὰ τὴν Ἐρύθειαν συμβαῖνον εἰρήκαμεν.

His quæ ad physicam maxime spectant, absolutis, Strabo (fr. 68, § 7) Posidonii de terræ longitudine sententiam affèrt. Reliqua quæ ad terræ mensuras et locorum situm et distantias pertinent hæc sunt :

80.

Cleomedes Cycl. Theor. I, c. 10, p. 62 ed. Bak. : Περὶ δὲ τοῦ μεγέθους τῆς γῆς πλείους μὲν γεγόνασι δόξαι παρὰ τοῖς φυσικοῖς, βελτίους δὲ τῶν ἄλλων εἰσὶν ἥ τε τοῦ Ποσειδωνίου καὶ ἡ Ἐρατοσθένους. Αὕτη μὲν διὰ γεωμετρικῆς ἐφόδου δεικνύουσα τὸ μέγεθος αὐτῆς, ἡ δὲ τοῦ Ποσειδωνίου ἐστὶν ἁπλουστέρα· ἑκάτερος δὲ αὐτῶν ὑποθέσεις τινὰς λαμβάνων, διὰ τῶν ἀκολούθων ταῖς ὑποθέσεσιν ἐπὶ τὰς ἀποδείξεις παραγίνεται. Ἐροῦμεν δὲ περὶ προτέρας τοῦ Ποσειδωνίου. Φησὶν ὑπὸ τῷ αὐτῷ μεσημβρινῷ κεῖσθαι Ῥόδον καὶ Ἀλεξάνδρειαν. Μεσημβρινοὶ δὲ κύκλοι εἰσὶν οἱ διά τε τῶν πόλων γραφόμενοι τοῦ κόσμου καὶ διὰ σημείου, ὃ ἑκάστοις τῶν ἐπὶ τῆς γῆς βεβηκότων τῆς κορυφῆς ὑπέρκειται. Πόλοι μὲν οὖν οἱ αὐτοὶ πάντων, τὸ δὲ κατὰ κορυφὴν σημεῖον ἄλλο ἄλλων· ὅθεν ἄπειροι δύνανται γράφεσθαι μεσημβρινοί. Ἡ οὖν Ῥόδος καὶ ἡ Ἀλεξάνδρεια ὑπὸ τῷ αὐτῷ κεῖνται μεσημβρινῷ καὶ τὸ διάστημα τὸ μεταξὺ τῶν πόλεων, πεντακισχιλίων σταδίων εἶναι δοκεῖ. Καὶ ὑποκείσθω οὕτως ἔχειν. Εἰσὶ δὲ καὶ πάντες οἱ μεσημβρινοὶ τῶν μεγίστων ἐν κόσμῳ κύκλων, εἰς δύο ἴσα τέμνοντες αὐτὸν, καὶ διὰ τῶν πόλων αὐτοῦ γραφόμενοι. Τούτων τοίνυν οὕτως ἔχειν ὑποκειμένων, ἑξῆς ὁ Ποσειδώνιος ἴσον ὄντα τὸν ζωδιακὸν τοῖς μεσημβρινοῖς, ἐπεὶ καὶ αὐτὸς εἰς δύο ἴσα τέμνει τὸν κόσμον, εἰς ὀκτὼ καὶ τεσσαράκοντα μέρη διαιρεῖ, ἕκαστον τῶν δωδεκατημορίων αὐτοῦ εἰς τέσσαρα τέμνων. Ἂν τοίνυν καὶ ὁ διὰ Ῥόδου καὶ Ἀλεξανδρείας μεσημβρινὸς εἰς τὰ αὐτὰ τῷ ζωδιακῷ τεσσαράκοντα καὶ ὀκτὼ

---

strosam elatum altitudinem, atque continenti flatu exaltatum aliquamdiu sic constitisse, tandem subsedisse : eos autem qui navigiis accedere ausi fuerant, quum viderent aquæ fluxu impelli pisces mortuos, calore et fœtore perculsos fugisse; atque navigiorum unum quod propius accesserat, vectoribus quibusdam amissis, ægre cum reliquis Liparam pervenisse, qui aliquando in morem comitiali morbo correptorum mente abalienarentur, aliquando ad se redirent. Multis post diebus limum apparuisse, qui superficiei aquæ innataret, multis quoque locis flammas erupisse, et fumos, et fuligines : limum eum tandem concrevisse, et molaribus lapidibus similes fuisse concretas istas massas. Qua de re senatum, quum esset a Tito Flaminio [Flaminino] Siciliæ prætore certior factus, missis legatis rem sacram diis manibus et marinis procurasse, quum in Hiera, tum Liparæ.

79.

Quando, inquit Posidonius, evenit Ætnæ incendium, Catinensis tum ager profundo obtegitur cinere, qui tempore quidem eo molestus, postea regioni beneficio est : reddit enim eam vinetis lætam, ac bonæ frugis feracem, quum reliquum agri non ita præstet vini productione; radicesque efferunt loca cinere sic oppleta, quibus oves adeo pingues fieri perhibent, ut suffocentur; ideoque quarto aut quinto circiter die sanguinem illis ex auribus detrahunt, quod etiam apud Erytheam fieri declaravimus.

80.

De magnitudine terræ complures fuerunt physicorum opiniones : reliquis meliores sunt Posidonii et Eratosthenis : quarum hæc geometrica ratione magnitudinem ejus ostendit; illa Posidonii simplicior est. Uterque eorum hypotheses quasdam sumens, per ea quæ hypothesibus consectaria sunt ad demonstrationes procedit. Prius autem de Posidonii opinione dicemus. Sub eodem meridiano Rhodum et Alexandriam esse ait. Sunt autem meridiani circuli, qui scribuntur per mundi polos, et per punctum quod cujuscumque eorum qui in terra gradiuntur, vertici imminet. Poli igitur iidem sunt omnium : punctum autem vertici imminens, aliud aliorum. Rhodus igitur et Alexandria sub eodem meridiano sunt; et distantia inter eas urbes quinque millium stadiorum esse videtur. Et fac ita esse : sunt porro omnes meridiani e maximis, qui in mundo sunt, circulis, in duas partes eum secantes, perque polos descripti. Quæ quum ita se habere ponuntur, deinceps Posidonius signiferum æqualem meridianis, quippe qui et ipse in duas æquales partes mundum secet, in octo et quadraginta partes dividit, unumquodque e dodecatemoriis in quattuor secans. Si igitur etiam ille meridianus per Rhodum et Alexan-

μέρη διαιρεθῇ, ἴσα γίνεται αὐτοῦ τὰ τμήματα τοῖς προειρημένοις τοῦ ζωδιακοῦ τμήμασιν. Ὅταν γὰρ ἴσα μεγέθη εἰς ἴσα διαιρεθῇ, ἀνάγκη καὶ τὰ μέρη τοῖς μέρεσιν τῶν διαιρεθέντων ἴσα γίνεσθαι. Τούτων τοίνυν οὕτως ἔχειν προϋποκειμένων, ἑξῆς φησὶν ὁ Ποσειδώνιος, ὅτι Κάνωβος καλούμενος ἀστὴρ λαμπρότατός ἐστιν πρὸς μεσημβρίαν, ὡς ἐπὶ τῷ πηδαλίῳ τῆς Ἀργοῦς. Οὗτος ἐν Ἑλλάδι οὐδ' ὅλως ὁρᾶται· ὅθεν οὐδ' ὁ Ἄρατος ἐν τοῖς Φαινομένοις μιμνήσκεται αὐτοῦ· ἀπὸ δὲ τῶν ἀρκτικῶν ὡς πρὸς μεσημβρίαν ἰοῦσιν, ἀρχὴν τοῦ ὁρᾶσθαι ἐν τῷ Ῥόδῳ λαμβάνει, καὶ ὀφθεὶς ἐπὶ τοῦ ὁρίζοντος, εὐθέως κατὰ τὴν στροφὴν τοῦ κόσμου καταδύεται. Ὁπόταν δὲ τοὺς ἀπὸ Ῥόδου πεντακισχιλίους σταδίους διαπλεύσαντες ἐν Ἀλεξανδρείᾳ γενώμεθα, εὑρίσκεται ὁ ἀστὴρ οὗτος ἐν Ἀλεξανδρείᾳ ὕψος ἀπέχων τοῦ ὁρίζοντος, ἐπειδὰν ἀκριβῶς μεσουρανήσῃ, τέταρτον ζῳδίου, ὅ ἐστι τεσσαρακοστὸν ὄγδοον τοῦ μεσημβρινοῦ τοῦ ζωδιακοῦ. Ἀνάγκη τοίνυν καὶ τὸ ὑπερκείμενον τοῦ αὐτοῦ μεσημβρινοῦ τμῆμα, τοῦ διαστήματος τοῦ μεταξὺ Ῥόδου καὶ Ἀλεξανδρείας, τεσσαρακοστὸν ὄγδοον μέρος αὐτοῦ εἶναι, διὰ τὸ καὶ τὸν ὁρίζοντα τῶν Ῥοδίων τοῦ ὁρίζοντος τῶν Ἀλεξανδρείων ἀφίστασθαι τεσσαρακοστὸν ὄγδοον τοῦ ζωδιακοῦ κύκλου. Ἐπεὶ οὖν τὸ τούτῳ τῷ τμήματι ὑποκείμενον τῆς γῆς μέρος, πεντακισχιλίων σταδίων εἶναι δοκεῖ, καὶ τὰ τοῖς ἄλλοις τμήμασιν ὑποκείμενα ἐκ πεντακισχιλίων σταδίων ἐστί· καὶ οὕτως ὁ μέγιστος κύκλος τῆς γῆς εὑρίσκεται μυριάδων τεσσάρων καὶ εἴκοσιν, ἐὰν ὦσιν οἱ ἀπὸ Ῥόδου πεντακισχίλιοι· εἰ δὲ μή, πρὸς λόγον τοῦ διαστήματος. Καὶ ἡ μὲν τοῦ Ποσειδωνίου ἔφοδος περὶ τοῦ κατὰ τὴν γῆν μεγέθους τοιαύτη.

81.

Strabo II, p. 119 : Δυσμικώτατον μὲν γὰρ σημεῖον τῆς οἰκουμένης τὸ τῶν Ἰβήρων ἀκρωτήριον, ὃ καλοῦσιν Ἱερόν· κεῖται δὲ κατὰ τὴν γραμμήν πως (πρὸς) τὴν διὰ Γαδείρων τε καὶ Στηλῶν καὶ τοῦ Σικελικοῦ πορθμοῦ καὶ τῆς Ῥοδίας. Συμφωνεῖν γὰρ καὶ τὰ ὡροσκοπεῖα καὶ τοὺς ἀνέμους φασὶ τοὺς ἑκατέρωσε φορούς καὶ τὰ μήκη τῶν μεγίστων ἡμερῶν τε καὶ νυκτῶν· ἔστι γὰρ τεσσαρεσκαίδεκα ὡρῶν ἰσημερινῶν [καὶ ἡμίσους ἡ μεγίστη τῶν ἡμερῶν] τε καὶ νυκτῶν. Ἔν τε τῇ παραλίᾳ τῇ κατὰ Γάδειρα καὶ Ἴβηράς ποτε ὁρᾶσθαι ** Ποσειδώνιος δ' ἔκ τινος ὑψηλῆς οἰκίας ἐν πόλει διεχούσῃ τῶν τόπων τούτων ὅσον τετρακοσίους σταδίους, φησὶν ἰδεῖν ἀστέρα, ὃν τεκμαίρεσθαι τὸν Κάνωβον αὐτὸν ἔκ τοῦ τε μικρὸν ἐκ τῆς Ἰβηρίας προελθόντας ἐπὶ τὴν μεσημβρίαν ὁμολογεῖν ἀφορᾶν αὐτόν, καὶ ἐκ τῆς ἱστορίας τῆς ἐν Κνίδῳ· τὴν γὰρ Εὐδόξου σκοπὴν οὐ πολὺ τῶν οἰκήσεων ὑψηλοτέραν εἶναι, λέγεσθαι δ' ὅτι ἐντεῦθεν ἐκεῖνος ἀφεώρα τὸν Κάνωβον ἀστέρα, εἶναι δ' ἐπὶ τοῦ Ῥοδιακοῦ κλίματος τὴν Κνίδον, ἐφ' οὗ καὶ τὰ Γάδειρα καὶ ἡ ταύτῃ παραλία.

82.

Strabo VI, p. 266 : Τῶν πλευρῶν (Σικελίας), ἃς ἀφορίζουσιν αἱ τρεῖς ἄκραι, δύο μέν εἰσι κοῖλαι μετρίως, ἡ δὲ τρίτη κυρτή, ἡ ἀπὸ τοῦ Λιλυβαίου καθήκουσα πρὸς τὴν Πελωριάδα, ἥπερ μεγίστη ἐστί,

driam in easdem cum signifero quadraginta octo partes divisus sit, æqualia sunt ejus segmenta illis signiferi segmentis. Quum enim magnitudines æquales æqualiter dividuntur, æquales etiam divisorum partes inter se esse necesse est. His igitur ita ante constitutis, deinde ait Posidonius stellam Canobum appellatam splendidissimam esse ad meridiem in temone Argûs. Eadem in Græcia prorsus non conspicitur : unde nec Aratus ejus in Phænomenis meminit. Quum autem a septentrione versus meridiem procedimus, primum Rhodi conspicitur, et postquam ad finientem visa est, statim mundi conversione occidit. Quum vero illa quinque millia stadiorum a Rhodo navigando trajecimus et Alexandriam venimus, eadem stella, ubi in medio plane cœlo est, reperitur quarta parte signi super finientem attolli, quæ est quadragesima octava pars signiferi. Hinc necesse est eam partem meridiani, quæ intervallo Rhodum inter et Alexandriam imminet, quadragesimam octavam ejus esse : propterea quod finiens etiam Rhodiorum a finiente Alexandrinorum quadragesima octava parte signiferi distat. Quum igitur ea pars terræ, quæ isti segmento subjecta est, quinque millium stadiorum esse videatur; eæ item quæ reliquis segmentis subjiciuntur, totidem stadiorum sunt : atque ita maximus circulus terræ viginti quattuor myriadum esse reperitur, si a Rhodo ad Alexandriam sunt quinque millia; sin secus, pro ratione intervalli. Talis quidem est Posidonii ratio de magnitudine terræ.

81.

Terræ habitatæ punctum maxime occiduum est promontorium Hispaniæ quod Sacrum dicitur, situm fere in ea linea, quæ per Gades, Columnas, fretum Siculum et Rhodiam transit : nam et horologia aiunt convenire, et eosdem utrimque ventos ferri, et eandem esse utrobique longissimæ diei et noctis quantitatem : est enim maxima et dies et nox quattuordecim horarum æquinoctialium ac dimidiæ : et in ora maritima ad Gades atque Hispaniam [Columnas?] aliquando observari [*astra Canobo proxima*]. Posidonius refert se de excelsa quadam domo in urbe ab iis locis ad quadringenta stadia distante, stellam vidisse, quam existimaverit esse Canobum : nam et qui inde versus meridiem ex Hispania paululum progressi sint, fateri se eum cernere; et observationes astronomicas in Cnido institutas idem testari. Esse enim in Cnido Eudoxi speculam, non multo domibus sublimiorem, ex qua is fertur Canobum spectasse : esse autem Cnidum in Rhodiaco climate, in quo et Gades sunt et ora maritima ejus regionis.

82.

Laterum (Siciliæ) quæ his tribus promontoriis includuntur, duo sunt concava mediocriter, tertium a Lilybæo ad Pelorum curvum est, idemque longissimum, stadiorum mille et septingentorum; ut Posidonius dixit, qui et viginti adjecit. De reliquis, id quod a Lilybæo ad Pachynum pertinet, altero majus est (*et mille quingentorum et quinquaginta stadiûm*) : minimum omnium id, quod Freto

σταδίων χιλίων καὶ ἑπτακοσίων, ὡς Ποσειδώνιος εἴρηκε προσθεὶς καὶ εἴκοσι. Τῶν δ' ἄλλων ἡ ἐπὶ Πάχυνον ἀπὸ τοῦ Λιλυβαίου μείζων τῆς ἑτέρας· ἐλαχίστη δὲ ἡ τῷ Πορθμῷ καὶ τῇ Ἰταλίᾳ προσεχής, ἡ ἀπὸ τῆς Πελωριάδος ἐπὶ τὸν Πάχυνον, σταδίων ὅσον χιλίων καὶ ἑκατὸν καὶ τριάκοντα. Τὸν δὲ περίπλουν ὁ Ποσειδώνιος σταδίων τεσσαρακοσίων ἐπὶ τοῖς τετρακισχιλίοις ἀποφαίνει. Ἐν δὲ τῇ χωρογραφίᾳ μείζω λέγεται τὰ διαστήματα, κατὰ μέρος διῃρημένα μιλιασμῷ..., Ποσειδώνιός τε τοῖς κλίμασιν ἀφορίζων τὴν νῆσον (καὶ) πρὸς ἄρκτον μὲν τὴν Πελωριάδα, πρὸς νότον δὲ Λιλύβαιον, πρὸς ἕω δὲ τὸν Πάχυνον τίθησιν.

83.

Strabo VI, p. 273 : Φησὶ δ' ὁ Ποσειδώνιος οἷον ἀκροπόλεις ἐπὶ θαλάττης δύο τὰς Συρακούσας ἱδρῦσθαι καὶ τὸν Ἔρυκα, μέσην δὲ ἀμφοῖν ὑπερκεῖσθαι τῶν κύκλῳ πεδίων τὴν Ἔνναν. Hæc quoque fortasse ad Historias referre præstat.

84.

Cum iis quæ fr. 68 § 8 disputantur, conferenda hæc apud Galenum De placit. Hippocr. et Platonis V, p. 290, 41 : Συνάπτει δ' εἰκότως τοῖς λόγοις τούτοις ὁ Ποσειδώνιος τὰ κατὰ τὸν φυσιογνώμονα φαινόμενα. Καὶ γὰρ τῶν ζῴων καὶ τῶν ἀνθρώπων, ὅσα μὲν εὐρύστερνά τε καὶ θερμότερα, θυμικώτερα πάντ' ὑπάρχει φύσει, ὅσα δὲ πλατυίσχιά τε καὶ ψυχρότερα, δειλότερα· καὶ κατὰ τὰς χώρας οὐ σμικρῷ τινι διενηνοχέναι τοῖς ἤθεσι τοὺς ἀνθρώπους εἰς δειλίαν καὶ τόλμαν, ἢ τὸ φιλήδονόν τε καὶ φιλόπονον, ὡς τῶν παθητικῶν κινήσεων τῆς ψυχῆς ἑπομένων ἀεὶ τῇ διαθέσει τοῦ σώματος, ἣν ἐκ τῆς κατὰ τὸ περιέχον κράσεως οὐ κατ' ὀλίγον ἀλλοιοῦσθαι κτλ.

85.

Strabo I, p. 41 (Quæritur quinam sint Erembi, quorum Menelaus meminit ap. Hom. Od. IV, 84 : Αἰθίοπάς θ' ἱκόμην καὶ Σιδονίους καὶ Ἐρεμβούς) : Πιθανώτατοι δ' εἰσὶν οἱ νομίζοντες τοὺς Ἄραβας λέγεσθαι. Ζήνων δ' ὁ ἡμέτερος καὶ γράφει οὕτως·

Αἰθίοπάς θ' ἱκόμην καὶ Σιδονίους Ἄραβάς τε.

Τὴν μὲν οὖν γραφὴν οὐκ ἀνάγκη κινεῖν, παλαιὰν οὖσαν· αἰτιᾶσθαι δὲ βέλτιον τὴν τοῦ ὀνόματος μετάπτωσιν, πολλὴν καὶ ἐπιπολαίαν οὖσαν ἐν πᾶσι τοῖς ἔθνεσιν. Ἀμέλει δὲ καὶ ποιοῦσί τινες παραγραμματίζοντες. Ἄριστα δ' ἂν δόξειεν εἰπεῖν ὁ Ποσειδώνιος, κἀνταῦθα ἀπὸ τῆς τῶν ἐθνῶν συγγενείας καὶ κοινότητος ἐτυμολογῶν. Τὸ γὰρ τῶν Ἀρμενίων ἔθνος καὶ τὸ τῶν Σύρων καὶ Ἀράβων πολλὴν ὁμοφυλίαν ἐμφαίνει κατά τε τὴν διάλεκτον καὶ τοὺς βίους καὶ τοὺς τῶν σωμάτων χαρακτῆρας, καὶ μάλιστα καθὸ πλησιόχωροί εἰσι. Δηλοῖ δ' ἡ Μεσοποταμία ἐκ τῶν τριῶν συνεστῶσα τούτων ἐθνῶν· μάλιστα γὰρ ἐν τούτοις ἡ ὁμοιότης διαφαίνεται. Εἰ δέ τις παρὰ τὰ κλίματα γίνεται διαφορὰ τοῖς προσβόρροις ἐπὶ πλέον πρὸς τοὺς μεσημβρινοὺς καὶ τούτοις πρὸς μέσους τοὺς Σύρους, ἀλλ' ἐπικρατεῖ γε τὸ κοινόν. Καὶ οἱ Ἀσσύριοι δὲ καὶ οἱ Ἀριανοὶ παραπλησίως πως ἔχουσι καὶ πρὸς τούτους καὶ πρὸς ἀλλήλους. Εἰκάζει γε δὴ καὶ τὰς τῶν ἐθνῶν τούτων κατονομασίας ἐμφερεῖς ἀλλήλαις εἶναι. Τοὺς γὰρ ὑφ' ἡμῶν Σύρους καλουμένους ὑπ' αὐτῶν τῶν Σύρων (Ἀρμενίους, καὶ) Ἀραμμαίους καλεῖσθαι· τούτῳ δ' ἐοικέναι τοὺς Ἀρμενίους καὶ τοὺς Ἄραβας καὶ Ἐρεμβούς, τάχα τῶν πάλαι Ἑλλήνων οὕτω κα-

---

et Italiæ adjacet, a Peloro ad Pachynum tendens, stadiorum circiter mille centum et triginta. Ambitum insulæ Posidonius pronunciat, stadiorum quater millium et quadringentorum. At in chorographia majora hæc intervalla ponuntur, distincta per partes in miliaria. Posidonius climatibus definiens insulam, Pelorum septentrioni, Lilybæum austro, Pachynum ortui solis opponit.

83.

Posidonius ait Siciliam veluti arces duas ad mare constructas habere Syracusas et Erycem, ac mediam inter utramque Ennam imminere circumjacentibus campis.

84.

Apte cum his comparat Posidonius quæ a physiognomone observantur. Nam inter animalia quoque hominesque quot sunt lato pectore et calidiora, ea omnia etiam animosiora esse solent; quot vero latis coxendicibus instructa ac frigidiora sunt, ea etiam ignaviora esse solent. Porro secundum terrarum situm haud paullum differunt incolæ vel ad ignaviam vel ad audaciam propensiores, vel voluptati vel laboribus addictiores, quoniam animi affectus pendent ex corporum indole, quæ ex ambientis aeris temperatura multum variatur.

85.

Omnium hi vero simillima statuunt, qui Arabes significari putant. Et Zeno quidem noster ita scribit Homericum versum :

Æthiopes adii, tum Sidonios, Arabesque.

Sed scripturam mutare, quum sit vetusta, non est necesse. Culpanda est potius nominis mutatio, quæ frequens est et usitata omnibus gentibus : quod et quidam faciunt, qui literas nominum inter se comparant. Optime autem omnium existimo Posidonium hic quoque a gentium cognatione et communitate originem vocum ducere. Nam Armeniorum, Syrorum et Arabum multum cognationis præ se ferunt nationes, sermone, vita, corporum forma, maxime ubi degunt in vicinia : idque ostendit Mesopotamia ex tribus his conflata populis; maxime enim in his similitudo est illustris. Quodsi qua est varietas pro eo quod aliæ partes aliis magis ad septentrionem aut meridiem vergunt, aut in meridie sunt sitæ : nihilominus tamen communis affectio obtinet. Atque Assyrii et Ariani inter se atque istorum sunt assimiles. Conjicit exinde Posidonius, harum gentium nomina quoque esse affinia : qui enim a nobis Syri dicuntur, ab ipsis Syris Aramæos vocari; idque Armeniis, Arabibus,

λούντων τοὺς Ἄραβας, ἅμα καὶ τοῦ ἐτύμου συνεργοῦντος πρὸς τοῦτο. Ἀπὸ γὰρ τοῦ εἰς τὴν ἔραν ἐμβαίνειν τοὺς Ἐρεμβοὺς ἐτυμολογοῦσιν οὕτως οἱ πολλοὶ, οὓς μεταλαβόντες οἱ ὕστερον ἐπὶ τὸ σαφέστερον Τρωγλοδύτας ἐκάλεσαν· οὗτοι δέ εἰσιν Ἀράβων οἱ ἐπὶ θάτερον μέρος τοῦ Ἀραβίου κόλπου κεκλιμένοι, τὸ πρὸς Αἰγύπτῳ καὶ Αἰθιοπίᾳ. Τούτων δ' εἰκὸς μεμνῆσθαι τὸν ποιητὴν καὶ πρὸς τούτοις ἀφῖχθαι λέγειν τὸν Μενέλαον, καθ' ὃν τρόπον εἴρηται καὶ πρὸς τοὺς Αἰθίοπας· τῇ γὰρ Θηβαΐδι καὶ οὗτοι πλησιάζουσιν· ὁμοίως οὐκ ἐργασίας οὐδὲ χρηματισμοῦ χάριν τούτων ὀνομαζομένων (οὐ πολὺ γὰρ ἦν τοῦτο), ἀλλὰ τοῦ μήκους τῆς ἀποδημίας καὶ τοῦ ἐνδόξου.

86.

Strabo XVII, p. 784 : (Sermo est de versu Homerico : Αἰθίοπας δ' ἱκόμην καὶ Σιδονίους καὶ Ἐρεμβούς) : Ἀλλὰ μᾶλλον περὶ τῶν Ἐρεμβῶν ἡ ζήτησις, εἴτε τοὺς Τρωγλοδύτας ὑπονοητέον λέγεσθαι, καθάπερ οἱ τὴν ἐτυμολογίαν βιαζόμενοι ἀπὸ τοῦ εἰς τὴν ἔραν ἐμβαίνειν, ὅπερ ἐστὶν εἰς τὴν γῆν, εἴτε τοὺς Ἄραβας. Ὁ μὲν οὖν Ζήνων ὁ ἡμέτερος μεταγράφει οὕτως,

Καὶ Σιδονίους Ἄραβάς τε.

Πιθανώτερον δὲ Ποσειδώνιος γράφει, τῷ παρὰ μικρὸν ἀλλάξαι·

Καὶ Σιδονίους καὶ Ἀρεμβούς,

ὡς τοῦ Ποιητοῦ τοὺς νῦν Ἄραβας οὕτω καλέσαντος, καθάπερ καὶ ὑπὸ τῶν ἄλλων ὠνομάζοντο κατ' αὐτόν. Φησὶ δὲ ταῦτα τὰ τρία ἔθνη συνεχῆ ἀλλήλοις ἱδρυμένα ὁμογένειάν τινα ἐμφαίνειν πρὸς ἄλληλα καὶ διὰ τὸ παρακειμένοις ὀνόμασι κεκλῆσθαι, τοὺς μὲν Ἀρμενίους, τοὺς δὲ Ἄραβας, τοὺς δὲ Ἀρεμβούς· ὥσπερ δὲ ἀπὸ ἔθνους [ἑνὸς] ὑπολαμβάνειν ἔστιν εἰς τρία διῃρῆσθαι κατὰ τὰς τῶν κλιμάτων διαφορὰς ἀεὶ καὶ μᾶλλον ἐξαλαττομένων, οὕτω καὶ τοῖς ὀνόμασι χρήσασθαι πλείοσιν ἀνθ' ἑνός. Οὐδ' οἱ Ἐρεμνοὺς γράφοντες (uti Crates, vid. Eustath. p. 1485) πιθανοί· τῶν γὰρ Αἰθιόπων μᾶλλον ἴδιον. Λέγει δὲ καὶ τοὺς Ἀρίμους ὁ Ποιητής, οὕς φησι Ποσειδώνιος δέχεσθαι δεῖν μὴ τόπον τινὰ Συρίας ἢ τῆς Κιλικίας ἢ ἄλλης τινὸς γῆς, ἀλλὰ τὴν Συρίαν αὐτήν. Ἀραμαῖοι γὰρ οἱ ἐν αὐτῇ· τάχα δ' οἱ Ἕλληνες Ἀριμαίους ἐκάλουν ἢ Ἀρίμους. Αἱ δὲ τῶν ὀνομάτων μεταπτώσεις, καὶ μάλιστα τῶν βαρβαρικῶν, πολλαί· καθάπερ τὸν Δαριήκην (Δαριαύην?) Δαρεῖον ἐκάλεσαν, τὴν δὲ Φάρζιριν Παρύσατιν, Ἀταργάτιν δὲ τὴν Ἀθάραν (Ἀσθάραν?)· Δερκετὼ δ' αὐτὴν Κτησίας καλεῖ.

87.

Plinius H. N. VI, 21 : *Posidonius ab æstivo solis ortu ad hibernum exortum metatus est eam* (Indiam), *adversam Galliæ statuens, quam ab occidente æstivo ad occidentem hibernum metabatur totam a Favonio. Itaque adversam ejus venti afflatu juvari Indiam salubremque fieri haud dubia ratione docuit.* Hinc sua Solinus Polyb. c. 52.

88.

Strabo II, p. 104 : Ἐρατοσθένους δὲ εἴρηται ἡ περὶ τὰ ἑσπέρια καὶ τὰ ἀρκτικὰ τῆς Εὐρώπης ἄγνοια. Ἀλλ' ἐκείνῳ μὲν καὶ Δικαιάρχῳ συγγνώμη, τοῖς μὴ κατιδοῦσι τοὺς τόπους ἐκείνους· Πολυβίῳ δὲ καὶ Ποσειδωνίῳ τίς ἂν συγγνοίη;

---

et Erembis convenire, quo forte nomine veteres Græci Arabas vocasse videantur, ipsa nominis originatione juvante. Nam Eremborum nomen multi ab ἔραν ἐμβαίνειν (*id est* terram subire) deducunt; quos posteriores apertiore vocabulo Troglodytas appellaverunt. Sunt autem ii Arabes qui ad alterum latus sinus Arabici vergunt, quod est ad Ægyptum et Æthiopiam. Horum meminisse poetam probabile est, et dixisse, ad eos Menelaum pervenisse, quomodo etiam ad Æthiopes (nam hi quoque Thebaidi sunt vicini), non negotiatonis aut quæstus causa nominatos, qui multus esse non potuit, sed ob longitudinem peregrinationis et gloriationem.

86.

Sed major quæstio de Erembis est, an Troglodytæ intelligi debeant (quod vi originis vocabuli quidam pervincere volunt, inde Erembos dici autumantes, quod ἔραν ἐμβαίνουσι, *terram subeant*), an Arabes. Ac noster Zeno sic scripturam mutat :

καὶ Σιδονίους Ἄραβάς τε

Probabilius vero Posidonius lenissima mutatione scribit :

καὶ Σιδονίους καὶ Ἀρεμβούς,

ita ut poeta qui nunc Arabes dicuntur appellet *Arembos*, quemadmodum etiam ab aliis ex ejus sententia appellentur. Dicit autem has tres nationes continenter inter se positas suam invicem cognationem ostendere etiam eo, quod affinia habeant nomina : Armenios scilicet, Arabes et Arembos. Et quemadmodum existimandum sit, unam gentem in tres esse divisam, pro climatum diversitatibus magis magisque immutatam, sic et nominibus pluribus uti pro uno. Neque vero audiendi sunt qui Ἐρεμνοὺς (*nigros*) scribunt; id enim magis Æthiopibus convenit. Nominat etiam *Arimos* Homerus; quos Posidonius docet esse accipiendos, non locum aliquem Syriæ vel Ciliciæ vel alius terræ, sed Syriam ipsam. Aramæi enim sunt, qui in ea habitant, quos facile Græci Arimæos vel Arimos vocare poterant. Nominum enim permutationes permultæ sunt, præsertim barbarorum, quemadmodum Dariacen Darium, Pharzirim Parysatim, Atargatam Atharam dixerunt, quam posteriorem Ctesias Derceto vocavit.

88.

Dictum est quam fuerit Eratosthenes ignarus occiduarum et septentrionalium Europæ partium. Verum huic quidem et Dicæarcho danda est venia, qui loca ista non inspexerunt; sed Polybio et Posidonio quis ignoscat?

89.

Strabo XI, p. 491 sq. (Strabo Asiæ partem eam quæ περὶ τὸν Τάναϊν est, ita descripsit, ut eam peninsulam efformaret, quæ Tanai fluvio, Palude Mæotica et Ponto Euxino, mari Caspio et Oceano circumdaretur : adeo ut pars meridionalis isthmi instar esset, Colchicum inter et Caspium mare) :

Ποσειδώνιος δὲ χιλίων πεντακοσίων εἴρηκε τὸν ἰσθμὸν, ὅσον καὶ τὸν ἀπὸ Πηλουσίου ἰσθμὸν ἐς τὴν Ἐρυθράν· « Δοκῶ δὲ, φησὶ, μὴ πολὺ διαφέρειν μηδὲ τὸν ἀπὸ τῆς Μαιώτιδος εἰς τὸν Ὠκεανόν. » Οὐκ οἶδα δὲ πῶς ἄν τις περὶ τῶν ἀδήλων αὐτῷ πιστεύσειε, μηδὲν εἰκὸς ἔχοντι εἰπεῖν περὶ αὐτῶν, ὅταν περὶ τῶν φανερῶν οὕτω παραλόγως λέγῃ· καὶ ταῦτα φίλος Πομπηίῳ γεγονὼς τῷ στρατεύσαντι ἐπὶ τοὺς Ἴβηρας καὶ τοὺς Ἀλβανοὺς μέχρι τῆς ἐφ' ἑκάτερα θαλάττης, τῆς τε Κασπίας καὶ τῆς Κολχικῆς. Φασὶ γοῦν ἐν Ῥόδῳ γενόμενον τὸν Πομπήιον, ἡνίκα ἐπὶ τὸν λῃστρικὸν πόλεμον ἐξῆλθεν (αὖθις δ' ἔμελλε καὶ ἐπὶ Μιθριδάτην ὁρμήσειν καὶ τὰ μέχρι τῆς Κασπίας ἔθνη), παρατυχεῖν διαλεγομένῳ τῷ Ποσειδωνίῳ· ἀπιόντα δ' ἐρέσθαι, εἴ τι προστάττοι· τὸν δ' εἰπεῖν,

Αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων.

Προστίθει δὲ τούτοις, ὅτι καὶ τὴν ἱστορίαν συνέγραψεν τὴν περὶ αὐτόν.

Cf. Strabo XVII, p. 803 : Ὁ δὲ μεταξὺ ἰσθμὸς τοῦ Πηλουσίου καὶ τοῦ μυχοῦ τοῦ καθ' Ἡρώων πόλιν, ἐνναχοσίων μέν ἐστι σταδίων, ὡς δὲ Ποσειδώνιός φησιν, ἐλάττων ἢ χιλίων καὶ πεντακοσίων.

90.

Schol. Apoll. Rhod. II, 677 : Ὑπερβορείους μὴ εἶναι τελέως φησὶν Ἡρόδοτος... Ποσειδώνιος δ' εἶναί φησι τοὺς Ὑπερβορείους, κατοικεῖν δὲ περὶ τὰς Ἄλπεις τῆς Ἰταλίας. Cf. Müller. *Dor.* I, p. 277.

91.

Strabo VII, p. 295 : Καὶ Ὅμηρον δὲ ὀρθῶς εἰκάζειν μοι δοκεῖ Ποσειδώνιος τοὺς ἐν τῇ Εὐρώπῃ Μυσοὺς κατονομάζειν (λέγω δὲ τοὺς ἐν τῇ Θρᾴκῃ) ὅταν φῇ·

αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινὼ,
νόσφιν ἐφ' ἱπποπόλων Θρῃκῶν καθορώμενος αἶαν
Μυσῶν τ' ἀγχεμάχων.

Ἐπεὶ εἴ γε τοὺς κατὰ τὴν Ἀσίαν Μυσοὺς δέχοιτό τις, ἀπηρτημένος ἂν εἴη ὁ λόγος. Τὸ γὰρ ἀπὸ τῶν Τρώων τρέψαντα τὴν ὅρασιν ἐπὶ τὴν Θρᾳκῶν γῆν, συγκαταλέγειν ταύτῃ τὴν τῶν Μυσῶν, τῶν οὐ νόσφιν ὄντων, ἀλλ' ὁμόρων τῇ Τρῳάδι, καὶ ὄπισθεν αὐτῆς ἱδρυμένων, καὶ ἑκατέρωθεν, διειργομένων δ' ἀπὸ τῆς Θρᾴκης πλατεῖ Ἑλλησπόντῳ, συγχέοντος ἂν εἴη τὰς ἠπείρους, καὶ ἅμα τῆς φράσεως οὐκ ἀκούοντος. Τὸ γὰρ πάλιν τρέπειν, μάλιστα μέν ἐστιν εἰς τοὐπίσω· ὁ δ' ἀπὸ τῶν Τρώων μεταφέρων τὴν ὄψιν, ἐπὶ τοὺς ἢ ὄπισθεν αὐτῶν ἢ ἐκ πλαγίων ὄντας, προσωτέρω μὲν μεταφέρει, εἰς τοὐπίσω δ' οὐ πάνυ. Καὶ τὸ ἐπιφερόμενον δ' αὖ τοῦτο μαρτύριον, ὅτι τοὺς Ἱππημολγοὺς καὶ Γαλακτοφάγους καὶ Ἀβίους συνῆψεν αὐτοῖς, οἵπερ εἰσὶν οἱ ἁμάξοικοι Σκύθαι καὶ Σαρμάται. Καὶ γὰρ νῦν ἀναμέμικται ταῦτα τὰ ἔθνη τοῖς Θρᾳξὶ καὶ τὰ Βασταρνικὰ, μᾶλλον μὲν τοῖς ἐκτὸς Ἴστρου, ἀλλὰ καὶ τοῖς ἐντός. Τούτοις δὲ καὶ

89.

Posidonius isthmum stadia mille quingenta latum facit, quantum hunc quoque, qui a Pelusio ad Rubrum est mare. « Neque multum puto (ait) ab his differre eum qui a Mæotide est ad Oceanum usque. » Ceterum haud scio, quomodo ei fidem quisquam possit habere de rebus obscuris dicenti, ubi nullam habet quam sequatur probabilitatem, quando tam aliena a ratione pronuntiat de rebus manifestis, quum Pompeii amicus fuerit, qui exercitum in Iberos Albanosque duxit, ad utrumque usque mare, Caspium ac Colchicum. Etenim Pompeium aiunt Rhodum venisse, quo tempore ad bellum Piraticum proficiscebatur, mox adversus Mithridatem ducturus et gentes ad Caspium usque mare sitas, ibique Posidonium disserentem compellasse, inque suo discessu interrogasse, ecquid mandaret; illum autem jussisse :

Rem gerere excelse atque aliis præstare memento.

Adde his, quod etiam historiam rerum ejus gestarum conscripsit. Itaque oportebat eum veri majorem habere rationem.

90.

Hyperboreos omnino non esse Herodotus ait, Posidonius autem revera esse eos et ad Alpes Italiæ habitare dicit.

91.

Posidonii comprobo conjecturam, qui Europæos, id est Thraces Mysos ab Homero (Il. 13, 5) nominari judicat his verbis :

Partem in diversam rursum sua lumina torsit,
Thraces equûm domitores, cominus atque potentes
pugna respiciens Mysos.

Nam si quis Asiæ populum Mysos intelligat, incongruus erit sermo. Qui enim dicens Jovem a Troja visum avertentem in Thracum terram, cum his comprehendat Mysos non in remota parte sitos, sed confines Troadi, et post eam incolentes atque ab utroque latere, a Thracia autem toto divisos Hellesponto : is et terræ continentes partes diversas confuderit, neque Homeri verba intellexerit. Nam *rursum* oculos convertere, id maxime est retrorsum avertere : qui autem a Trojanis visum transferret in eos qui vel post eos vel a latere siti sunt, is proferret quidem, non autem retro visum averteret. Huc facit et ipsum testimonium quod adducitur, quod Mysis adjungit Hippomolgos, Galactophagos et Abios, qui sunt in vehiculis habitantes Scythæ et Sarmatæ. Nam etiamnum permixtæ sunt istæ et Bastarnicæ gentes Thracibus, magis quidem iis qui extra, sed et iis qui intra Istrum accolunt; iisdemque etiam Cel-

τὰ Κελτικά, οἵ τε Βόϊοι καὶ Σκορδίσκοι καὶ Ταυρίσκοι. Τοὺς δὲ Σκορδίσκους ἔνιοι Σκορδίστας καλοῦσι· καὶ τοὺς Ταυρίσκους δὲ Λιγυρίσκους (? Τευρίσκους mgo cod. A.) καὶ Ταυρίστας φασί.

Λέγει δὲ τοὺς Μυσοὺς ὁ Ποσειδώνιος καὶ ἐμψύχων ἀπέχεσθαι κατ' εὐσέβειαν, διὰ δὲ τοῦτο καὶ θρεμμάτων· μέλιτι δὲ χρῆσθαι καὶ γάλακτι καὶ τυρῷ, ζῶντας καθ' ἡσυχίαν· διὰ δὲ τοῦτο καλεῖσθαι θεοσεβεῖς τε καὶ καπνοβάτας· εἶναι δέ τινας τῶν Θρᾳκῶν, οἳ χωρὶς γυναικὸς ζῶσιν, οὓς Κτίστας καλεῖσθαι, ἀνιερῶσθαί τε διὰ τιμὴν καὶ μετὰ ἀδείας ζῆν· τούτους δὴ συλλήβδην ἅπαντας τὸν ποιητὴν εἰπεῖν

ἀγαυοὺς ἱππημολγούς,
Γλακτοφάγους Ἀβίους τε, δικαιοτάτους ἀνθρώπους.

Ἀβίους δὲ προσαγορεύειν μάλιστα, ὅτι χωρὶς γυναικῶν· ἡγούμενος ἡμιτελῆ τινα βίον τὸν χῆρον, καθάπερ καὶ τὸν οἶκον ἡμιτελῆ τὸν Πρωτεσιλάου, διότι χῆρος· ἀγχεμάχους δὲ τοὺς Μυσούς, ὅτι ἀπόρθητοι, καθὰ οἱ ἀγαθοὶ πολεμισταί· δεῖν δὲ ἐν τῷ δεκάτῳ (l. ἐν τῷ ιγ') ἐγγράφειν ἀντὶ τοῦ Μυσῶν τ' ἀγχεμάχων [Μοισῶν τ' ἀγχεμάχων]. Cf. Strabo VII, p. 300, ubi iterum de his Posidonii mentionem injicit.

Jam denique ea subjicimus, quæ quamvis Strabo fragm. 68 non attigerit, tamen propter rerum narratarum argumenta libris De Oceano vindicanda esse apparet.

93.

Strabo I, p. 6: Ἵππαρχος δ' οὐ πιθανός ἐστιν ἀντιλέγων τῇ δόξῃ ταύτῃ, ὡς οὔθ' ὁμοιοπαθοῦντος τοῦ ὠκεανοῦ παντελῶς, οὔτ', εἰ δοθείη τοῦτο, ἀκολουθοῦντος αὐτῷ τοῦ σύρρουν εἶναι πᾶν τὸ κύκλῳ πέλαγος τὸ Ἀτλαντικόν, πρὸς τὸ μὴ ὁμοιοπαθεῖν μάρτυρι χρώμενος Σελεύκῳ τῷ Βαβυλωνίῳ. Ἡμεῖς δὲ τὸν μὲν πλείω λόγον περὶ τοῦ ὠκεανοῦ καὶ τῶν πλημμυρίδων εἰς Ποσειδώνιον ἀναβαλλόμεθα καὶ Ἀθηνόδωρον, ἱκανῶς διακρατήσαντας * τὸν περὶ τούτων λόγον· πρὸς δὲ τὰ νῦν ἐπὶ τοσοῦτον λέγομεν, ὅτι πρός τε τὴν ὁμοιοπάθειαν οὕτω βέλτιον νομίσαι· τά τε οὐράνια συνέχοιτ' ἂν κρεῖττον ταῖς ἐντεῦθεν ἀναθυμιάσεσιν, εἰ πλεῖον εἴη τὸ ὑγρὸν περικεχυμένον.

Idem I, p. 55: Περὶ μὲν οὖν τῶν πλημμυρίδων καὶ τῶν ἀμπώτεων εἰρήκασιν ἱκανῶς Ποσειδώνιος καὶ Ἀθηνόδωρος.

94.

Strabo I, p. 4 (Maris accessus et recessus Homero cognitos füisse demonstratur): Ποσειδώνιος δὲ καὶ ἐκ τοῦ σκοπέλους λέγειν (sc. Ὅμηρον) τοτὲ μὲν καλυπτομένους, τοτὲ δὲ γυμνουμένους, καὶ ἐκ τοῦ ποταμὸν φάναι τὸν ὠκεανὸν εἰκάζει τὸ ῥοῶδες αὐτοῦ τὸ περὶ τὰς πλημμυρίδας ἐμφανίζεσθαι. Τὸ μὲν οὖν πρῶτον εὖ, τὸ δὲ δεύτερον οὐκ ἔχει λόγον· οὔτε γὰρ ποταμίῳ ῥεύματι ἔοικεν ἡ τῆς πλημμυρίδος ἐπίβασις· πολὺ δὲ μᾶλλον ἡ ἀναχώρησις οὐ τοιαύτη. Vid. Hom. Od. μ, 237 sqq.; Il. ξ, 245 sqq.

95.

Strabo I, p. 172: Φησὶ δὲ ὁ Πολύβιος κρήνην ἐν τῷ Ἡρακλείῳ τῷ ἐν Γαδείροις εἶναι, βαθμῶν ὀλίγων κατάβασιν ἔχουσαν εἰς τὸ ὕδωρ πότιμον, ἣν ταῖς παλιρ-

---

ticæ, Boii, Scordisci, Taurisci. Scordiscos quidam Scordistas appellant, Tauriscis Liguriscorum et Tauristarum nomen tribuunt.

Idem Posidonius ait, Mysos pietatis ergo quum animatis, tum eapropter etiam pecudibus abstinere; vitam degere otiosam, melle et lacte et caseo nutritos; ideoque eos et deûm cultores nominari et Capnobatas (?); esse etiam quosdam Thraces, qui absque mulieribus vivant, eosque Ctistas (*Conditores*) vocari, et sacros honoris causa haberi, securosque vivere. Hos universos Homerum summatim sic extulisse:

mulctores claros respexit equorum,
Lactivoros Abiosque: hominum gens justior illis
nulla alia est.

Abios autem dicere præcipue, quia uxoribus careant, viduam vitam quasi dimidia sui dumtaxat parte constantem censens, ut et Protesilai domum, eo exstincto viduatam, *semiperfectam* vocat; et *cominus pugnantes* Mysos, quod boni sint bellatores, neque agi ac ferri sua patiantur. Idemque in Iliadis libro decimo tertio pro Μυσῶν τ' ἀγχεμάχων scribi vult Μοισῶν τ' ἀγχεμάχων.

93.

Neque fidem meretur Hipparchus, qui eo hanc sententiam impugnat, quod neque ubique eadem prorsus Oceano accidant, neque, si hoc detur, inde efficiatur Atlanticum mare in se refluere atque in orbem redire, et qui Seleuci Babylonii testimonio probare studet, non eadem Oceano ubique accidere. Nos vero majorem quæstionis partem de Oceano et æstu ad Posidonium atque Athenodorum rejicimus, qui de his satis copiose disputaverunt. In præsentia id modo dicimus: et accidentium similitudini nostram sententiam melius respondere et cœlestia evaporationibus inde surgentibus melius fere ali, si humor copiosior circumfundatur.

94.

Posidonius vehementiorem affluxum augescentis maris eo etiam innuisse Homerum putat, quod scopulos memoravit modo occultatos, modo detectos, et quod fluvii nomine Oceanum affecit (*Il.* Ξ, 245 *al.*): quorum prius rectum est, posterius nihil habet rationis. Nam neque incremento maris aqua ita accedit, ut cursui fluminis ea accessio sit similis: et recessio adhuc etiam magis ei dissimilis est.

95.

Scribit Polybius esse Gadibus in templo Herculis fontem ad cujus aquas potui aptas paucorum sit graduum descensus, qui ad æstus maris contrario plane affi-

ροίαις τῆς θαλάττης ἀντιπαθεῖν, κατὰ μὲν τὰς πλήμας ἐκλείπουσαν, κατὰ δὲ τὰς ἀμπώτεις πληρουμένην. Αἰτιᾶται δ' ὅτι τὸ πνεῦμα τὸ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν τῆς γῆς ἐκπῖπτον, καλυφθείσης μὲν αὐτῆς ὑπὸ τοῦ κύματος κατὰ τὰς ἐπιβάσεις τῆς θαλάττης, εἴργεται τῶν οἰκείων τοιούτων ἐξόδων, ἀναστρέψαν δὲ εἰς τὸ ἐντὸς ἐμφράττει τοὺς τῆς πηγῆς πόρους καὶ ποιεῖ λειψυδρίαν, γυμνωθείσης δὲ πάλιν, εὐθυπορῆσαν ἐλευθεροῖ τὰς φλέβας τῆς πηγῆς, ὥστ' ἀναβλύειν εὐπόρως. Ἀρτεμίδωρος δὲ ἀντειπὼν τούτῳ καὶ ἅμα παρ' αὑτοῦ τινα θεὶς αἰτίαν, μνησθεὶς δὲ καὶ τῆς Σιλανοῦ δόξης τοῦ συγγραφέως, οὔ μοι δοκεῖ μνήμης ἄξια εἰπεῖν, ὡς ἂν ἰδιώτης περὶ ταῦτα καὶ αὐτὸς καὶ Σιλανός. Ποσειδώνιος δὲ ψευδῆ λέγων τὴν ἱστορίαν εἶναι ταύτην δύο φησὶ εἶναι φρέατα ἐν τῷ Ἡρακλείῳ καὶ τρίτον ἐν τῇ πόλει· τῶν δ' ἐν τῷ Ἡρακλείῳ τὸ μὲν μικρότερον ὑδρευομένων συνεχῶς αὐθωρὸν καὶ ἐκλείπειν, καὶ διαλειπόντων τῆς ὑδρείας πληροῦσθαι πάλιν· τὸ δὲ μεῖζον δι' ὅλης τῆς ἡμέρας τὴν ὑδρείαν ἔχον, μειούμενον μέντοι, καθάπερ καὶ τἆλλα φρέατα πάντα, νύκτωρ πληροῦσθαι, μηκέτι ὑδρευομένων· ἐπειδὴ δὲ συμπίπτει κατὰ τὸν τῆς συμπληρώσεως καιρὸν ἡ ἄμπωτις πολλάκις, πεπιστεῦσθαι κενῶς ὑπὸ τῶν ἐγχωρίων τὴν ἀντιπάθειαν. Ὅτι μὲν οὖν ἡ ἱστορία πεπίστευται, καὶ οὗτος εἴρηκε, καὶ ἡμεῖς ἐν τοῖς παραδόξοις θρυλουμένην παρειλήφαμεν κτλ.

Οὐκ οἶδα δὲ πῶς κατ' ἄλλα δεινοὺς ἀποφαίνων ὁ Ποσειδώνιος τοὺς Φοίνικας, ἐνταῦθα μωρίαν μᾶλλον ἢ δριμύτητα αὐτῶν κατέγνωκεν. Ἡμέρα μὲν γὰρ καὶ νὺξ τῇ τοῦ ἡλίου περιφορᾷ μετρεῖται, τοτὲ μὲν ὑπὸ γῆς ὄντος, τοτὲ δὲ ὑπὲρ γῆς φαινομένου· φησὶ δὲ τὴν τοῦ ὠκεανοῦ κίνησιν ὑπέχειν ἀστροειδῆ περίοδον, τὴν μὲν ἡμερήσιον ἀποδιδοῦσαν, τὴν δὲ μηνιαίαν, τὴν δ' ἐνιαυσιαίαν συμπαθῶς τῇ σελήνῃ. Ὅταν γὰρ αὕτη ζῳδίου μέγεθος ὑπερέχῃ τοῦ ὁρίζοντος, ἄρχεσθαι διοιδεῖν τὴν θάλατταν καὶ ἐπιβαίνειν τῆς γῆς αἰσθητῶς μέχρι μεσουρανήσεως· ἐκκλίναντος δὲ τοῦ ἄστρου, πάλιν ἀναχωρεῖν τὸ πέλαγος κατ' ὀλίγον, ἕως ἂν ζῴδιον ὑπερέχῃ τῆς δύσεως ἡ σελήνη· εἶτα μένειν τοσοῦτον ἐν τῇ αὐτῇ καταστάσει χρόνον, ὅσον ἡ σελήνη συνάπτει πρὸς αὐτὴν τὴν δύσιν, καὶ ἔτι μᾶλλον τοσοῦτον, ὅσον κινηθεῖσα ὑπὸ γῆς ζῴδιον ἀπόσχοι ἂν τοῦ ὁρίζοντος· εἶτ' ἐπιβαίνειν πάλιν ἕως τοῦ ὑπὸ γῆν μεσουρανήματος· εἶτ' ἀναχωρεῖν, ἕως ἂν πρὸς τὰς ἀνατολὰς περιχωρήσασα ἡ σελήνη ζῴδιον τοῦ ὁρίζοντος ἀπόσχῃ· μένειν δέ, μέχρις ἂν ζῴδιον ὑπὲρ γῆς μετεωρισθῇ, καὶ πάλιν ἐπιβαίνειν. Ταύτην μὲν εἶναι λέγει τὴν ἡμερήσιον περίοδον· τὴν δὲ μηνιαίαν, ὅτι μέγισται μὲν αἱ παλίρροιαι γίγνονται περὶ τὰς συνόδους, εἶτα μειοῦνται μέχρι διχοτόμου· πάλιν δ' αὔξονται μέχρι πανσελήνου, καὶ μειοῦνται πάλιν ἕως διχοτόμου φθινάδος· εἶθ' ἕως τῶν συνόδων αἱ αὐξήσεις· πλεονάζειν δὲ καὶ χρόνῳ καὶ τάχει τὰς αὐξήσεις. Τὰς δ' ἐνιαυσίας παρὰ τῶν ἐν Γαδείροις πυθέσθαι φησί, λεγόντων ὡς κατὰ θερινὰς τροπὰς μάλιστα αὔξοιντο καὶ αἱ ἀναχωρήσεις καὶ αἱ ἐπιβάσεις. Εἰκάζει δ' αὐτὸς ἀπὸ τῶν τροπῶν μειοῦσθαι μὲν ἕως ἰσημερίας, αὔξεσθαι δὲ ἕως χειμερινῶν τροπῶν· εἶτα μειοῦσθαι μέχρι ἐαρινῆς ἰσημερίας· εἶτ' αὔξεσθαι μέχρι

---

ciatur modo, quum sub exundationem maris deficiat, et defluente eo impleatur. Causam rei confert in ventum qui e profundo in superficiem terræ effertur : qua superficie sub maris affluxu ab aquis occupata, ventum, quum suis exitibus solitis privetur, introrsum reverti, obstructisque fontis meatibus aquas intercludere, rursumque denudata aquis superficie, recta exeuntem venas fontis liberare obstructione, atque ita tum aquam copiose ebullire. Artemidorus autem dum hujus sententiam vult refellere, aliamque a se causam profert, facta simul sententiæ Silani historici mentione, indigna relatu mihi videtur dicere : quippe quum et ipse et Silanus harum fuerint rerum rudes. At Posidonius falsitatis hanc narrationem damnans, duos ait in Herculis templo esse puteos, et in urbe tertium : eorum qui sunt ad Herculis, minorem, quum continenter ex eo aqua hauriatur, ea ipsa hora siccari, rursumque impleri, ubi desitum fuerit aquari : majorem totius diei aquationi sufficere; minui quidem ipsum quoque more aliorum puteorum, aquatione autem noctu cessante repleri : et quum in repletionis tempus incidat non raro maris defluxus, creditam esse ab incolis illam contrarietatem affectionis, inaniter. Historiæ quidem huic fidem adhibitam fuisse quum ille ait, tum nos in divulgatis rerum inusitatarum narrationibus traditum reperimus.

Nescio autem qui factum sit ut Posidonius, in ceteris rebus acumen ingenii Phœnicibus tribuens, magis hoc loco eos fatuos quam subtiles judicet. Solis conversionem die ac nocte metimur, partem supra, partem infra terram eo exigente. Jam ille tradit oceani motum imitari conversionem cœlestem, esseque æstum maris alium diurnum, alium annuum, ad lunam certo modo affecti. Quum luna enim unius signi spatio supra horizontem elevatur, tum intumescere mare et in terram effluere (quod etiam sensus possit percipere), idque usque dum ad medium cœli luna perveniat. Inde declinante astro, paulatim mare abscedere, dum uno tantum signo ab occasu absit luna : tum consistere ipsum tanto tempore quanto luna ad ipsum occasum perrexerit, item tanto quanto infra terram sub horizontem unius signi quantitate descenderit : exinde rursum increscere, donec ad medium cœli infra terram luna appulerit : postea iterum recedere, usque dum versus ortum progressa luna signo uno horizontem se habeat altiorem : tum eodem statu manere, donec ea signo uno horizontem superet altitudine : exinde rursum in terram exire. Hunc ergo ait ille maris esse diurnum circuitum. Menstruum porro, quod maximi refluxus contingunt circa novilunium, deinde dum æqua portione divisa videatur luna, minui : hinc rursum usque ad plenilunium augeri, et minui exinde, usque dum diminuta lumine dimidium lucidum ostendat; postea rursum ad coitum usque crescere : ea autem incrementa et tempore et celeritate sese superare. Annuas denique maris vices se a Gaditanis auditu cognovisse ait : ita enim illos tradere, circa æstivum solstitium recessus accessusque maris maxime augeri; se vero conjecturam facere, eosdem

θερινῶν τροπῶν. Τῶν δὲ περιόδων τούτων οὐσῶν καθ' ἑκάστην ἡμέραν καὶ νύκτα, τὸν συνάμφω χρόνον δὶς μὲν ἐπιβαινούσης τῆς θαλάττης, δὶς δὲ ἀναχωρούσης, τεταγμένως δὲ καὶ τῷ ἡμερησίῳ χρόνῳ καὶ τῷ νυκτερινῷ, πῶς οἷόντε πολλάκις μὲν συμβαίνειν κατὰ τὰς ἀμπώτεις τὴν πλήρωσιν τοῦ φρέατος, μὴ πολλάκις δὲ τὴν λειψυδρίαν; ἢ πολλάκις μέν, μὴ ἰσάκις δέ; ἢ καὶ ἰσάκις δὲ, τοὺς δὲ Γαδειρίτας ταῦτα μὲν μὴ ἱκανοὺς γενέσθαι τηρῆσαι τὰ καθ' ἡμέραν γινόμενα, τὰς δ' ἐνιαυσίους περιόδους ἐκ τῶν ἅπαξ συμβαινόντων κατ' ἔτος τηρῆσαι; (τὰ καθ' ἡμέραν γινόμενα). Ἀλλὰ μὴν ὅτι γε πιστεύει αὐτοῖς, δῆλον ἐξ ὧν καὶ προσεικάζει γίνεσθαι τὰς μειώσεις καὶ πάλιν αὐξήσεις ἀπὸ τροπῶν ἐπὶ τροπάς τε ἑτέρας κἀκεῖθεν πάλιν ἐπανόδους. Καὶ μὴν οὐδὲ ἐκεῖνο εἰκὸς, ὅτι τηρητικοὶ ὄντες τὰ μὲν συμβαίνοντα οὐκ εἶδον, τοῖς δὲ μὴ συμβαίνουσιν ἐπίστευσαν.

Φησὶ δ' οὖν Σέλευκον τὸν ἀπὸ τῆς Ἐρυθρᾶς θαλάττης καὶ ἀνωμαλίαν τινὰ ἐν τούτοις καὶ ὁμαλότητα λέγειν κατὰ τὰς τῶν ζῳδίων διαφοράς· ἐν μὲν γὰρ τοῖς ἰσημερινοῖς ζῳδίοις τῆς σελήνης οὔσης ὁμαλίζειν τὰ πάθη, ἐν δὲ τοῖς τροπικοῖς ἀνωμαλίαν εἶναι καὶ πλήθει καὶ τάχει, τῶν δ' ἄλλων ἑκάστου κατὰ τοὺς συνεγγισμοὺς εἶναί τὴν ἀναλογίαν. Αὐτὸς δὲ κατὰ τὰς θερινὰς τροπὰς περὶ τὴν πανσέληνόν φησιν ἐν τῷ Ἡρακλείῳ γενόμενος τῷ ἐν Γαδείροις πλείους ἡμέρας μὴ δύνασθαι συνεῖναι τὰς ἐνιαυσίους διαφοράς. Περὶ μέντοι τὴν σύνοδον ἐκείνου τοῦ μηνὸς τηρῆσαι μεγάλην παραλλαγὴν ἐν Ἰλίπᾳ τῆς τοῦ Βαίτιος ἀνακοπῆς παρὰ τὰς ἔμπροσθεν, ἐν αἷς οὐδὲ ἕως ἡμίσους τὰς ὄχθας ἔβρεχε· τότε δ' ὑπερχεῖσθαι τὸ ὕδωρ, ὥσθ' ὑδρεύεσθαι τοὺς στρατιώτας αὐτόθι (διέχει δ' Ἰλίπα τῆς θαλάττης περὶ ἑπτακοσίους σταδίους)· τῶν δ' ἐπὶ θαλάττῃ πεδίων καὶ ἐπὶ τριάκοντα σταδίους εἰς βάθος καλυπτομένων ὑπὸ τῆς πλημμυρίδος, ὥστε καὶ νήσους ἀπολαμβάνεσθαι, τὸ τῆς κρηπῖδος ὕψος τῆς τε τοῦ νεὼ τοῦ ἐν τῷ Ἡρακλείῳ καὶ τῆς τοῦ χώματος, ὃ τοῦ λιμένος πρόκειται τοῦ ἐν Γαδείροις, οὐδ' ἐπὶ δέκα πήχεις καλυπτόμενον ἀναμετρῆσαί φησι· κἂν προσθῇ δέ τις τὸ διπλάσιον τούτου κατὰ τὰς γενομένας ποτὲ παραυξήσεις, [οὐδ'] οὕτω παρασχεῖν ἂν τὴν ἔμφασιν, ἣν ἐν τοῖς πεδίοις παρέχεται τὸ μέγεθος τῆς πλημμυρίδος. Τοῦτο μὲν δὴ τὸ πάθος κοινὸν ἱστορεῖται κατὰ πᾶσαν τὴν κύκλῳ παρωκεανῖτιν, τὸ δὲ τοῦ Ἴβηρος ποταμοῦ καινὸν καὶ ἴδιόν φησιν οὗτος· πλημμυρεῖν γὰρ ἔσθ' ὅπου (τε) καὶ χωρὶς ὄμβρων καὶ χιόνων, ἐπειδὰν τὰ βόρεια πνεύματα πλεονάσῃ, αἰτίαν δ' εἶναι τὴν λίμνην, δι' ἧς ῥεῖ· συνεκβάλλεσθαι γὰρ τὸ λιμναῖον ὑπὸ τῶν ἀνέμων.

Ἱστορεῖ δὲ καὶ δένδρον ἐν Γαδείροις ὄζους ἔχον καμπτομένους εἰς ἔδαφος, πολλάκις δὲ φύλλα ξιφοειδῆ πηχυαῖα τὸ μῆκος, πλάτος δὲ τετραδάκτυλα. Περὶ δὲ Νέαν Καρχηδόνα δένδρον ἐξ ἀκάνθης φλοιὸν ἀφιέναι, ἐξ οὗ ὑφάσματα γίνεται κάλλιστα. Τῷ μὲν οὖν ἐν Γαδείροις καὶ ἡμεῖς οἴδαμεν ὅμοιον ἐν Αἰγύπτῳ κατὰ τὴν τῶν κλάδων κατάκαμψιν, τοῖς δὲ φύλλοις ἀνόμοιον, οὐδὲ καρπὸν ἔχον· τοῦτο δ' ἔχειν φησί. Τὰ δ' ἀκάνθινα ὑφαίνεται καὶ ἐν Καππαδοκίᾳ, φέρει δ' οὐ(δὲν) δέν-

---

a solstitio illo ad æquinoctium usque diminui, rursumque ad brumam usque accrescere; ab hac usque ad vernum æquinoctium decrescere, porroque augescere usque ad æstivum solstitium. Hæ maris vices quum quovis die et nocte quavis eveniant, bis per utrumque tempus mari se efferente, et bis subsidente, idque certo ordine et interdiu et noctu: quomodo fieri potest ut impletio putei sæpe eveniat sub refluxum maris, non sæpe autem exinanitio? aut sæpe quidem, sed non toties? vel etiam toties quidem, Gaditanos autem non satis valere mente, ut observent quæ fiant quotidie, nihilominus tamen annuas vicissitudines ex eo deprehendere, quod semel fit toto anno? Atqui fidem eum ipsis adhibere ex eo constat, quod ipse conjecturam addit de decrementis et sequentibus incrementis fluxuum a solstitiis ad solstitia, et de recursu qui hic fiat eadem via. At ne hoc quidem consentaneum est, homines istos observandi studiosos ea quæ eveniunt non animadvertisse, credidisse iis quæ non fierent.

Refert etiam Seleucum eum qui a Rubro mari oriundus fuit, in his æqualitatem inæqualitatemque statuere aliquam pro signorum cœlestium ratione: nam luna in æquinoctialibus signis hærente, æquabiliter illos æstus fieri; in solstitialibus autem et quantitate et celeritate inæquali; eamque inæqualitatem in reliquis signis locum habere pro eo atque unumquodvis eorum ad dicta propius accedit. Ipse autem se memorat Gadibus in Herculis templo fuisse sub ipsum æstivum solstitium, in plenilunio per aliquammultos dies, neque tamen anniversarias istas mutationes potuisse deprehendere; sed circa ejus mensis novilunium magnam se in Bætis fluvii apud Ilipam repercussione notasse diversitatem: qui quum ante ne ad dimidium quidem usque ripam madefaceret, tunc ita fuerit effusus, ut ibi aquarentur milites (abest autem Ilipa a mari circiter septingenta stadia); et dum campestria mari propinqua etiam usque trigiuta stadia in altum fuerint aquarum exæstuatione tecta, ita ut insularum modo mari quædam ambirentur, altitudinem fundamenti, cui fanum Herculis insistit et ipse agger qui portui Gaditano præpositus est, ne ad decem quidem cubitos fuisse occultatam, quos ipse sit permensus: quodsi quis etiam duplum hujus addat, secundum incrementa tunc facta, ne sic quidem posse indicium præberi ejus magnitudinis, quam in campis exundatio facit. Atque hoc quidem traditur evenire communiter toti oræ oceano adjacentis circulo: novum autem et peculiare hoc ille de Ibero fluvio refert, eum aliquando exundare nullis imbribus aut nivibus causam præbentibus, quum boreæ frequentes flant: in causa esse paludem, per quam fluit: nam a ventis aquam palustrem una extorqueri.

Narrat etiam arborem esse Gadibus, cujus rami ad solum sint deflexi, folia frequenter cubitalia longitudine, quattuor lata digitos, forma gladii: et apud Novam Carthaginem arborem esse quæ e spina corticem emittat, unde telæ pulcherrimæ conficiantur. Nos sane, quod ad ramorum deorsum inflexionem attinet, Gaditanæ arboris similem in Ægypto novimus, foliis tamen dissimilem et fructu (facit enim ille suam frugiferam) carentem. E spinis autem texturæ fiunt

δρον τὴν ἄκανθαν, ἐξ ἧς ὁ φλοιός, ἀλλὰ χαμαίζηλος ἡ βοτάνη. Τῷ δὲ δένδρῳ τῷ ἐν Γαδείροις καὶ τοῦτο προσιστόρηται, ὅτι κλάδου μὲν ἀποκλωμένου γάλα ῥεῖ, ῥίζης δὲ τεμνομένης μιλτῶδες ὑγρὸν ἀναφέρεται.

96.

Strabo III, p. 170 : De Herculis Columnis alii statuunt aliter. Δικαίαρχος δὲ καὶ Ἐρατοσθένης καὶ Πολύβιος καὶ οἱ πλεῖστοι τῶν Ἑλλήνων περὶ τὸν πορθμὸν ἀποφαίνουσι τὰς Στήλας. Οἱ δὲ Ἴβηρες καὶ Λίβυες ἐν Γαδείροις εἶναί φασιν· οὐδὲν γὰρ ἐοικέναι στήλαις τὰ περὶ τὸν πορθμόν. Οἱ δὲ τὰς ἐν τῷ Ἡρακλείῳ τῷ ἐν Γαδείροις χαλκᾶς ὀκταπήχεις, ἐν αἷς ἀναγέγραπται τὸ ἀνάλωμα τῆς κατασκευῆς τοῦ ἱεροῦ, ταύτας λέγεσθαί φασιν· ἐφ' ἃς ἐρχόμενοι οἱ τελέσαντες τὸν πλοῦν καὶ θύοντες τῷ Ἡρακλεῖ, διαβοηθῆναι παρεσκεύασαν, ὡς τοῦτ' εἶναι καὶ γῆς καὶ θαλάττης τὸ πέρας. Τοῦτον δ' εἶναι πιθανώτατον καὶ Ποσειδώνιος ἡγεῖται τὸν λόγον· τὸν δὲ χρησμὸν καὶ τοὺς πολλοὺς ἀποστόλους, ψεῦσμα Φοινικικόν. Intellige oraculum, quod Tyrios jusserit ad Herculis columnas deducere coloniam. Verba τοὺς πολλοὺς ἀποστόλους ad narrationem referenda, ex qua ter colonos Tyrii emiserint, antequam Gades urbem et fanum Herculis condi contigerit. Vid. Strabo p. 169 sq.

97.

Strabo III, p. 138 : Quæ contra Ephorum, ut qui de Herculis ara in Sacro Iberiæ promontorio exstructa mendacia retulerit, Artemidorus disputat, ea quidem recte se habere videntur : Ἃ δὲ τοῖς πολλοῖς καὶ χυδαίοις ὁμοίως εἴρηκεν, οὐ πάνυ. Λέγειν γὰρ δή φησι Ποσειδώνιος τοὺς πολλούς, μείζω δύνειν τὸν ἥλιον ἐν τῇ παρωκεανίτιδι [καὶ] μετὰ ψόφου παραπλησίως ὡσανεὶ σίζοντος τοῦ πελάγους κατὰ σβέσιν αὐτοῦ διὰ τὸ ἐμπίπτειν εἰς τὸν βυθόν. Ψεῦδος δ' εἶναι καὶ τοῦτο καὶ τὸ παραχρῆμα νύκτα ἀκολουθεῖν μετὰ τὴν δύσιν· οὐ γὰρ παραχρῆμα, μικρὸν δ' ὕστερον, καθάπερ καὶ ἐν τοῖς ἄλλοις πελάγεσι τοῖς μεγάλοις. Ὅπου μὲν γὰρ εἰς ὄρη δύεται, πλείω τὸν μετὰ δύσιν χρόνον τῆς ἡμέρας συμβαίνειν ἐκ τοῦ παραφωτισμοῦ, ἐκεῖ δὲ πλείω μὲν οὐκ ἐπακολουθεῖν, μὴ μέντοι μηδὲ παραχρῆμα συνάπτειν τὸ σκότος, καθάπερ καὶ ἐν τοῖς μεγάλοις πεδίοις. Τὴν δὲ τοῦ μεγέθους φαντασίαν αὔξεσθαι μὲν ὁμοίως κατά τε τὰς δύσεις καὶ τὰς ἀνατολὰς ἐν τοῖς πελάγεσι διὰ τὸ τὰς ἀναθυμιάσεις πλείους ἐκ τῶν ὑγρῶν ἀναφέρεσθαι· διὰ δὲ τούτων ὡς δι' αὐλῶν (?) κλωμένων τὴν ὄψιν πλατυτέρας δέχεσθαι τὰς φαντασίας, καθάπερ καὶ διὰ νέφους ξηροῦ καὶ λεπτοῦ βλέπουσιν δυόμενον ἢ ἀνατέλλοντα τὸν ἥλιον ἢ τὴν σελήνην, ἡνίκα καὶ ἐνερευθὲς φαίνεσθαι τὸ ἄστρον. Τὸ δὲ ψεῦδος ἐλέγξαι φησὶ τριάκονθ' ἡμέρας διατρίψας ἐν Γαδείροις καὶ τηρήσας τὰς δύσεις. Ὁ δέ γε Ἀρτεμίδωρος ἑκατονταπλασίονά φησι δύεσθαι τὸν ἥλιον, καὶ αὐτίκα νύκτα καταλαμβάνειν.

Qui fiat ut sol oriens et occidens major esse videatur, Strabone accuratius etiam exponit Cleomedes Cycl. Theor. II, p. 427 sqq., quem sua hausisse e Posidonio produnt verba capitis postrema p. 730, ubi hæc : Διὰ μὲν γὰρ νοτεροῦ καὶ παχυτέρου ἀέρος ὁρώμενος, μείζων ἡμῖν καὶ πλέον ἀφεστὼς φαίνεται· διὰ δὲ καθαροῦ, ἐλάττων τῷ μεγέθει καὶ ἔγγιον τὸ διάστημα. Ὥστε εἰ δυνατὸν ἦν ἡμῖν, φησὶν ὁ Ποσειδώνιος, διά τε τοίχων στερεῶν καὶ τῶν ἄλλων σωμάτων ὁρᾶν, ὡς ὁ Λυγκεύς, μείζων ἂν ἐφαντάζετο ἡμῖν ὁ ἥλιος διὰ τούτων ὁρώμενος, καὶ πολὺ μεῖζον διάστημα ἀφεστώς. Cf. idem p. 471 de sole, quum Oceanum subeat, stridorem edente. Ceterum Cleomedes ante oculos habuisse videtur Posidonii

---

etiam in Cappadocia ; sed non arbor spinam fert unde cortex, sed stirps est humilis. De Gaditana autem arbore id præterea narratur, eam ramo effracto lac, radice incisa humorem minii colore emittere.

96.

Dicæarchus et Eratosthenes et Polybius et plurimi Græcorum Columnas ad fretum esse (Columnas Herculis) asserunt. At Hispani et Afri Gadibus eas vindicant : nihil enim columnarum simile habere ea quæ sunt ad fretum. Alii Columnas intelligi volunt æreas octo cubitorum columnas quæ sunt Gadibus in Herculis delubro, quibus inscriptus est sumptus in templi factus exædificationem : nam ad has qui navigatione absoluta pervenissent et sacra Herculi facerent, hos eam famam curavisse divulgari, ibi maris esse terræque finem : atque hanc maxime omnium opinionum probabilem esse etiam Posidonius censet, oraculum autem et multos legatos commentum Phœnicum.

97.

Neque vero credendum est Artemidoro de iis, quæ plebeii et vulgaris homunculi in morem dixit. Vulgo enim perhiberi ait Posidonius, solem ibi ad Oceani litus occidere majorem, editoque strepitu, quasi si mare strideret sibilaretque eo quia in fundum deferatur exstincto : quin præter hoc vanum esse etiam illud quod aiunt statim ab occasu noctem insequi : non enim statim id fieri, sed non multo post, ut et in aliis fit magnis maribus; ubi enim sol in montes occumbit, ex luminis per latera diffusione diutius ab occasu diem perdurare, in mari autem non item, neque tamen illico tenebras statim oboriri, atque idem etiam in magnis usu venire campis. Magnitudinem autem solis ideo augeri sub ortum et occasum in maribus altis, quod plures vapores ab humido in altum sese attollunt : quibus tanquam fistulis [vitris?] infractos radios visus diffundi et majorem vera quantitatem fingere, quemadmodum quum solem lunamve orientem aut occidentem per aridam tenuemque nubem intuemur, rubere putamus. Hoc mendacium ait se deprehendisse, quum Gadibus per triginta dies commoratus occasum solis observasset. At Artemidorus centuplo quam sit alias majorem occidere solem dicit, confestimque noctem ingruere.

vel Φυσικὸν λόγον vel libros Περὶ μετεώρων, in quibus fusius egit de solis natura, forma, magnitudine, et quæ huc pertinent alia, teste Diogene Laert. VII, 144 : Εἶναι δὲ τὸν μὲν ἥλιον εἰλικρινὲς πῦρ, καθά φησι Ποσειδώνιος ἐν τῷ ιζ′ Περὶ μετεώρων· καὶ μείζονα τῆς γῆς, ὡς ὁ αὐτὸς ἐν τῷ ις′ τοῦ Φυσικοῦ λόγου· ἀλλὰ καὶ σφαιροειδῆ, ὡς οἱ περὶ αὐτὸν τοῦτον φασὶ, ἀναλόγως τῷ κόσμῳ· πῦρ μὲν οὖν εἶναι, ὅτι τὰ πυρὸς πάντα ποιεῖ· μείζω δὲ τῆς γῆς, τῷ πᾶσαν ὑπ' αὐτοῦ φωτίζεσθαι, ἀλλὰ καὶ τὸν οὐρανόν· καὶ τὸ τὴν γῆν δὲ κωνοειδῆ σκιὰν ἀποτελεῖν, τὸ μείζονα εἶναι σημαίνει· πάντοθεν δὲ βλέπεσθαι διὰ τὸ μέγεθος. Cf. Macrob. Saturn. I, 23 : *Sicut et Posidonius et Cleanthes affirmant, solis meatus a plaga quæ usta dicitur non recedit, quia sub ipsa currit oceanus, qui terram ambit et dividit. Omnium autem physicorum assertione constat calorem humore nutriri.* Idem in Somn. Scip. I, 20 : *Eratosthenes in libris Dimensionum sic ait : Mensura terræ septies et vicies multiplicata mensuram solis efficiet. Posidonius dicit multo multoque sæpius multiplicatam solis spatium efficere. Et uterque lunaris defectus argumentum pro se advocat. Ita quum solem volunt terra majorem probare, testimonio lunæ deficientis utuntur : quum defectum lunæ conantur asserere, probationem de solis magnitudine mutuantur.* Cleomedes l. l. p. 452 : Ἡ τοιαύτη δὲ ἔφοδος μάλιστα ἐμφαίνει τὸ ἀξίωμα τοῦ κατ' αὐτὸν μεγέθους. Ἡ Συήνη ὑπὸ τῷ Καρκίνῳ κεῖται· ὁπόταν οὖν ὁ ἥλιος ἐν τούτῳ γενόμενος τῷ ζῳδίῳ κατ' ἀτρεκῆ μεσημβρίαν στῇ, ἄσκια γίνεται τὰ φωτιζόμενα ὑπ' αὐτοῦ ἐν τῇδε τῇ χώρᾳ, ἐπὶ σταδίους τετρακοσίους τὴν διάμετρον. Ὧν οὕτως ἐν τοῖς φαινομένοις ἐχόντων, ὁ Ποσειδώνιος ὑποθέμενος μυριοπλασίονα εἶναι τὸν ἡλιακὸν κύκλον τοῦ τῆς γῆς κύκλου, ἀπὸ τούτου ὁρμώμενος, δείκνυσιν, ὅτι μυριάδων τετρακοσίων εἶναι δεῖ τὴν τοῦ ἡλίου διάμετρον. Εἰ γὰρ ὁ κύκλος τοῦ κύκλου μυριοπλασίων, καὶ τὸ τμῆμα τοῦ ἡλιακοῦ κύκλου, ὅπερ ἔχει τὸ τοῦ ἡλίου μέγεθος, μυριοπλάσιον εἶναι δεῖ τούτου τοῦ τμήματος τῆς γῆς, ὅπερ ὁ ἥλιος κατὰ κορυφὴν ὑπερκείμενος ἄσκιον παρέχεται. Ἐπεὶ οὖν τοῦτο ἐπὶ τετρακοσίους τὴν διάμετρον ἐκτέταται σταδίους, τετρακοσίων εἶναι μυριάδων δεῖ, ὅπερ ἐπέχει ἑκάστοτε ὁ ἥλιος τοῦ οἰκείου κύκλου.

98.

Strabo III, p. 153 : Ὑψηλὸν δ' ἐστὶ τὸ ἑωθινὸν (τῆς Λυσιτανίας) καὶ τραχύ. Ἡ δὲ ὑποκειμένη χώρα, πεδιὰς πᾶσα, καὶ μέχρι θαλάττης, πλὴν ὀλίγων ὀρῶν οὐ μεγάλων· ᾗ δὴ καὶ τὸν Ἀριστοτέλη φησὶν ὁ Ποσειδώνιος οὐκ ὀρθῶς αἰτιᾶσθαι τὴν παραλίαν τὴν κατὰ τὴν Μαυρουσίαν τῶν πλημμυρίδων καὶ τῶν ἀμπώτεων· παλιρροεῖν γὰρ φάναι τὴν θάλατταν διὰ τὸ τὰς ἄκρας ὑψηλάς τε καὶ τραχείας εἶναι, δεχομένας τε τὸ κῦμα σκληρῶς, καὶ ἀνταποδιδούσας τῇ Ἰβηρίᾳ· τἀναντία γὰρ θινώδεις εἶναι καὶ ταπεινὰς τὰς πλείστας, ὀρθῶς λέγων.

In seqq. (p. 153) Strabo fluvios Lusitaniæ recensens post alios nominat Lethen sive Limæam sive Belionem. Καὶ οὗτος δὲ, pergit, ἐκ Κελτιβήρων καὶ Οὐακκαίων ῥεῖ· καὶ ὁ μετ' αὐτὸν Βαῖνις (οἱ δὲ Μίνιόν φασι), πολὺ μέγιστος τῶν ἐν Λυσιτανίᾳ ποταμῶν, ἐπὶ ὀκτακοσίους καὶ αὐτὸς ἀναπλεόμενος σταδίους. Ποσειδώνιος δὲ ἐκ Καντάβρων καὶ αὐτὸν ῥεῖν φησί· πρόκειται δὲ τῆς ἐκβολῆς αὐτοῦ νῆσος, καὶ χηλαὶ δύο ὅρμους ἔχουσαι. Ἐπαινεῖν δ' ἄξιον τὴν φύσιν, ὅτι τὰς ὄχθας ὑψηλὰς ἔχουσιν οἱ ποταμοὶ καὶ ἱκανὰς δέχεσθαι τοῖς ῥείθροις τὴν θάλατταν πλημμυροῦσαν, ὥστε μὴ ὑπερχεῖσθαι, μηδ' ἐπιπολάζειν ἐν τοῖς πεδίοις.

Postrema adjeci utpote quæ item petita fuerint e Posidonio de maris accessu et recessu fusius disputante.

99.

Strabo I, p. 54 init. : (Τὸ Σαρδώνιον πέλαγος) λέγεται τῶν ἀναμετρηθέντων βαθύτατόν που χιλίων ὀργυιῶν, ὡς Ποσειδώνιός φησι.

Hæc Posidonius protulerit de eadem re loquens de qua Strabo agit, quem vide.

100.

Strabo III, p. 144 : Ἴδιον δέ τί φησι Ποσειδώνιος τηρῆσαι κατὰ τὸν ἀνάπλουν τὸν ἐκ τῆς Ἰβηρίας, ὅτι

98.

Latus illud ortivum sublime est et asperum : infra eam tota regio est plana usque ad mare, exceptis paucis non magnis montibus. Quare Aristotelem Posidonius ait æstuum marinorum qui fiunt in Hispania causas non recte ascribere litori et Mauritaniæ [litoribus Hispaniæ et Mauritaniæ?], dicentem mare ideo reciprocare, quia extrema terrarum sublimia sint et aspera, quæ fluctum et duriter excipiant et repercutiant : quum e contrario pleraque litora sint humilia et arenæ tumulis constent. Recte hic quidem disserit.

Post hunc Bænis [Næbis?], alii Minium nominant, fluviorum Lusitaniæ longe maximus, ipse quoque adversus navigatur ad octingenta stadia. Hunc quoque e Cantabris delabi auctor est Posidonius : ante ostia ejus sita est insula, et duæ crepidines portubus præditæ. Natura autem loci laudem meretur, quod ripas habent flumina sublimes, et quæ sufficiant ad excipiendum alveis mare exundans, ita ut non effundantur neque in campos dimanent.

99.

Sardoum mare, ubi profundissimum est, mille ulnarum altitudine præditum inventum esse mensura Posidonius perhibet.

100.

Peculiare aliquid se in navigatione ex Hispania observasse scribit Posidonius, nimirum in illo mari usque ad

οἱ εὖροι κατ' ἐκεῖνο τὸ πέλαγος ἕως τοῦ Σαρδῴου κόλπου πνέοιεν ἐτήσιοι· διὸ καὶ τρισὶ μησὶν εἰς Ἰταλίαν κατᾶραι μόλις, παραδιενεχθεὶς περί τε τὰς Γυμνησίας νήσους καὶ περὶ Σαρδόνα καὶ τἄλλα ἀπαντικρὺ τούτων μέρη τῆς Λιβύης. Cf. interpretes ad h. l.

101.

Strabo I, p. 29 : Εἰσὶ δέ τινες, οἵ φασιν εἶναι δύο τοὺς κυριωτάτους ἀνέμους, Βορέαν καὶ Νότον, τοὺς δὲ ἄλλους κατὰ μικρὰν ἔγκλισιν διαφέρειν· τὸν μὲν ἀπὸ θερινῶν ἀνατολῶν Εὖρον, χειμερινῶν δὲ Ἀπηλιώτην· δύσεων δὲ θερινῶν μὲν Ζέφυρον, χειμερινῶν δὲ Ἀργέστην. Τοῦ δὲ δύο εἶναι τοὺς ἀνέμους ποιοῦνται μάρτυρας Θρασυάλκην τε καὶ τὸν ποιητὴν αὐτὸν [τῷ] τὸν μὲν Ἀργέστην τῷ Νότῳ προσνέμειν·

> ἀργεστᾶο Νότοιο·

τὸν δὲ Ζέφυρον τῷ Βορέᾳ·

> Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον.

Φησὶ δὲ Ποσειδώνιος, μηδένα οὕτως παραδεδωκέναι τοὺς ἀνέμους τῶν γνωρίμων περὶ ταῦτα, οἷον Ἀριστοτέλη, Τιμοσθένη, Βίωνα τὸν ἀστρολόγον· ἀλλὰ τὸν μὲν ἀπὸ θερινῶν ἀνατολῶν Καικίαν, τὸν δὲ τούτῳ κατὰ διάμετρον ἐναντίον Λίβα, ἀπὸ δύσεως ὄντα χειμερινῆς· πάλιν δὲ τὸν μὲν ἀπὸ χειμερινῆς ἀνατολῆς Εὖρον, τὸν δ' ἐναντίον Ἀργέστην· τοὺς δὲ μέσους Ἀπηλιώτην καὶ Ζέφυρον. Τὸν δὲ ποιητὴν δυσαῆ μὲν Ζέφυρον λέγειν τὸν ὑφ' ἡμῶν καλούμενον Ἀργέστην, λίγα δὲ πνέοντα Ζέφυρον τὸν ὑφ' ἡμῶν Ζέφυρον, ἀργέστην δὲ Νότον τὸν Λευκόνοτον· οὗτος γὰρ ὀλίγα τὰ νέφη ποιεῖ, τοῦ λοιποῦ Νότου * ὅλου Εὔρου πως ὄντος·

> ὡς ὁπότε Ζέφυρος νέφεα στυφελίξῃ,
> ἀργεστᾶο Νότοιο βαθείῃ λαίλαπι τύπτων.

Τὸν γὰρ δυσαῆ Ζέφυρον νῦν λέγει, ὃς εἴωθε διασκιδνάναι τὰ ὑπὸ τοῦ Λευκονότου συναγόμενα ἀσθενῆ ὄντα, ἐπιθέτως τοῦ Νότου νῦν ἀργέστου λεγομένου.

---

sinum Sardoum Euros stato anni tempore spirare : itaque se tribus vix mensibus in Italiam pervenisse, jactatum et circa Gymnesias et juxta Sardiniam aliaque e regione horum loca Africæ.

101.

Sunt etiam qui duos præcipuos ventos faciant, Boream ac Austrum, a quibus reliqui parva differant inclinatione, Eurus ab æstivo ortu, Subsolanus ab hiberno; Favonius ab occasu æstivo, ab hiberno Caurus. Atque duos esse ventos confirmant quum Thrasyalcis testimonio, tum ipsius poetæ, qui Caurum Austro adscribat (*Il.* Λ, 306) :

> Argestæ Austri :

Favonium autem Boreæ (*Il.* I, 5) :

> Cum Zephyro Boreas Thracum de finibus acer spirantes.

Ceterum Posidonius ait neminem de ventis hoc modo disseruisse eorum qui his rebus claruerunt, Aristotelem nimirum, Timosthenem, Bionem astrologum : sed eos ventum qui ab ortu flat æstivo, Cæciam perhibere; qui ei e regione est oppositus et ab occasu flat hiberno, Africum; qui ab ortu hiberno, Eurum, et ei oppositum Caurum; medios Subsolanum et Favonium. A poeta autem Favonium violenter spirantem vocari eum, qui nobis est Caurus; argute spirantem Favonium, eum qui nobis est Favonius; Austrum Caurum, Leuconotum (sive album Austrum), quippe qui paucas faciat nubes, quum reliquus Auster turbidus fere sit Eurus (*Il.* Λ, 305) :

> Ac veluti nubes Zephyrus quum dissipat acer,
> Argestæ pulsans violentis flatibus Austri.

Nam Zephyrum violenter spirantem hic dicit, qui solet dissipare imbecilles nubes a Leuconoto coactas, atque hic tanquam epitheto Auster appellatur Argestes.

L. LUCULLUS. M. T. CICERO.
T. POMPONIUS ATTICUS.

L. Lucullum de bello Marsico græce scripsisse testis est Plutarchus Lucull. c. 1 : Περὶ μὲν οὖν τῆς φιλολογίας αὐτοῦ πρὸς τοῖς εἰρημένοις καὶ ταῦτα λέγεται· νέον ὄντα πρὸς Ὁρτήσιον τὸν δικολόγον καὶ Σισεννᾶν τὸν ἱστορικὸν ἐκ παιδιᾶς τινος εἰς σπουδὴν προελθούσης ὁμολογῆσαι, προθεμένων ποίημα καὶ λόγον Ἑλληνικόν τε καὶ Ῥωμαϊκὸν, εἰς ὅ τι ἂν λάχῃ τούτων, τὸν Μαρσικὸν ἐντενεῖν πόλεμον. Καί πως ἔοικεν εἰς λόγον Ἑλληνικὸν ὁ κλῆρος ἀφικέσθαι· διασώζεται γὰρ Ἑλληνική τις ἱστορία τοῦ Μαρσικοῦ πολέμου. Cf. Cicero Ad Attic. I, 19.

M. T. Cicero græcos De consulatu suo commentarios composuit. Cic. Ep. ad Attic. I, 19 : *Commentarium consulatus mei græce compositum misi ad te. In quo si quid erit, quod homini Attico minus græcum eruditumque videatur, non dicam, quod tibi, ut opinor, Panormi Lucullus de suis historiis dixerat, se, quo facilius illas probaret Romani hominis esse, idcirco barbara quædam et* σόλοικα *dispersisse : apud me si quid erit ejusmodi, me imprudente erit et invito. Latinum si perfecero, ad te mittam.*

Idem ibid. II, 1 : *Kal. Jun.* (an. 694 a. u.) *eunti mihi Antium et gladiatores M. Metelli cupide relinquenti, venit obviam tuus puer : is mihi literas abs te et commentarium consulatus mei græce scriptum reddidit : in quo lætatus sum, aliquanto ante de iisdem rebus græce item scriptum librum L. Cossinio ad te perferendum dedisse. Nam si ego tuum ante legissem, furatum me abs te esse diceres : quamquam tua illa* (*legi enim libenter*) *horridula mihi atque incompta visa sunt : sed tamen erant ornata hoc ipso, quod ornamenta neglexerant, et, ut mulieres, ideo bene olere, quod nihil olebant, videbantur. Meus autem liber totum Isocratis* μυροθήκιον, *atque omnes ejus discipulorum arculas ac nonnihil etiam Aristotelia pigmenta consumpsit : quem tu Corcyræ, ut mihi aliis literis significas, strictim attigisti; post autem, ut arbitror, a Cossinio accepisti; quem tibi ego non essem ausus mittere, nisi eum lente ac fastidiose probavissem. Quamquam ad me rescripsit jam Rhodo Posidonius, se nostrum illud* ὑπόμνημα *quum legeret, quod ego ad eum, ut ornatius de iisdem rebus scriberet, miseram, non modo non excitatum esse ad scribendum, sed etiam plane deterritum. Quid quæris? conturbavi Græcam nationem. Ita vulgo qui instabant, ut darem sibi quod ornarent, jam exhibere mihi molestiam destiterunt. Tu si tibi placuerit liber, curabis ut et Athenis sit et in ceteris oppidis Græciæ. Videtur enim posse aliquid nostris rebus lucis afferre.*

Mentionem hujus commentarii facit Plutarchus Cæs. c. 8 : Καίσαρι, inquit, (sc. quum Lentulum et Cethegum Catilinæ socios defendere conatus esset) τῆς βουλῆς ἐξιόντι πολλοὶ τῶν Κικέρωνα φρουρούντων τότε νέων γυμνὰ τὰ ξίφη συνδραμόντες ἐπέσχον. Ἀλλὰ Κουρίων τότε λέγεται τῇ τηβέννῳ περιβαλὼν ὑπεξαγαγεῖν, αὐτός τε ὁ Κικέρων, ὡς οἱ νεανίσκοι προσέβλεψαν, ἀνανεῦσαι, φοβηθεὶς τὸν δῆμον, ἢ τὸν φόνον ὅλως ἄδικον καὶ παράνομον ἡγούμενος. Τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ὁ Κικέρων, εἴπερ ἦν ἀληθὲς, ἐν τῷ Περὶ τῆς ὑπατείας οὐκ ἔγραψεν.

T. Pomponium Atticum item de Ciceronis consulatu græce scripsisse ex Cic. Ep. II, 1 modo vidimus. Adde locum Cornelii Nepotis in Vit. Att. c. 18 : *Est etiam unus liber* (Attici) *græce confectus, de consulatu Ciceronis.*

Præterea inter Romanos, qui græco sermone scripserint historiam, Vossius p. 202 recenset *L. Auruncule ium Cottam*, quem laudat Athenæus VI, p. 273, B, ἐν τῷ Περὶ τῆς Ῥωμαίων πολιτείας, addens scripsisse eum ἐν τῇ πατρίῳ ἡμῶν φωνῇ. At non animadvertit Vossius verba illa esse *Larensii, Romani hominis.*

ASCLEPIADES MYRLEANUS.

Inter scriptores quibus Asclepiadis nomen, antiquissimus est ASCLEPIADES TRAGILENSIS, Τραγῳδουμένων auctor (Steph. Byz. v. Τράγιλος), quem inter Isocratis discipulos recensent Plutarchus De X oratt. p. 838 et Photius Bibl. cod. 262. « Ætas igitur ejus referenda erit ad Olymp. 104 (364), quo tempore inter viros rerum civilium studiosos floruit Epaminondas. » Ita WERFERUS (*Asclepiadis Tragilensis Tragodumenôn reliquiæ*, in *Actis Philol. Monac.* tom. II, p. 491 sqq.). Mihi aliter videtur. Circa annum 364 vix natus fuerit, nedum floruerit Asclepiades. Etenim junioribus Isocratis discipulis accensendum esse, adeo ut quo tempore mortuus est magister (338 a. C.), inter vicesimum et trigesimum ætatis annum Asclepiades versaretur, inde fit probabile, quod in schol. Marcian. ad Eurip. Hecub. 1 (ed. Cobet.) laudatur Φιλόχορος ἐν τῇ πρὸς Ἀσκληπιάδην ἐπιστολῇ (de Hecubæ parente). Philochorus vero post annum 262 in scribendo adhuc occupatus erat. Unde sequitur natales Asclepiadis non multum ultra annum 362 posse probabili modo removeri, quum vel sic senex demum Asclepiades Philochori juvenis coætaneus fuerit. — Τὰ τραγῳδούμενα, sive opus de historiis, unde fabularum scenicarum argumenta tragici poetæ repetierunt, sex complectebantur libros, teste Stephano Byz. l. l. Fragmenta collegit Werferus. Nos eadem magnopere aucta appendicis instar subjecimus, quod antiqui et docti sunt scriptoris, et quod facile fieri potest ut unum vel alterum Tragilensi a nobis adscriptum ad alium Asclepiadem pertineat.

Propius ad nos pertinet ASCLEPIADES MYRLEANUS, qui De rebus Bithyniæ et De Turditana Iberiæ regione scripsit. Myrleani autem Asclepiadæ fuerunt duo, quos Suidas male confundit.

Suidas : Ἀσκληπιάδης, Διοτίμου, Μυρλεανός (πόλις δ' ἐστὶ Βιθυνίας, ἡ νῦν Ἀπάμεια καλουμένη)· τὸ δ' ἄνωθεν γένος ἦν Νικαεύς, γραμματικὸς, μαθητὴς Ἀπολλωνίου. Γέγονε δ' ἐπὶ τοῦ Ἀττάλου καὶ Εὐμένους τῶν ἐν Περγάμῳ βασιλέων. Ἔγραψε φιλοσόφων βιβλίων διορθωτικά. [Ἐπαίδευσε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Πομπηίου τοῦ μεγάλου.] Καὶ ἐν Ἀλεξανδρείᾳ ἐπὶ τοῦ δ' Πτολεμαίου νέος διέτριψεν. Ἔγραψε πολλά. Cf. Eudoc. p. 64. Steph. Byz. : Μύρλεια... Ὁ πολίτης Μυρλεανὸς, ὡς Ἀσκληπιάδης ὁ Μυρλεανὸς ἀναγράφεται. Idem : Νίκαια, πόλις Βιθυνίας... ὁ πολίτης Νικαιεὺς καὶ Νικαεὺς διχῶς. Ἐξ αὐτῆς Ἰσίγονος καὶ Ἀσκληπιάδης καὶ Παρθένιος καὶ Ἀπολλόδωρος καὶ Ἐπιθέρσης γραμματικός. (Parthenius quoque apud Suidam dicitur Νικαεὺς ἢ Μυρλεανός.)

Strabo III, p. 157 : Ἀσκληπιάδης ὁ Μυρλεανὸς, ἀνὴρ ἐν τῇ Τουρδιτανίᾳ παιδεύσας τὰ γραμματικὰ, καὶ περιήγησίν τινα τῶν ἐθνῶν ἐκδεδωκὼς τῶν ταύτῃ.

Patet apud Suidam duos misceri homines, quorum alter alterum seculo fere superavit. Prior juvenis vixit Alexandriæ sub Ptolemæo quarto, qui regnavit inde ab anno 205 a. C. (Ol. 143, 4). Paullo ante hæc tempora Apollonio Asclepiadis magistro bibliothecarii munus Alexandriæ demandatum erat; quo tamen per paucos tantum annos functus est, si quidem recte circa Olymp. 145 (200) diem obiisse statuitur (v. Ritsch. *Die Alex. Bibl.* p. 90). Igitur anno 205 a. C. Asclepiades antiquior ille viginti fere annos natus fuerit. Floruit sub Attalo I et Eumene II, quorum ille usque ad an. 197, hic ad an. 159 regnavit. Quodsi igitur apud Suidam legitur : Ἀπολλόδωρος, Ἀσκληπιάδου, γραμματικός, temporum certe ratio nihil obstat quin Asclepiades, Apollodori pater, (vel magister, ut nonnulli verba intelligi malunt,) idem fuerit Asclepiades Myrleanus. — Verba Ἐπαίδευσε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Πομπηίου indicant alterum Asclepiadem juniorem, ad cujus tempora etiam sequentia accommodare Reinesius voluit, scribendo ἐπὶ τοῦ θ' Πτολεμαίου.

Jam quod opera attinet quæ Myrleanis hisce attribuuntur, nullus dubito quin Periegesis regionis Turditanæ ad Pompeji æqualem pertineat, quoniam Attali et Eumenis temporibus Græcum grammaticum in Hispania scholam aperuisse a vero abhorreat. Contra Bithyniacæ historiæ auctor qui sit, utrum senior an junior Myrleanus, parum liquet. Laudatur opus a Parthenio, qui junioris fere coætaneus erat. — Τὰ φιλοσόφων βιβλία διορθωτικὰ cum Myrleani scriptis, quot eorum novimus, minus congrua esse videntur; quare vereor ne Asclepiadis philosophi sint, v. c. Phliasii illius, cujus Cicero Tuscul. V, 39 meminit. Reliqua quæ apud veteres Myrleano Ascl. tribuuntur, grammatici maxime argumenti sunt. Primum huc pertinet scriptum Περὶ τῆς Νεστορίδος sive *De Nestoris poculo Homerico* (Il. XI, 632), quod pæne totum exscripsisse videtur Athenæus p. 477, B; 488-494;

498, F; 503, E. Ex eodemque opere petita sunt quæ leguntur p. 474, B, de *carchesio* poculo (quod idem habet Macrob. Sat. V, 21), et p. 501, B, de *phiale*. Laudantur in his ab Asclepiade *Crates grammaticus*, p. 490, E, *Dionysius Thrax*, p. 492, A, *Promathidas* Dionysio junior p. 489, A. Unde sat liquet auctorem Pompeji demum et subsequentibus temporibus vixisse. — Eandem ætatem arguit opus Περὶ γραμματικῆς, in quo Dionysium Thracem reprehensum esse testatur Sextus Empiricus p. 231, § 72: Ἀσκληπιάδης τοίνυν μέμφεται τὸν Θρᾷκα Διονύσιον, ἐμπειρίαν λέγοντα τὴν γραμματικήν. Idem p. 269, § 252: Ἀσκληπιάδης ἐν τῷ Περὶ γραμματικῆς τρία φήσας εἶναι τὰ πρῶτα τῆς γραμματικῆς μέρη κτλ. Cf. idem p. 225, § 47, et passim. Denique huc traho quæ ex Ascl. *Smyrnæo*, uti libri habent, afferuntur apud Bekker. Anecd. p. 784, 8: Διὰ τοῦτο δὲ καὶ οὐκ ἄλλοις χαρακτῆρσι χρώμεθα τῶν στοιχείων, ἀλλὰ τοῖς Ἰωνικοῖς, ὡς μὲν Ἀσκληπιάδης ὁ Σμυρναῖος (lege Μυρλεανὸς) λέγει, διὰ τὸ κάλλος καὶ ὅτι πλεῖστα τῶν συγγραμμάτων τούτοις ἐγέγραπτο τοῖς χαρακτῆρσιν· ὡς δὲ Διόδωρος καὶ Ἀπίων ἐν τῷ Περὶ τῶν στοιχείων, ὅτι πλεῖστοι συγγραφεῖς καὶ οἱ ποιηταὶ ἀπὸ τῆς Ἰωνίας τούτοις τοῖς τύποις ἐχρήσαντο. — Diversum, opinor, ab his fuit opus Περὶ γραμματικῶν, cujus librum undecimum laudat auctor Vitæ Arati p. 53 in Biogr. Westerm.: Ἀσκληπιάδης δ' ὁ Μυρλεανὸς ἐν τῷ ια' Περὶ γραμματικῶν Ταρσέα φησὶν αὐτὸν (Ἄρατον) γεγονέναι, οὐ Σολέα. Liber sextus citatur apud Suidam: Ὀρφεύς, Κροτωνιάτης, ἐποποιός, ὃν Πεισιστράτῳ συνεῖναι τῷ τυράννῳ Ἀσκληπιάδης φησὶν ἐν τῷ ϛ' βιβλίῳ τῶν Γραμματικῶν. Δεκαετηρίδα, Ἀργοναυτικὰ καὶ ἄλλα τινά. His adde quæ idem Suidas v. Πολέμων, de Polemone Aristarchi grammatici æquali ex Asclep. Myrleano affert (v. Polemon fr. p. 108). Referenda ad idem opus videri possint quæ leguntur ap. Marcellin. Vit. Thucyd. § 57: Ἰστέον δ' ὅτι τὴν πραγματείαν αὐτοῦ οἱ μὲν κατένεμον εἰς ιγ' ἱστορίας, ἄλλοι δὲ ἄλλως· ὅμως δ' ἡ πλείστη καὶ ἡ κοινὴ κεκράτηκε, μέχρι τῶν η' διῃρῆσθαι τὴν πραγματείαν, ὡς καὶ ἐπέκρινεν ὁ Ἀσκληπιάδης (Ἀσκλέπιος codd.). Verum hæc ex *Commentariis in Thucydidis historias* deprompta esse coarguit schol. Thucyd. VI, 56: ἐπιδημιουργοὺς] Ὁ Ἀσκληπιάδης τὴν ἐπί πρόθεσιν περιττὴν εἶναι λέγει. Opus num ad seniorem an ad juniorem Asclepiadem referendum sit, nescimus. De Attali et Eumenis æquali cogitat Krüger. *Leben d. Thucyd.* p. 83. — Præterea memoratur ὁ Μυρλεανὸς Ἀσκλ. ἐν τοῖς Περὶ Κρατίνου, in *Commentariis ad Cratinum*, apud Athenæum XI, p. 501, E, qui quum per easdem paginas de Asclepiadis junioris scripto Περὶ τῆς Νεστορίδος agat, haud dubie Cratini interpretem ab eo distincturum fuisse videbitur, si distinguendum esse credidisset. Attamen nihil his dirimitur. Imo probabilius est ad antiquiorem Asclepiadem hæc referenda esse. Eundem in *alios comicos* poetas commentarios scripsisse colligitur ex Hesychio: Κολαχοφοροχλείδης, Ἱεροκλείδης, ὃν ἐπὶ πονηρίᾳ κωμῳδοῦσιν, Ἕρμιππος μὲν ἐν Κέρκωψι, Φρύνιχος δὲ ἐν Κωμασταῖς. Ὁ δὲ Ἀσκληπιάδης Κλεώνυμον εἶναι ὑπέλαβεν, οὐδὲ τὸ τέλειον τοῦ ὀνόματος ἐπιστήσας. Præ ceteris vero novimus ejus *Commentarios in Aristophanem*, quos indicant schol. in Aristoph. Ran. 1270. 1276. 1331. 1344; Av. 348. 567, ubi simpliciter laudatur Ἀσκληπιάδης; in schol. Arist. Nub. 37, de significatione vocis δήμαρχος, post Aristotelem citatur *Asclepiades Alexandrinus*: καὶ Ἀσκληπιάδης ὁ Ἀλεξανδρεὺς τοὺς κατὰ δῆμον ἄρχοντας (δημάρχους κληθῆναι) φησίν.* Verisimillimum est hunc eundem esse cum eo qui reliquis scholiastæ locis laudatur, adeoque Myrleanum seniorem significari, qui quum Alexandriæ Apollonii disciplina formatus sit, Alexandrinus dici potuit. — Idem, opinor, etiam *Commentarios in Pindarum* scripsit (v. schol. Pindar. Olymp. VII, 24. VIII, 10. 28; Pyth. III, 114. IV, 18. 35. 61; Nem. I, 19. VI, 1) et Τὰ τῶν ἀξόνων ἐξηγητικά, quæ laudantur apud Etym. Gudian. et Etym. M. v. Κύρβεις (v. Phaniæ fragm. 4 tom. II, p. 294). — *Homero* quoque operam dedisse videtur, ut colligas ex Etym. M. p. 158, 31 v. Ἀσπληδών: Ἀπολλόδωρος (discipulus Asclepiadis) δὲ φησὶν Ἀσκληπιάδην οὕτω λέγειν· « Σπληδόνα τ' ἠγαθέην (Il. II, 511). Eodem pertinet Etym M. p. 159, 14, ubi Ἀσκλ. ὁ Μυρλεανὸς laudatur de etymologia vocis Ἀστυάναξ. Cf. Ammonius p. 14 ed. Valcken. de vv. Ἅμα et Ὁμοῦ: Ἔσθ' ὅτι δ' ὁ ποιητὴς τὸ ὁμοῦ καὶ ἐπὶ χρονικοῦ τάσσει ἐπιρρήματος, ὥς φησιν Ἀσκληπιάδης. Cf. Werfer. l. l. p. 548. — Porro Myrleanus Ascl. in *Theocritum commentarios* scripsit, ut ex scholiis Theocr. satis liquet, et fortasse in *Aratum* (schol. Arati Phænom. 7: Βῶλος οὐχ ἀροτή, ὡς Ἀσκληπιάδης). Denique in *Apollonii Argonautica* scripsisse videtur discipulus ejus Asclepiades, uti colligas e schol. Apollon. Rh. I, 624: Σίκινος δέ ἐστι νῆσός τις πρὸ τῆς Εὐβοίας... Ὅτι δὲ ἐνθάδε Θόας ἐσώθη καὶ Κλέων ὁ Κουριεὺς ἱστορεῖ καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς δεικνὺς ὅτι παρὰ Κλέωνος τὰ πάντα μετήνεγκεν Ἀπολλώνιος. Simili modo Charon, αὐτοῦ τοῦ Ἀπολλωνίου γνώριμος, scripsit Περὶ ἱστοριῶν τοῦ Ἀπολλωνίου, testante schol. ad II, 454.

Ex reliquis Asclepiadis ad nos pertinent Asclepiades Cyprius, qui de Cypro et Phœnice scripsit, et Asclepiades Arei f., libri Περὶ Δημητρίου τοῦ Φαληρέως auctor, et Ascl. Ægyptius, qui Αἰγυπτιακὰ θεολογούμενα collegit.

ΒΙΘΥΝΙΑΚΑ.

1.

E LIBRO PRIMO.

Parthenius Erot. 35 : Περὶ Εὐλιμένης. Ἱστορεῖ Ἀσκληπιάδης ὁ Μυρλεανὸς Βιθυνιακῶν α'. Ἐν δὲ Κρήτῃ ἠράσθη Λύκαστος τῆς Κύδωνος θυγατρὸς Εὐλιμένης, ἣν ὁ πατὴρ Ἀπτέρῳ (Ἀπτέρᾳ sec. Syncell.) καθωμολόγητο, πρωτεύοντι τότε Κρητῶν· ταύτῃ κρύφα συνὼν ἐλελήθει. Ὡς δὲ τῶν Κρητικῶν τινες πόλεων ἐπισυνέστησαν Κύδωνι καὶ πολὺ περιῆσαν, πέμπει τοὺς πευσομένους εἰς θεοῦ, ὅ τι ἂν ποιῶν κρατήσειεν τῶν πολεμίων. Καὶ αὐτῷ θεσπίζεται τοῖς ἐγχωρίοις ἥρωσι σφαγιάσαι παρθένον. Ἀκούσας δὲ τοῦ χρηστηρίου Κύδων διεκλήρου τὰς παρθένους πάσας, καὶ κατὰ δαίμονα ἡ θυγάτηρ τυγχάνει. Λύκαστος δὲ δείσας περὶ αὐτῆς, μηνύει τὴν φθορὰν καὶ ὡς ἐκ πολλοῦ χρόνου συνείη αὐτῇ· ὁ δὲ πολὺς ὅμιλος πολὺ μᾶλλον ἐδικαίου αὐτὴν τεθνάναι. Ἐπειδὴ δὲ ἐσφαγιάσθη, ὁ Κύδων τὸν ἱερέα κελεύει αὐτῆς διατεμεῖν τὸ ἐπομφάλιον, καὶ οὕτως εὑρέθη ἔγκυος. Ἄπτερος δὲ δόξας ὑπὸ Λυκάστου δεινὰ πεπονθέναι, λοχήσας αὐτὸν ἀνεῖλε καὶ διὰ ταύτην τὴν αἰτίαν ἔφυγε πρὸς Ξάνθον εἰς Τέρμερα.

Hujus narrandæ historiæ ansam dederint fabulæ quæ cum Lycasto Pontico fluvio et urbe conjuncta erant. De Aptera cf. Syncell. p. 157, A : Κρήτης ἐβασίλευσε Λάπις. Κρήτης ἐβασίλευσε Ἀπτέρας, ὃς καὶ τὴν πόλιν ἔκτισεν. Eadem Euseb. Chron. ad Abr. an. 514. Ceterum dubium vix est, quin ex eodem Asclepiade fluxerit quæ sequitur apud Parthenium de Arganthone Bithyna narratio : Περὶ Ἀργανθώνης. Λέγεται δὲ καὶ Ῥῆσον, πρὶν ἐς Τροίαν ἐπίκουρον ἐλθεῖν, ἐπὶ πολλὴν γῆν ἰέναι προσαγόμενόν τε καὶ δασμὸν ἐπιτιθέντα· ἔνθα δὴ καὶ εἰς Κίον ἀφικέσθαι κατὰ κλέος γυναικὸς καλῆς· Ἀργανθώνη αὐτῇ ὄνομα. Αὕτη τὴν μὲν κατ' οἶκον δίαιταν καὶ μονὴν ἀπέστυγεν, ἀθροισαμένη δὲ κύνας πολλοὺς ἐθήρευεν, οὐ μάλα τινὰ προσιεμένη. Ἐλθὼν οὖν ὁ Ῥῆσος εἰς τόνδε τὸν χῶρον βίᾳ μὲν αὐτὴν οὐχ ἦγεν, ἔφη δὲ θέλειν αὐτῇ συγκυνηγεῖν· καὶ αὐτὸν γὰρ ὁμοίως ἐκείνῃ τὴν πρὸς ἀνθρώπους ὁμιλίαν ἐχθαίρειν. Ἡ δὲ ταῦτα λέξαντος ἐκείνου κατήνεσε, πειθομένη αὐτὸν ἀληθῆ λέγειν. Χρόνου δὲ πολλοῦ διαγενομένου εἰς πολὺν ἔρωτα παραγίνεται τοῦ Ῥήσου. Καὶ τὸ μὲν πρῶτον ἡσυχάζει αἰδοῖ κατεχομένη· ἐπειδὴ δὲ σφοδρότερον ἐγίνετο τὸ πάθος, ἀπετόλμησεν εἰς λόγους ἐλθεῖν αὐτῷ, καὶ οὕτως ἐθέλων αὐτὴν ἐκεῖνος ἠγάγετο γυναῖκα. Ὕστερον δὲ πολέμου γενομένου τοῖς Τρωσὶ μετῆεσαν αὐτὸν οἱ βασιλεῖς ἐπίκουρον· ἡ δὲ Ἀργανθώνη, εἴτε καὶ δι' ἔρωτα, ὃς πολὺς ὑπῆν αὐτῇ, εἴτε καὶ ἄλλως καταμαντευομένη τὸ μέλλον, βαδίζειν αὐτὸν οὐκ εἴα. Ῥῆσος δὲ μαλακιζόμενος ἐπὶ μονῇ οὐχ ἠνέσχετο, ἀλλὰ ἦλθεν εἰς Τροίαν, καὶ μαχόμενος ἐπὶ ποταμῷ τῷ νῦν ἀπ' ἐκείνου Ῥήσῳ καλουμένῳ, πληγεὶς ὑπὸ Διομήδους ἀποθνήσκει. Ἡ δὲ ὡς ᾔσθετο τεθνηκότος αὐτοῦ, αὖτις ἀπεχώρησεν εἰς τὸν τόπον, ἔνθα ἐμίγη πρῶτον αὐτῷ, καὶ περὶ αὐτὸν ἀλωμένη θαμὰ ἐβόα τοὔνομα τοῦ Ῥήσου· τέλος δὲ καὶ ποταμῷ προσιεμένη διὰ λύπην ἐξ ἀνθρώπων ἀπηλλάγη.

2.

E LIBRO DECIMO.

Schol. Apoll. Rh. II, 789 : Ὅτι δὲ τοὺς Παφλαγόνας ὑπέταξεν Ἡρακλῆς τοῖς περὶ Λύκον, ἱστορεῖ Δεινίας ἐν πρώτῳ Ἀργολικῶν καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς ἐν δεκάτῳ (?) Βιθυνιακῶν.

3.

Idem II, 722 : Σαγγάριος, ποταμὸς Φρυγίας. Ὁ δὲ Μυρλεανὸς Σάγγαρον αὐτὸν λέγεσθαί φησιν.

4.

Athenæus II, p. 50, D : Ἀσκληπιάδης δὲ ὁ Μυρλεανός, χαμαικέρασόν τινα καλῶν δένδρον, ἔφη οὕτως· « Ἐν τῇ Βιθυνῶν γῇ γίνεται ἡ χαμαικέρασος, ἧς ἡ μὲν ῥίζα ἐστὶν οὐ μεγάλη, ἀλλ' οὐδὲ τὸ δένδρον, ἀλλὰ

DE REBUS BITHYNIÆ.

1.

Narrat Asclepiades libro primo De rebus Bithyniæ. — In Creta Lycastus deperibat Eulimenen, quam Cydon pater Aptero Cretensium principi desponsaverat : cum hac igitur clam rem habebat Lycastus. Quum autem quædam ex Cretensibus urbibus contra Cydonem insurgerent eumque vehementer urgerent, mittit ad deum legatos, qui percunctentur quid faciendum sit, ut hostibus superior evaderet. Et responsum accepit, immolandam esse virginem heroibus patriis. Accepto ergo oraculo sortiebatur de virginibus omnibus, et fortuna sic ferente, exit filia. Lycastus autem illi timens, indicat ejus corruptionem, et quod multo jam tempore cum ea coiverit. Tum vero populi multitudo multo justius censebat eam mori. Postquam ergo mactata est, jubet Cydon discindere eam circa umbilicum; atque ita inventa est prægnans. Quare Apterus Lycastum grave facinus in se commisisse ratus, ex insidiis eum adortus occidit, eamque ob causam ad Xanthum in Termera confugit.

2

Paphlagoniam ab Hercule Lyco (Mariandynorum regi) subjectam esse Dinias primo De rebus Argolicis et Asclepiades decimo Rerum Bithyniæ narrant.

3.

Sangarius, Phrygiæ fluvius. (Asclepiades) Myrleanus eum Sangarum dici ait.

4.

Asclepiades vero Myrleanus, *chamæcerasum* quandam arborem vocans, sic scribit : « In Bithynorum regione gignitur chamæcerasus arbor, quæ non altam radicem agit; nec ipsa arbor magna, sed rosæ frutici magnitudine : fructus

τῇ ῥοδῇ ἴσον, ὁ δὲ καρπὸς τὰ μὲν ἄλλα πάντα ὅμοιος, τοὺς δὲ πλείονι χρησαμένους, καθότι οἶνος, βαρύνει τε καὶ ἀλγεῖν τὴν κεφαλὴν τίθησι. » Ταῦτα ὁ Ἀσκληπιάδης, φησὶ, μοι δοκεῖ λέγειν περὶ τῶν μιμαικύλων. Τό τε γὰρ φέρον αὐτὰ δένδρον τοιοῦτον, καὶ ὁ πλέον τῶν ἑπτὰ τοῦ καρποῦ φαγὼν κεφαλαλγὴς γίνεται.

(ΠΕΡΙΗΓΗΣΙΣ ΤΩΝ ΕΘΝΩΝ ΤΩΝ ΕΝ ΤΗ ΤΟΥΡΔΙΤΑΝΙΑ.)

5.

Strabo III, p. 157 : Μετὰ ταύτην Ἄβδηρα, Φοινίκων κτίσμα καὶ αὐτή. Ὑπὲρ δὲ τῶν τόπων ἐν τῇ ὀρεινῇ δείκνυται Ὀδύσσεια καὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἐν αὐτῇ, ὡς Ποσειδώνιός τε εἴρηκε καὶ Ἀρτεμίδωρος, καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς, ἀνὴρ ἐν τῇ Τουρδιτανίᾳ παιδεύσας τὰ γραμματικὰ, καὶ περιήγησίν τινα τῶν ἐθνῶν ἐκδεδωκὼς τῶν ταύτῃ. Οὗτος δέ φησιν ὑπομνήματα τῆς πλάνης τῆς Ὀδυσσέως ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἀσπίδας προσπεπατταλεῦσθαι καὶ ἀκροστόλια. Ἐν Καλλαϊκοῖς δὲ τῶν μετὰ Τεύκρου στρατευσάντων τινὰς οἰκῆσαι, καὶ ὑπάρξαι πόλεις αὐτόθι, τὴν μὲν καλουμένην Ἕλληνες, τὴν δὲ Ἀμφίλοχοι, ὡς καὶ τοῦ Ἀμφιλόχου τελευτήσαντος δεῦρο καὶ τῶν συνόντων πλανηθέντων μέχρι τῆς μεσογαίας. Καὶ τῶν μεθ' Ἡρακλέους δέ τινας καὶ τῶν ἀπὸ Μεσσήνης ἱστορῆσθαί φησιν ἐποικῆσαι τὴν Ἰβηρίαν, τῆς δὲ Κανταβρίας μέρος τι κατασχεῖν Λάκωνας καὶ οὗτός φησι καὶ ἄλλοι. Ἐνταῦθα δὲ καὶ Ὠψικέλλαν πόλιν Ὀκέλα κτίσμα λέγουσι τοῦ μετὰ Ἀντήνορος καὶ τῶν παίδων αὐτοῦ διαβάντος εἰς τὴν Ἰταλίαν.

6.

Strabo III, p. 166 : Ἐπεὶ καὶ Ἰβηρίαν ὑπὸ μὲν τῶν προτέρων καλεῖσθαι πᾶσαν τὴν ἔξω τοῦ Ῥοδανοῦ καὶ τοῦ ἰσθμοῦ τοῦ ὑπὸ τῶν Γαλατικῶν κόλπων σφιγγομένου, οἱ δὲ νῦν ὅριον αὐτῆς τίθενται τὴν Πυρήνην, συνωνύμως τε τὴν αὐτὴν Ἰβηρίαν λέγουσι καὶ Ἱσπανίαν· ** μόνην ἐκάλουν τὴν ἐντὸς τοῦ Ἴβηρος· οἱ δ' ἔτι πρότερον αὐτοὺς τούτους Ἰγλῆτας, οὐ πολλὴν χώραν νεμομένους, ὥς φησιν Ἀσκληπιάδης ὁ Μυρλεανός. Ῥωμαῖοι δὲ τὴν σύμπασαν καλέσαντες ὁμωνύμως Ἰβηρίαν τε καὶ Ἱσπανίαν τὸ μὲν αὐτῆς μέρος εἶπον τὴν ἐκτὸς, τὸ δὲ ἕτερον τὴν ἐντός· ἄλλοτε δ' ἄλλως διαιροῦσι, πρὸς τοὺς καιροὺς πολιτευόμενοι.

ASCLEPIADES TRAGILENSIS.

Steph. Byz. : Τράγιλος, πόλις μία τῶν ἐπὶ Θρᾴκης πρὸς τῇ Χερρονήσῳ καὶ Μακεδονίᾳ. Ἐκ ταύτης ἦν Ἀσκληπιάδης ὁ τὰ Τραγῳδούμενα γράψας ἐν ἓξ βίβλοις. Ὁ πολίτης Τραγιλεύς.

Plutarchus X Orat. p. 838 : Ἐμαθήτευσε δ' αὐτῷ (sc. τῷ Ἰσοκράτει) καὶ Θεόπομπος ὁ Χῖος καὶ Ἔφορος ὁ Κυμαῖος καὶ Ἀσκληπιάδης ὁ τὰ Τραγῳδούμενα συγγράψας καὶ Θεοδέκτης ὁ Φασελίτης.

Photius Bibl. cod. 262 : Isocratis discipuli erant Xenophon, Theopompus, Ephorus; ἐπὶ τούτοις καὶ Ἀσκληπιάδης, ὃς τὰ Τραγῳδούμενα συνεγράψατο.

ΤΡΑΓΩΔΟΥΜΕΝΑ.

1.

E LIBRO PRIMO.

Probus ad Virgil. Georg. III, 255 : *Potnia urbs est Bœotiæ, ubi Glaucus, Sisyphi filius et Meropes, ut Asclepiades in Tragodumenôn lib. I ait, habuit equas quas assueverat humana carne alere, quo cupidius in hostem irruerent et perniciosius.*

---

vero ceteris omnibus rebus ceraso similis; sed qui largiori copia eo vescitur, hunc non secus ac vinum gravat, et dolorem capiti affert. » Hæc (ait Athenæus) dicere mihi videtur Asclepiades de *arbutis* : nam, quæ arbuta fert arbor, talis est : qui plus septem de ejus fructibus comedit, ei caput dolet.

DESCRIPTIO GENTIUM TURDITANIÆ.

5.

Post hanc urbem Abdera, Phœnicum opus hæc quoque. Supra hæc loca in montanis monstratur Odyssea (Ulyssea) et in ea fanum Minervæ, ut Posidonius tradit et Artemidorus et Asclepiades Myrleanus, qui in Turditania grammaticam docuit et descriptionem gentium in istis regionibus degentium edidit. Is tradit monumenta errorum Ulyssis in templo illo Minervæ affixa esse, aspides et navium rostra. Apud Callaicos autem consedisse quosdam qui Teucrum in bellum fuerant secuti; ibique fuisse urbes, quarum una Hellenes diceretur, altera Amphilochi : mortuo scilicet ibi Amphilocho, et sociis usque ad mediterranea vagatis : quin et id ait se comperisse, quosdam Herculis sociorum, et Messeniorum inhabitasse Hispaniam; partem autem Cantabriæ a Laconibus occupatam fuisse et is et alii perhibent; ibique Opsicellam [Ocelam?] urbem conditam ab Ocela, qui cum Antenore ejusque liberis in Italiam trajecit.

6.

Quum prius Iberiæ nomine intellectum fuerit quicquid est extra Rhodanum et isthmum qui a Gallicis coarctatur sinubus; nunc eam Pyrena terminant, vocantque eandem et Iberiam et Hispaniam, nominibus idem significantibus : [*priores autem Hispaniam*] solam vocabant eam quæ est intra Iberum. His quoque qui sunt priores, eosdem Igletas vocabant, regionis cultores non amplæ, ut ait Asclepiades Myrleanus. Romani totam regionem promiscue Iberiam et Hispaniam nominantes in Interiorem seu Citeriorem, et Exteriorem seu Ulteriorem dividunt : sed tamen accommodata temporum rationibus administratione alias aliter distinguunt.

Ipsum autem, quum alimenta defecissent, devoraverunt in ludis funebribus Peliæ. Cf. G. Hermann. De Æschyli Glaucis p. 4.

2.

E LIBRO SECUNDO.

Schol. Apoll. Rh. II, 562: Προίηκε πελιάδα: Ὅτι διὰ πελειάδος ἐπείρασαν οἱ Ἀργοναῦται τὰς Συμπληγάδας, καὶ Ἀσκληπιάδης ἱστορεῖ ἐν δευτέρῳ Τραγῳδουμένων.

Ib. v. 328: Πελειὰς δὲ εἶδος περιστερᾶς, ὡς καὶ Ἀριστοτέλης φησίν. Ὅτι δὲ ἐχρήσαντο περιστερᾷ πλεῖν μέλλοντες, καὶ Ἀσκληπιάδης ἐν Τραγῳδουμένοις φησίν.

3.

Schol. in Hom. Odyss. μ, 69: Τυρὼ ἡ Σαλμωνέως ἔχουσα δύο παῖδας ἐκ Ποσειδῶνος, Νηλέα τε καὶ Πελίαν, ἔγημε Κρηθέα, καὶ ἴσχει παῖδας ἐξ αὐτοῦ τρεῖς, Αἴσονα καὶ Φέρητα καὶ Ἀμυθάονα. Αἴσονος δὲ καὶ Πολυμήλας καθ' Ἡσίοδον γίνεται Ἰάσων, κατὰ δὲ Φερεκύδην ἐξ Ἀλκιμέδης. Τελευτῶν δὲ οὗτος καταλείπει τοῦ παιδὸς ἐπίτροπον τὸν ἀδελφὸν Πελίαν, ἐγχειρίσας αὐτῷ καὶ τὴν βασιλείαν, ἵνα αὐξηθέντι τῷ υἱῷ παράσχῃ. Ἡ δὲ τοῦ Ἰάσονος μήτηρ Ἀλκιμέδη δείσασα δίδωσιν αὐτὸν τρέφεσθαι Χείρωνι τῷ Κενταύρῳ. Τραφεὶς δὲ καὶ ἡβήσας ἔρχεται εἰς Ἰωλκὸν ἀπαιτῶν τὴν πατρῴαν ἀρχὴν τὸν Πελίαν. Ὁ δὲ ἔφασκεν χρῆναι αὐτὸν πρότερον διακομίσαι τὸ χρυσοῦν δέρας ἀπὸ Κόλχων, καὶ τοὺς πυριπνόους ἀνελεῖν ταύρους. Ἀκούσας δὲ ταῦτα ὁ Ἰάσων λέγει τῷ Χείρωνι. Καὶ αὐτῷ ὁ Χείρων συνεκπέμπει τοὺς ἠιθέους. Κατασκευάζει δὲ ἡ Ἀθηνᾶ τὴν Ἀργώ. Πλέοντες δὲ ἀφικνοῦνται ἐπὶ τὴν τῶν Βιθυνῶν χώραν. Καὶ ὁρῶσι τὸν Φινέα πηρὸν διὰ ταύτην τὴν αἰτίαν. Ἔχων γὰρ παῖδας ἐκ Κλεοπάτρας τῆς Βορέου καὶ ἐπιγήμας Εὐρυτίαν δίδωσιν αὐτοὺς τῇ μητρυιᾷ διαβληθέντας πρὸς ἀναίρεσιν. Ζεὺς δὲ χαλεπήνας λέγει αὐτῷ πότερον βούλεται ἀποθανεῖν ἢ τυφλὸς γενέσθαι. Ὁ δὲ αἱρεῖται μὴ ὁρᾶν τὸν ἥλιον. Ἀγανακτήσας δὲ ὁ Ἥλιος Ἁρπυίας ἐπιπέμπει αὐτῷ, αἵτινες εἴποτε μέλλοι ἐσθίειν, αὐτοῦ [τὰ βρώματα] διήρπαζον ἐμβάλλουσαι φθοράν τινα. Καὶ οὕτω Φινεὺς ἐτιμωρεῖτο. Τοῦτον οὖν τὸν Φινέα θεωρήσαντες οἱ περὶ τὸν Ἰάσονα παρεκάλουν ὑποθέσθαι πῶς δεῖ διαπλεῦσαι τὰς Πλαγκτὰς λεγομένας πέτρας. Ὁ δὲ εἶπεν, ἐὰν τὰς Ἁρπυίας ἀπαλλάξωσι τῆς πρὸς αὐτὸν ὁρμῆς. Θέντες δὲ συνθήκας ἐπαγγέλλονται αὐτῷ τοῦτο δρᾶσαι. Ὁ δὲ λέγει αὐτοῖς, πόσον δύναται ἔχειν τάχος ἡ Ἀργώ; φάντων δὲ πελειάδος, ἐκέλευσεν ἀφεῖναι περιστερὰν κατὰ τὴν συμβολὴν τῶν πετρῶν, κἂν μὲν μεσολαβηθῇ, μὴ πλεῖν, ἐὰν δὲ σωθῇ, τότε περαίνειν τὸν πλοῦν. Οἱ δὲ ταῦτα ἀκούσαντες ποιοῦσι, κατασχεθείσης δὲ τῆς περιστερᾶς διὰ τῆς οὐρᾶς, προσβάλλουσι τῇ Ἀργοῖ δυοῖν **** [Συμ]πληγάδες πέτραι συνελθοῦσαι τῆς νεὼς συμμύουσιν, αὐτοὶ δὲ σώζονται. Οἱ δὲ Βορειάδαι Ζήτης καὶ Κάλαϊς ἀποδιώκουσι τὰς Ἁρπυίας ἀπὸ τῶν Φινέως δείπνων. Καὶ οὕτω παραγίνονται εἰς Κόλχους. Ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ.

In fine narrationis locum lacunosum Buttmannus in hanc sententiam explendum esse censet: *Argonautas addidisse navi aplustre* δυοῖν ὀργυιῶν, *idque a Symplegadibus commissis abscissum fuisse.* Eustathius ita habet: Ἀπολυθείσης οὖν τῆς περιστερᾶς καὶ συσχεθείσης, οὐ πάσης, ἀλλὰ κατὰ τὸ οὐραῖον, εἰσβάλλουσι τοῦ λοιποῦ διὰ τῶν συμπληγάδων. Αἱ δὲ συμμύσασαι τὴν ἄκραν πρύμναν τῆς Ἀργοῦς ἔκλασαν κατὰ τὸ ἐν τῇ περιστερᾷ σύμβολον.

4.

Schol. Apoll. Rhod. II, 178: Ἀγηνορίδης] Ἀγήνορος γὰρ παῖς ἐστιν (Φινεύς), ὡς Ἑλλάνικος. Ὡς δὲ Ἡσίοδός φησιν, Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας. Ὁμοίως δὲ καὶ Ἀσκληπιάδης καὶ Ἀντίμαχος καὶ Φερεκύδης φασίν. Ἐκ γὰρ Κασσιεπείας τῆς Ἀράβου Φοίνικι γίνεται Κίλιξ καὶ Φινεὺς καὶ Δόρυκλος. Ὁ δὲ Ἀτύμνιος κατὰ μὲν ἐπίκλησιν καὶ αὐτὸς τοῦ Φοίνικος, ταῖς δὲ ἀληθείαις τοῦ Διός. Ἔνιοι δὲ αὐτὸν ἐν τῇ Παφλαγονίᾳ βασιλεῦσαι ἱστοροῦσιν [τὸν Φινέα], ἥτις ἐστὶ τῆς Ἀσίας, ὥς φησιν Ἑλλάνικος.

5.

E LIBRO TERTIO.

Schol. Pindar. Pyth. II, 39: Ἀσκληπιάδης δὲ ἐν τῷ τρίτῳ τῶν Τραγῳδουμένων οὕτω γράφει· « Προσιστοροῦσι δὲ ἔνιοι ὡς καὶ μανείη ὁ Ἰξίων, ὡς καὶ Φερεκύδης (fr. 103), καὶ τὴν ἐπὶ τοῦ τρόχου δὲ κόλασιν αὐτῷ παρεγκεχειρήκασι· ὑπὸ γὰρ δίνης καὶ θυέλλης αὐτὸν ἐξαρπασθέντα φθαρῆναί φασιν. » De Ixione fabulæ sunt v. Æschyli fr. p. 248; Euripidis fr. p. 719. Timesithei fr. in Tragg. Reliqq. p. 144.

6.

E LIBRO QUARTO.

Harpocratio: Δυσαύλης.. Ἀσκληπιάδης δ' ἐν δ' Τραγῳδουμένων τὸν Δυσαύλην αὐτόχθονα εἶναί φησι, συνοικήσαντα δὲ Βαυβοῖ σχεῖν παῖδας Πρωτονόην τε καὶ Νίσαν (Μίσαν?). Vide not. ad Palæphati fr. 3 (tom. II, p. 338). Pertinent hæc ad Triptolemum fab. vel ad Iamben. V. Sophoclis fragm. p. 311.

7.

E LIBRO SEXTO.

Suidas: Ῥησίαρχος, ὃς ἐρέει τὰ θέσφατα, παρ' Ἐπιχάρμῳ· ἤτοι παρὰ τὴν ῥῆσιν εἴρηκεν, ἢ, ὡς Ἀσκληπιάδης ἐν ἕκτῳ Τραγῳδουμένων, ἄριστον αὐτὸν γεγονέναι ἀλήθειαν εἰπεῖν. Ἐγένετο δὲ καὶ ἕτερος. Eadem

Hesychius; nec non Photius, ubi ms. Ῥησός· ἀρχὸς ὃς αἱρέσει. « Non solum illud ἱρέει manifestum est corruptionis, sed obscurum etiam quo spectent αὐτὸν et ἕτερος. Fuerunt igitur qui ῥησίαρχος animi causa ab Epicharmo inventum de fatidico interpretarentur; alii qui nomen hominis agnoscerent. » *Bernhardy*. Apud Asclepiadem aperte nomen fuit personæ (dramatis satyrici).

8.

Schol. Pindar. Pyth. IV, 313 : Ἀσκληπιάδης ἐν ἕκτῳ Τραγῳδουμένων ἱστορεῖ Ἀπόλλωνος καὶ Καλλιόπης Ὑμέναιον, Ἰάλεμον, Ὀρφέα.

Schol. Apoll. Rh. I, 23 : Εἶναι δὲ Ὀρφέα, κατὰ μὲν Ἀσκληπιάδην, Ἀπόλλωνος καὶ Καλλιόπης, κατὰ δὲ ἐνίους Οἰάγρου καὶ Πολυμνίας. Hinc sua Tzetzes ad Hesiod Opp. et D. init. Cf. Apollodor. I, 3, 3, 1.

Schol. Vatican. Eurip. Rhes. 892 : Καὶ Ἀσκληπιάδης ἐν τ[ῷ ἕκτῳ Τραγῳδουμένων] πλείους τῆς Καλλιόπης λέγει παῖδας ἐν τούτ[οις]· « Καλλιόπῃ γὰρ τὸν Ἀπόλλωνα μιχθέντα γεν[νῆσαί φασιν] Λίν[ον] τὸν πρεσβύτατον, καὶ τρεῖς μετ' ἐκεῖνον, Ὑμέναιον, [Ἰάλεμον,] Ὀρφέα· τῷ δὲ νεωτάτῳ τὴν μὲν ἐπιθυμίαν..... ... ευμάτων ἐμπεσεῖν, καὶ περὶ τὴν μουσικὴν........ πάντων. Οὐ μὴν τοιοῦτό γε πάθος......... γενέσθαι. »

ἐν τῷ ἕκτῳ κτλ.] sic ex schol. Pindari supplevi. ἐν τ'.... περὶ δου............ codex, ut videtur. G. Hermannus finxit : ἐν τοῖς Περὶ δουλείας θεῶν. Reliqua supplementa sec. Hermannum exhibui, qui in postremis ita fere reponi vult : Τὴν μὲν ἐπιθυμίαν ὀλεθρίαν ἀποβῆναι, ἥν αὐτῷ τῶν ἐπιτηδευμάτων ἐμπεσεῖν, οὐ μὴν τοιοῦτό γε, οἷον λέγουσί τινες γενέσθαι. Quomodo Ialemi historiam tristemque vitæ exitum fabulæ adornaverint, non constat. In fragmento Pindari apud schol. Eurip. l. l. legitur : Ἁ δὲ (sc. ἀοιδὴ ὑμνεῖ) Ἰάλεμον ὠμοβόλῳ νούσῳ ὅτι παῖδα θέντοι (νούσῳ πεδαθέντα conj. Hermann.; num νούσῳ ἔτι παῖδα δαμασθέντα?) σθένος, υἱὸν Οἰάγρου.

E LIBRIS INCERTIS.

9.

Schol. Pindar. Nem. VII, 62 : Ἀσκληπιάδης διὰ (f. δ' vel δὲ α') τῶν Τραγῳδουμένων φησὶν οὕτως· « Περὶ μὲν οὖν τοῦ θανάτου (sc. τοῦ Νεοπτολέμου) σχεδὸν ἅπαντες οἱ ποιηταὶ συμφωνοῦσι, τελευτῆσαι μὲν αὐτὸν ὑπὸ Μαχαιρέως, ταφῆναι δὲ τὸ μὲν πρῶτον ὑπὸ τὸν οὐδὸν τοῦ νεὼ, μετὰ δὲ ταῦτα Μενέλαον ἐλθόντα ἀνελεῖν, καὶ τὸν τάφον ποιῆσαι ἐν τῷ τεμένει. » Τὸν Μαχειρέα φησὶν υἱὸν εἶναι τοῦ Δαίτα.

10.

Harpocration : Μελανίππειον. Λυκοῦργος ἐν τῷ Κατὰ Λυκόφρονος. Μελανίππου τοῦ Θησέως ἡρῷόν ἐστιν, ὥς φησιν Ἀσκληπιάδης Τραγῳδουμένοις. Κλείδημος δὲ κτλ. (V. Clitodemi fr. 4). Probabiliter hæc memorata in historia De Septem adv. Thebas; quo bello Melanippus periit.

11.

Schol. Hom. Il. γ, 325 : Πορφύριός φησιν ἱστορεῖν τὸν γράψαντα τὰ Τραγῳδούμενα ὅτι ὁ θρέψας τὸν Πάριν νομεὺς Ἀρχιάλος (Ἀρχέλαος Heyn. ad Apollod. III, 12; lege Ἀγχίαλος) ἐκαλεῖτο. Cf. Sophocl. fragm. p. 249.

12.

Schol. Il. ζ, 155 : Βελλεροφόντην.] Οὗτος πρότερον ἐκαλεῖτο Ἱππόνους· ἀνελὼν δὲ Βέλλερον τὸν Κορινθίων δυνάστην Βελλεροφόντης ἐκλήθη. Ἦν δὲ φύσει μὲν παῖς Ποσειδῶνος, ἐπίκλησιν δὲ Γλαύκου. Λαβὼν δὲ παρὰ Ποσειδῶνος τὸν Μεδούσης τῆς Γοργόνος Πήγασον πτερωτὸν ἵππον (διὰ γὰρ τοῦτο ἔσχε καὶ τὴν προσηγορίαν, ὅτι ἐκπεπηδήκοι ἐκ τοῦ τῆς Γοργόνος τραχήλου), τούτῳ ἐπωχεῖτο. Δράσας δὲ ἐμφύλιον φόνον, Βέλλερον γάρ τινα, ὥς ἔφην, τῶν πολιτῶν ἀποκτείνας, φεύγει εἰς Ἄργος. Τυχὼν δὲ καθαρσίων παρὰ Προίτου τοῦ βασιλέως, μετ' αὐτοῦ διέτριβεν. Ἄντεια δὲ ἡ τοῦ Προίτου γυνὴ, ἐρασθεῖσα τοῦ Βελλεροφόντου, ἐδεῖτο ὅπως αὐτῇ συνευνασθῇ· ὁ δὲ δεξιούμενος τὸ ὅσιον ἀντέλεγεν. Ἡ δὲ Ἄντεια δείσασα μὴ τῷ Προίτῳ προλαβὼν ἐξείποι τοὺς αὐτῆς ἔρωτας, ἔφθασε τὸν Βελλεροφόντην κατειποῦσα, ὡς ἄρα εἴη βεβιασμένη πρὸς αὐτοῦ. Ὁ δὲ Προῖτος αὐτόχειρ μὲν οὐκ ἠβουλήθη τὸν Βελλεροφόντην ἀποκτεῖναι, πέμπει δὲ αὐτὸν εἰς Λυκίαν πρὸς τὸν πενθερὸν Ἰοβάτην, ἀδοκήτως καθ' ἑαυτοῦ κομίζοντα γράμματα. Ὁ δὲ πολλοῖς αὐτὸν ἐγγυμνάσας ἄθλοις, ὡς οὐχ ἑώρα φθειρόμενον, ὑπετόπησε τὴν κατ' αὐτοῦ στρατηγηθεῖσαν δεινὴν καταβουλήν· τοσοῦτον γὰρ κακῶν ὄχλον τῇ δυνάμει κατηγωνίσατο. Ἔδωκε δὲ αὐτῷ πρὸς γάμον τὴν ἰδίαν θυγατέρα Κασάνδραν καὶ τῆς βασιλείας μοῖράν τινα. Λέγεται δὲ αὐτὸν ἐπαρθέντα ἐφ' οἷς ἔπραξε θελῆσαι μετὰ τοῦ Πηγάσου τὸν οὐρανὸν κατοπτεῦσαι· τὰ γὰρ νῶτα, ὡς ἔφημεν, πτερωτὰ εἶχεν ὁ ἵππος· τὸν δὲ Δία μηνίσαντα οἶστρον ἐμβαλεῖν τῷ Πηγάσῳ, ὥστε ἐκπεσεῖν μὲν τὸν Βελλεροφόντην καὶ κατενεχθῆναι εἰς τὸ τῆς Λυκίας πεδίον τὸ ἀπ' αὐτοῦ καλούμενον Ἀλήιον πεδίον, ἀλᾶσθαι δὲ κατὰ τοῦτο πηρωθέντα, τὸν δὲ ἵππον λαβεῖν τὴν Ἠῶ δεηθεῖσαν ὑπὸ Διὸς δῶρον πρὸς τὸ ἀκόπως περιμέναι τὰς τοῦ κόσμου περιόδους. Ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ ἐν Τραγῳδουμένοις.

13.

Schol. Ven. Hom. Il. η, 467 (Apostol. XI, 98) : Λήμνιοι τὰς ἐξ ἔθους τῇ Ἀφροδίτῃ θυσίας μὴ ἀποδιδόντες καθ' αὐτῶν θάνατον ἐνομοθέτησαν. Τὴν γὰρ θεὸν λέγεται ὀργισθεῖσαν τοῖς μὲν ἀνδράσιν ἵμερόν τινα τῶν Θρᾳκίων ἐμβαλεῖν γυναικῶν, τῶν δὲ ἰδίων ἀμε-

λῆσαι καὶ καθέζεσθαι ἐφ' ἡσυχίας. Διέβαινον οὖν εἰς τὴν Θρᾴκην περιέποντες καὶ συμμιγνύμενοι ταῖς ἐνταῦθα. Ταῖς δὲ γυναιξὶ τῶν Λημνίων ἔκτοπον λύσσαν ἐμπεσεῖν ὥστε ψηφίσασθαι πάσας ἀνδροκτονεῖν, καὶ μὴ τῆς ἐπιβουλῆς ταύτης ἀποτυχεῖν. Γενομένου δὲ τούτου τοῦ ἀτυχήματος περὶ τοὺς ἄνδρας, λέγεται τὸν Ἰάσονα μετὰ τῆς Ἀργοῦς ἐξοκείλαντα τῇ κρατίστῃ πασῶν Ὑψιπύλῃ μιγῆναι· ἐξ ἧς φασὶ γενέσθαι Εὔνηον. Ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ ἐν τοῖς Τραγῳδουμένοις.

14.

Schol. Hesiod. Theog. 223 : Ἀσκληπιάδης δὲ ἐν τοῖς Τραγῳδουμένοις φησὶν, εἰς κύκνον μεταβληθέντα τὸν Δία Νεμέσει μιγῆναι. Cf. Apollodor. II, 10. Ad fabulas de Helenæ historia pertinet.

15.

Schol. Venet. ad Eurip. Orest. 1640 : Ὁ δὲ Ἀσκληπιάδης ἱστορεῖ ὑπὸ ὄφεως δηχθέντα αὐτὸν (τὸν Ὀρέστην) ἐκεῖ (ἐν Ἀρκαδίᾳ) τελευτῆσαι [ἑβδομήκοντα ἐτῶν add. vulg. sch.].

16.

Schol. Eurip. Alc. 1 : Ἡ διὰ στόματος καὶ δημώδης ἱστορία περὶ τῆς Ἀπόλλωνος θητείας παρ' Ἀδμήτῳ αὕτη ἐστὶν, ᾗ κέχρηται νῦν Εὐριπίδης. Οὕτω δέ φησι καὶ Ἡσίοδος καὶ Ἀσκληπιάδης ἐν Τραγῳδουμένοις.

Præter allata expressam Τραγῳδουμένων mentionem habes in Indice auctorum ad Plinii H. N. lib. VII, ubi inter alios recensentur : *Heraclides Ponticus, Asclepiades qui* Τραγῳδούμενα, *Philostephanus, Hegesias.*

Valckenarius Diatr. Eurip. p. 182, Asclepiadem Tragilensem intelligi voluit apud schol. in Demosth. De fals. leg. § 445 (p. 151 ed. Dobson.) : Λέγει δ τὰς θεατρικὰς ἱστορίας συγγράψας διὰ τοῦτο τοῖς τριταγωνισταῖς τὰς ὑποκρίσεις τῶν δυναστευόντων παρέχεσθαι, ἐπειδὴ ἧττόν ἐστι παθητικὰ καὶ ὑπέρογκα. Verum ejusmodi argumenta a Tragilensi tractata esse nullo docemur indicio. Contra vero de his elaborasse Jubam scimus in opere quod Θεατρικαὶ ἱστορίαι inscribitur. Quare hic potius intelligendus est. — Sequuntur reliqua fragmenta, quæ ad Τραγῳδούμενα Ascl. referenda esse videntur.

17.

Apollodor. II, 1, 3, 3 : Ἄργον τὸν πανόπτην... Ἀσκληπιάδης μὲν Ἀρέστορος λέγει, Φερεκύδης δὲ Ἰνάχου (leg. vid. Φ. μὲν Ἀρ. λέγει, Ἀσκλ. δὲ Ἰνάχου), Κέρκωψ δὲ Ἄργου καὶ Ἰσμήνης τῆς Ἀσωποῦ θυγατρὸς, Ἀκουσίλαος δὲ γηγενῆ αὐτὸν λέγει.

18.

Idem III, 1 : Μίνως δὲ... γήμας Πασιφάην τὴν Ἡλίου καὶ Περσηΐδος, ὡς δ' Ἀσκληπιάδης φησὶ, Κρήτην τὴν Ἀστερίου θυγατέρα, παῖδας μὲν ἐτέκνωσε Κατρέα κτλ.

19.

Schol. Apoll. Rh. I, 156 : Νηλεὺς ἔσχε παῖδας ἐκ μὲν Χλωρίδος Νέστορα, Περικλύμενον, Χρόμιον· ἐκ δὲ διαφόρων γυναικῶν Ταῦρον, Ἀστέριον, Πυλάονα, Δηΐμαχον, Εὐρύβιον, Ἐπιλέοντα, Φράσιν, Ἀντιμένη, [Εὐαγόραν,] ὡς δὲ Ἀσκληπιάδης φησὶ, (καὶ) Ἀλάστορα.

διαφόρων] ἐκ δὲ Φάρης cod. Paris. et Eudocia p. 333, quæ schol. exscripsit. Cum nostris confer schol. Hom. Od. λ, 286 : Οἱ δώδεκα παῖδες Νηλέως ἐκ διαφόρων ἦσαν... ἐκ Χλωρίδος δὲ τρεῖς. — Ταῦρον] Σκύρον P. et Eudoc.; Ταῦρον etiam Apollodor. I, 9,9. — Πυλάωνα] sic Apollodor.; Λυκάωνα edit. princ., unde deinde factum Λυκάονα. — Δηΐμαχον] Δόμαχον Paris. Idem Λυσίμαχος dici videtur ap. schol. Il. XI, 691, ubi duodecim Nelei e Chloride et ex Tyro filii recensentur : Περικλύμενος, Πεισίστρατος, Ἄλκιμος, Ὑψήνωρ, Πυλαιμένης, Λυσίμαχος, Ἱπποκόων, Πεισήνωρ, Ἱππόλοχος, Ἀγησίλαος, Λύσιππος καὶ Νέστωρ. — Ἐπιλέοντα] Ἐπιμένης Paris.; Ἐπίλαος Apollodor. — Φράσιν] Ῥάδιος corrupte Apollodor.; forte Φράσιος ap. nostr. scribendem monet Heyn. — Ἀντιμένη] Εὐρυμένης Apollodor. — Εὐαγόραν] hunc cod. Paris. habet, nec non apud Apollodorum item nominantur Εὐαγόρας, Ἀλάστωρ. Itaque quum Euagoræ nomen recte se habere videatur, Asclepiades præter constantem traditionem, non duodecim filios Neleo, sed tredecim dedisset. Quod non probabile est. Nam Apollodorus quamvis et Euagoram et Alastorem recenset, non nisi duodecim nomina recenset; omittit enim Chromium, quem jam Homerus l. l. nominat. Haud dubie igitur ita statuendum est, ut pro Euagora alii posuerint Alastorem. Quare vocem καὶ ante Ἀλάστορα ejiciendam puto. Cur cum Werfero statuamus hæc non ex Tragodumenis, sed ex commentario quodam quem Asclepiades Myrleanus in Homerum scripserit, desumpta esse nihil video.

19.

Hyginus Poet. Astron. c. 21, de Hyadibus : *Has autem Pherecydes Atheniensis Liberi nutrices esse demonstrat numero septem, quas etiam ante nymphas Dodonidas appellatas. Harum nomina sunt hæc, Ambrosia, Eudora, Phæsyle, Coronis, Polyxo Phæo, Thyone. Hæ dicuntur a Lycurgo fugatæ, et præter Ambrosiam omnes ad Thetym profugisse, ut ait Asclepiades.* Asclepiades de eadem re una cum Pherecyde (fr. 45) laudatur etiam in Mythogr. tom. I, p. 49 ed. Bode. — De Lycurgia Æschyli fab. v. Fragm. Æschyli p. 177 sqq.

20.

Schol. Homer. Odyss. λ, 582 : Τάνταλος Διὸς καὶ Πλουτοῦς συνδιατρίβων τοῖς θεοῖς καὶ συνεστιώμενος αὐτοῖς ἀπλήστως διετέθη. Κλέψας γὰρ τὸ νέκταρ καὶ τὴν ἀμβροσίαν, οὐκ ἐξὸν αὐτῷ, ἔδωκε τοῖς ὁμήλιξιν. Ἐφ' οἷς ἀγανακτήσαντα τὸν Δία ἐκβαλεῖν αὐτὸν τῆς ἐν οὐρανῷ διαίτης καὶ ἐξαρτῆσαι ἐπ' ὄρους ὑψηλοῦ ἐκδεδεμένον τῶν χειρῶν, καὶ τὴν Σίπυλον, ἔνθα ἐκεκήδεστο, ἀνατρέψαι. Ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ.

21.

Schol. Eurip. Phœn. 45 : Ἀσκληπιάδης δὲ λέγει τοὺς Θηβαίους εἰς ἐκκλησίαν καθ' ἑκάστην ἀθροίζεσθαι διὰ τὸ δυσαίνιγμα τῆς Σφιγγός. Λόγιον γὰρ ἦν αὐτοῖς μὴ ἀπαλλαγήσεσθαι τῶν κακῶν, πρὶν ἂν τοὺς τῆς Σφιγγὸς λύσειαν χρησμούς, ὁπότε δὲ μὴ συνίοιεν, ἁρπάζειν αὐτὴν ὅντινα ἂν τῶν πολιτῶν βούλοιτο.

Athenæus X, p. 456, B : Καὶ τὸ τῆς Σφιγγὸς δὲ αἴνιγμα Ἀσκληπιάδης ἐν τοῖς Τραγῳδουμένοις τοιοῦτον εἶναί φησιν·

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνή,
καὶ τρίπον, ἀλλάσσει δὲ φύσιν μόνον, ὅσσ' ἐπὶ γαῖαν
ἑρπετὰ γίνονται, καὶ ἀν' αἰθέρα καὶ κατὰ πόντον.
Ἀλλ' ὁπόταν πλείστοισιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

Eadem schol. Eur. Phœn. 50 et Argum. ad Phœn. tom. I ed. Matthiæ, ubi vide de lectionis varietate.

22.

Schol. Hom. Od. λ, 269 : Γημαμένη (sc. Μεγάρα) Ἡρακλεῖ παῖδας ἴσχει Θηριόμαχον καὶ Κρεοντιάδην. Βαδίζοντος δὲ αὐτοῦ εἰς ᾅδου ἐπὶ τὸν τοῦ κυνὸς ἆθλον, Λύκος ὁ τῶν Θηβῶν βασιλεὺς πεισθεὶς Ἥρᾳ καταστέφει τοὺς Ἡρακλέους παῖδας ἵνα θύσῃ· οὐ γὰρ αὐτὸν ἐπανήξειν ᾤετο. Παραγενόμενος δὲ Ἡρακλῆς ἀναιρεῖ αὐτὸν καὶ τοὺς ἐκείνου παῖδας. Μανεὶς δὲ διὰ τὴν Ἥραν κτείνει τοὺς ἰδίους. Ἔμελλε δὲ καὶ τὸν ἀδελφὸν Ἰφικλέα, εἰ μὴ ἔφθασεν Ἀθηνᾶ κωλύουσα. Ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ.

23.

Schol. Homer. Odyss. λ, 326 : Ἀμφιάραος ὁ Ἰοκλέους (« sic alibi quoque pro Οἰκλέους; cod. Ἰοκλευς. V. Heyn. Apoll. I, 8,2. » *Buttm.*) γήμας Ἐριφύλην τὴν Ταλάου καὶ διενεχθεὶς ὑπέρ τινων πρὸς Ἄδραστον, καὶ πάλιν διαλυθεὶς ὁρκούμενος ὡμολόγησεν ὑπὲρ ὧν ἂν διαφέρωνται πρὸς ἀλλήλους αὐτός τε καὶ Ἄδραστος ἐπιτρέψειν Ἐριφύλην κρίνειν καὶ πείθεσθαι αὐτῇ. Μετὰ δὲ ταῦτα γινομένης τῆς ἐπὶ Θήβας στρατείας, ὁ μὲν Ἀμφιάραος ἀπέτρεπε τοὺς Ἀργείους καὶ τὸν ἐσόμενον ὄλεθρον προεμαντεύετο. Λαβοῦσα δὲ ἡ Ἐριφύλη τὸν ὅρμον παρὰ τοῦ Πολυνείκους τὸν τῆς Ἁρμονίας, προσέθετο τοῖς περὶ τὸν Ἄδραστον βιαζομένοις τὸν Ἀμφιάραον [συστρατεύειν αὐτοῖς. Τὸν δὲ Ἀμφιάραον] ἰδόντα τὴν τῶν δώρων ὑποδοχὴν καὶ πολλὰ τὴν Ἐριφύλην αἰτιασάμενον, αὐτὸν μὲν ἐξορμῆσαι πρὸς τὴν στρατείαν, Ἀλκμαίωνι δὲ προστάξαι μὴ πρότερον μετὰ τῶν ἐπιγόνων ἐπὶ Θήβας πορεύεσθαι πρὶν ἀποκτεῖναι τὴν μητέρα. Ταῦτα δὲ πάντα δρᾶσαι λέγεται τὸν Ἀλκμαίωνα, καὶ διὰ τὴν μητροκτονίαν μανῆναι. Τοὺς δὲ θεοὺς ἀπολῦσαι τῆς νόσου αὐτὸν διὰ τὸ ὁσίως ἐπαμύνοντα τῷ πατρὶ τὴν μητέρα κατακτεῖναι. Ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ.

24.

Schol. Homer. Odyss. λ, 321 : Θησεὺς ὁ Αἰγέως ἔχων παῖδα Ἱππόλυτον ἐξ Ἀμαζόνος Ἀντιόπης ἔγημε Φαίδραν τὴν Μίνωος θυγατέρα τοῦ τῶν Κρητῶν βασιλέως. Εὐλαβούμενος δὲ μητρυιᾶς ἐπιβουλὴν πέμπει ἐξ Ἀθηνῶν τὸν υἱὸν Ἱππόλυτον Τροιζηνίων ἄρχειν. Ἦν γὰρ αὐτῷ διὰ τὴν Πιτθέως Αἴθραν μητρῴα τις ἀρχὴ δεῦρο. Φαίδρα δὲ ἐρωτικῶς διατεθεῖσα τοῦ Ἱππολύτου, σφοδρῶς ἐπ' αὐτῷ τηκομένη τὸ μὲν πρῶτον ἱερὸν Ἀφροδίτης ἐν Ἀθήναις ἱδρύσατο τὸ νῦν Ἱππολύτειον καλούμενον. Εἰς Τροιζῆνα δὲ ὕστερον παραγενομένη διενοεῖτο πείθειν τὸν νεανίσκον ὅπως αὐτῇ μιγείη. Χαλεπῶς δ' ἐκείνου προσδεξαμένου τὸν λόγον, λέγεται φοβηθεῖσαν αὐτὴν ἀντιστρέψαι τὴν αἰτίαν, καὶ πρὸς Θησέα διαβάλλειν ὡς Ἱππολύτου πείθοντος αὐτήν. Ὁ δὲ τριῶν ὥς φασιν αὐτῷ παρὰ τοῦ Ποσειδῶνος εὐχῶν εἶναι ὡμολόγησεν (« sensus requirit οὐσῶν, ὁμολογήσαντος. » Buttm.) ὅ τι ἂν εὔξηται συντελέσειν, πιστεύσας τῇ Φαίδρᾳ μίαν τούτων ᾐτήσατο παρ' αὐτοῦ τὸν τοῦ παιδὸς ὄλεθρον. Ἐκεῖνον μὲν οὖν ὁμολογοῦσι τὸ ἅρμα γυμνάζοντα, παραφανέντος ἐξαίφνης ἀπὸ τῆς θαλάσσης ταύρου καὶ ταραχθέντων τῶν ἵππων, ἑλκόμενον ἀποθανεῖν. Τὴν δὲ Φαίδραν φανερῶς γενομένης τῆς διαβολῆς ἀπάγξασθαι. Ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ.

25.

Schol. Eurip. Hecub. 1249 (1273), de Hecubæ sepulcro : Κυνὸς ταλαίνης σῆμα, ναυτίλοις τέκμαρ] Περὶ τοῦ κυνὸς σήματος καὶ Ἀσκληπιάδης φησίν, ὅτι κυνὸς καλοῦσι δυσμόρου σῆμα.

Tzetzes Lyc. 315 : Σκύλακα τὴν Ἑκάβην λέγει (Lycophron), ὅτι κύων ἐγένετο, ὥς φησι μυθικῶς Εὐριπίδης (Hec. 1265) : « Κύων γενήσῃ πύρσ' ἔχουσα δέρματα. » Καὶ Ἀσκληπιάδης περὶ τοῦ τόπου, οὗ ἀνῃρέθη· « Ὃ καὶ κυνὸς καλοῦσι δυσμόρου σῆμα. » Apud Tzetzen quum verba Asclepiadis versum scazontem efficiant, Werferus p. 511 hæc non e Tragodumenis Ascl. Tragilensis, sed ex poemate alius Asclepiadis, Samii v. c., deprompta esse censet. — Equidem putaverim de eodem Tragilensi, qui reliquis locis in schol. Eurip. laudatur, etiam h. l. intelligendum esse, nec aliunde sua petivisse Tzetzen, apud quem pro ὁ καὶ reponendum est ὅτι, ut in schol. Eurip.

26.

Schol. Homer. Od. x, 2 : Τρεῖς γὰρ Αἰόλους φασὶ γεγενῆσθαι, πρῶτον τὸν τοῦ Ἕλληνος, δεύτερον τὸν ἐξ Ἱππότου καὶ Μελανίππης, τρίτον τὸν ἐκ Ποσειδῶνος καὶ Ἄρνης. Πρὸς τοῦτον δέ φησιν ὁ Ἀσκληπιάδης, τὸν ἐκ Ποσειδῶνος (ἐλθεῖν τὸν Ὀδυσσέα).

27.

Asclepiades de Thessalicis mulieribus, qui lunæ eclipses prænoscentes eam se de cœlo detrahere cum suo damno profiteantur, laudatur Proverb. Bodlej. 374 (v. Duridis fr. 81, p. 487).

28.

Probus ad Virgil. Georg. II, 84 : *Idæis Cyparissis. Cyparissum dicit cupressum. Quidam dicunt a Cyparisso, qui in insula Cea quum haberet cervum mansuetum quem unice diligebat, et errantem in silvis ignarus jaculo trajecisset, inedia se necavit. Quem quia nec consilio a morte nec viribus medicinæ Apollo qui eum immoderate diligebat revocare poterat, convertit in cupressum, arborem luctuosam. Quidam putant, ut Asclepiades ait, Boream fuisse Celtarum regem, qui filiam Cyparissam amiserat et novum arboris hujus genus primus in tumulo ejus severit, ob eamque causam esse luctuosam cupressum.* Fragmentum hoc edidit Dübnerus meus in *Revue de philologie* vol. II, p. 56. Num hæc e Tragodumenis fluxerint, in medio relinquo.

ASCLEPIADES CYPRIUS.

Περὶ Κύπρου καὶ Φοινίκης.

Vide Neanthis fr. 31. Hic fortasse idem est cum Asclepiade Alexandri rerum scriptore, quem cum Aristo Salaminio (fr. 3) jungit Arrianus Exp. Al.

ASCLEPIADES AREI FILIUS.

ΠΕΡΙ ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΦΑΛΗΡΕΩΣ.

Athenæus XIII, p. 567, D : Καὶ ἄλλα δὲ πολλὰ δράματα ἀπὸ ἑταιρῶν ἔσχε τὰς ἐπιγραφάς, Θάλαττα Διοκλέους, Φερεκράτους Κοριαννώ, Εὐνίκου ἢ Φιλυλλίου Ἄντεια, Μενάνδρου δὲ Θαῒς καὶ Φάνιον, Ἀλέξιδος Ὀπώρα, Εὐβούλου Κλεψύδρα. Οὕτω δ' ἐκλήθη αὕτη ἡ ἑταίρα, ἐπειδὴ πρὸς κλεψύδραν συνουσίαζεν, ἕως κενωθῇ, ὡς Ἀσκληπιάδης εἴρηκεν ὁ τοῦ Ἀρείου ἐν τῷ Περὶ Δημητρίου τοῦ Φαληρέως συγγράμματι, τὸ κύριον αὐτῆς ὄνομα φάσκων εἶναι Μητίχην.

ASCLEPIADES MENDESIUS.

Asclepiades Mendesius, primo post Christum sæculo, fortasse non multo post regnum Augusti, scripsit (fr. 2). Diodorum Asclepiadis theologumenis usum esse, uti Heynius suspicabatur (De fontt. Diod. p. 43), propter temporum rationes parum verisimile est. De alio Asclepiade, e Procli disciplina profecto, homine perquam inepto, qui multa tradidit de superstitionibus Ægyptiacis, vide Damascium in Exc. Photii cod. 242 coll. Suida v. Ἡραΐσκος.

ΑΙΓΥΠΤΙΑΚΑ [ΘΕΟΛΟΓΟΥΜΕΝΑ].

1.

Athen. III, p. 83, C : Τὰ δὲ τῶν Ἑσπερίδων λεγόμενα μῆλα ὅτι ἐς τοὺς Διὸς καὶ Ἥρας λεγομένους γάμους ἀνῆκεν ἡ γῆ, Ἀσκληπιάδης εἴρηκεν ἐν ἑξηκοστῷ (?) Αἰγυπτιακῶν.

2.

Suetonius Octav. c. 94 : *In Asclepiadis Mendetis* Θεολογουμένων *libris lego, Atiam, quum ad solemne Apollinis sacrum media nocte venisset, posita in templo lectica, dum ceteræ matronæ dormirent, obdormisse; draconem repente irrepsisse ad eam, paulloque post egressum; illamque expergefactam, quasi a concubitu mariti purificasse se, et statim in corpore ejus exstitisse maculam, veluti depicti draconis, nec potuisse unquam exigi; adeo ut mox publicis balneis perpetuo abstinuerit; Augustum natum mense decimo, et ob hoc Apollinis filium existimatum.*

Mendetis, corrupte, ut videtur, pro *Menditæ* (Μένδης, πόλις Αἰγύπτου. Ὁ πολίτης Μενδήσιος... καὶ Μενδίτης St. B.), ut jam Vossius suspicatus est, quamquam dubitans. Fortasse enim *Mendetis Theologumena* accipienda esse ait de opere, quo Mendesiorum deorum cultum exposuerit auctor. « Sane irreligiosa religio Mendetica pessime audiebat ob femineos cum hirco concubitus. Quare Asclepiades excusaturus illud hoc opere aiebat etiam summos Græci Romanique imperii heroes ex dracone conceptos esse, velut Alexandrum Magnum, Scipionem Africanum et Cæsarem Augustum. »

ASCLEPIADES ANAZARBENSIS.

Stephan. Byz. : Ἀναζαρβά, πόλις Κιλικίας, ἀφ' ἧς Ἀσκληπιάδης, ὁ πολλά τε καὶ ἄλλα καὶ Περὶ ποταμῶν γράψας βιβλίον.

ARISTODEMI
NYSAENSIS, ELEUS, THEBANUS.

Strabo XIV, p. 650 : Ἄνδρες δὲ γεγόνασιν ἔνδοξοι Νυσαεῖς Ἀπολλώνιός τε ὁ στωικὸς φιλόσοφος, τῶν Παναιτίου γνωρίμων ἄριστος, καὶ Μενεκράτης Ἀριστάρχου μαθητὴς, καὶ Ἀριστόδημος, ἐκείνου υἱὸς, οὗ διηκούσαμεν ἡμεῖς ἐσχατογήρω νέοι παντελῶς ἐν τῇ Νύσῃ, καὶ Σώστρατος δὲ ὁ ἀδελφὸς τοῦ Ἀριστοδήμου, καὶ ἄλλος Ἀριστόδημος ἀνέψιος αὐτοῦ, ὁ παιδεύσας Μάγνον τὸν Πομπήιον, ἀξιόλογοι γεγόνασι γραμματικοί· ὁ δὲ ἡμέτερος καὶ ἐρρητόρευε καὶ ἐν τῇ Ῥόδῳ καὶ ἐν τῇ πατρίδι δύο σχολὰς συνεῖχε, πρωὶ μὲν τὴν ῥητορικὴν, δείλης δὲ τὴν γραμματικὴν σχολήν· ἐν δὲ τῇ Ῥώμῃ τῶν Μάγνου παίδων ἐπιστατῶν ἠρκεῖτο τῇ γραμματικῇ σχολῇ. **Romæ Aristodemus, Strabonis magister, secundum Clintonis computum (F. H. tom. III, p. 554), docuit circa 60-40 a. Chr. Hunc rhetorem simul et grammaticum laudat schol. Hom. Il. IX, 453 :** Ἀριστόδημος ὁ Νυσαεὺς, ῥήτωρ τε ἀλλὰ (ἅμα Clint.) καὶ γραμματικὸς, ἐπενόησε γραφὴν τὴν τῇ οὐ πιθόμην οὐδὲ ἔρεξα.. Πρὸ δὲ αὐτοῦ Σωσιφάνης τὴν τοιαύτην εὗρε γραφήν. **Adde Vit. Hom. Iriart. p. 233 :** Ἀριστόδημος δὲ ὁ Νυσαεὺς Ῥωμαῖον αὐτὸν (τὸν Ὅμηρον) ἀποδείκνυσιν ἔκ τινων ἠθῶν Ῥωμαϊκῶν **(cf. Welck.** ***Cycl.*** **p. 196). De Aristodemi** Ῥητορικῇ κολακευτικῇ **cf. Walz. Rhett. Gr. VI, p. 25. Grammaticum Aristodemum una cum Aristocle obiter commemorat Varro De ling. lat. X, 74, p. 201 ed. Müller. Alterutrius Aristodemi fuerint** ***Historiæ***, **quarum primum librum laudat Parthenius.**

ΙΣΤΟΡΙΑΙ.

E LIBRO PRIMO.

1.

Parthenius Erot. c. 8 : Περὶ Ἡρίππης. (Ἱστορεῖ Ἀριστόδημος ὁ Νυσαεὺς ἐν α' Ἱστοριῶν περὶ τούτων, πλὴν ὅτι τὰ ὀνόματα ὑπαλλάττει, ἀντὶ Ἡρίππης καλῶν Γυθυμίαν, τὸν δὲ βάρβαρον Καυάραν.) — Ὅτε δὲ οἱ Γαλάται κατέδραμον τὴν Ἰωνίαν καὶ τὰς πόλεις ἐπόρθουν, ἐν Μιλήτῳ Θεσμοφορίων ὄντων καὶ συνηθροισμένων γυναικῶν ἐν τῷ ἱερῷ, ὃ βραχὺ τῆς πόλεως ἀπέχει, ἀποσπασθέν τι μέρος τοῦ βαρβαρικοῦ διῆλθεν εἰς τὴν Μιλησίαν καὶ ἐξαπιναίως ἐπιδραμὸν ἀνεῖλεν τὰς γυναῖκας. Ἔνθα δὴ τὰς μὲν ἐρρύσαντο, πολὺ ἀργύριόν τε καὶ χρυσίον ἀντιδόντες, τινὲς δὲ, τῶν βαρβάρων αὐταῖς οἰκειωθέντων, ἀπήχθησαν, ἐν δὲ αὐταῖς καὶ Ἡρίππη, γυνὴ Ξάνθου, ἀνδρὸς ἐν Μιλήτῳ πάνυ δοκίμου γένους τε τοῦ πρώτου, παιδίον ἀπολιποῦσα διετές. Ταύτης πολὺν πόθον ἔχων ὁ Ξάνθος ἐξηργυρίσατο μέρος τῶν ὑπαργμάτων, καὶ κατασκευασάμενος χρυσοῦς δισχιλίους τὸ μὲν πρῶτον εἰς Ἰταλίαν ἐπεραιώθη· ἐντεῦθεν δὲ ὑπὸ ἰδιοξένων τινῶν κομιζόμενος εἰς Μασσαλίαν ἀφικνεῖται, κἀκεῖθεν εἰς τὴν Κελτικήν· καὶ προσελθὼν τῇ οἰκίᾳ, ἔνθα αὐτοῦ συνῆν ἡ γυνὴ ἀνδρὶ τῶν μάλιστα παρὰ Κελτοῖς δοξαζομένων, ὑποδοχῆς ἐδεῖτο τυχεῖν. Τῶν δὲ διὰ φιλοξενίαν ἑτοίμως αὐτὸν ὑποδεξαμένων, εἰσελθὼν ὁρᾷ τὴν γυναῖκα, καὶ αὐτὸν ἐκείνη, τὼ χεῖρε ἀμφιβαλοῦσα, μάλα φιλοφρόνως προσηγάγετο. Παραχρῆμα δὲ τοῦ Κελτοῦ παραγενομένου, διεξῆλθεν αὐτῷ τήν τε ἄλην τἀνδρὸς ἡ Ἡρίππη, καὶ ὡς αὐτῆς ἕνεκα ἥκοι λύτρα καταθησόμενος· ὁ δὲ ἠγάσθη τῆς ψυχῆς τὸν Ξάνθον, καὶ αὐτίκα συνουσίαν ποιησάμενος τῶν μάλιστα προσηκόντων, ἐξένιζεν αὐτόν· παρατείνοντος δὲ τοῦ πότου, τὴν γυναῖκα συγκατακλίνει αὐτῷ καὶ δι' ἑρμηνέως ἐπυνθάνετο, πηλίκην οὐσίαν εἴη κεκτημένος τὴν σύμπασαν· τοῦ δὲ εἰς ἀριθμὸν χιλίων χρυσῶν φήσαντος, ὁ βάρβαρος εἰς τέσσαρα μέρη κατανέμειν αὐτὸν ἐκέλευε, καὶ τὰ μὲν τρία ὑπεξαιρεῖσθαι, αὐτῷ, γυναικὶ, παιδίῳ, τὸ δὲ τέταρτον ἀπολείπειν ἄποινα τῆς γυναι-

---

De Heripe. (Scribit Aristodemus Nysaensis in primo Historiarum eadem, præterquam quod nomina commutat, pro Heripe Gythymiam nominans, barbarum vero Cavaram vocat.) — Quum Galli incursionem facerent in Ioniam, civitatesque depopularentur, in Mileto forte Cereris sacra Thesmophoria celebrabantur, et mulieres congregatæ in templo erant, quod non longe aberat a civitate. Tum pars quædam barbarici agminis a reliquis avulsa in Milesium agrum pervenit, et improviso incursu facto mulieres rapuit. Quarum partem multo auro et argento dato Milesii liberarunt; nonnullæ autem a barbaris qui consuetudine eas sibi adjunxerant, abductæ sunt. In quarum numero Heripe quoque fuit, uxor Xanthi, hominis magnæ auctoritatis ac primi generis in Mileto, relicto domi puero bienni. Hujus igitur vehementi desiderio ardens Xanthus magnam bonorum suorum partem argento commutavit, ac comparatis aureis bis mille, primum in Italiam transiit, inde ab hospitibus quibusdam deductus, Massiliam pervenit, atque inde in regionem Celtarum. Quumque ad domum accessisset, in qua uxor ejus degebat cum viro apud Celtas reputatione maxima, ut hospitio exciperetur, rogabat. Illis autem prompte (quæ eorum hospitalitas est) eum excipientibus, ingressus domum vidit uxorem, atque illa eum vicissim ulnis amplexa, multa gratia prosecuta est. Mox vero ubi Celta

κός. Ὡς δὲ ἐς κοῖτόν ποτε ἀπετράπετο, πολλὰ κατεμέμφετο τὸν Ξάνθον ἡ γυνὴ διὰ τὸ μὴ ἔχοντα τοσοῦτο χρυσίον ὑποσχέσθαι τῷ βαρβάρῳ, κινδυνεύειν τε αὐτὸν, εἰ μὴ ἐμπεδώσειε τὴν ἐπαγγελίαν· τοῦ δὲ φήσαντος, ἐν ταῖς κρηπῖσι τῶν παίδων καὶ ἄλλους τινὰς χιλίους χρυσοῦς κεκρύφθαι διὰ τὸ μὴ ἐλπίζειν ἐπιεικῆ τινα βάρβαρον καταλήψεσθαι, δεήσειν δὲ πολλῶν λύτρων, ἡ γυνὴ τῇ ὑστεραίᾳ τῷ Κελτῷ καταμηνύει τὸ πλῆθος τοῦ χρυσοῦ καὶ παρεκελεύετο κτεῖναι τὸν Ξάνθον, φάσκουσα πολὺ μᾶλλον αἱρεῖσθαι αὐτὸν τῆς τε πατρίδος καὶ τοῦ παιδίου, τὸν μὲν γὰρ Ξάνθον παντάπασιν ἀποστυγεῖν. Τῷ δὲ ἄρα οὐ πρὸς ἡδονῆς ἦν τὰ λεχθέντα, ἐν νῷ δὲ εἶχεν αὐτὴν τίσασθαι. Ἐπειδὴ δὲ ὁ Ξάνθος ἐσπούδαζεν ἀπιέναι, μάλα φιλοφρόνως προύπεμπεν ὁ Κελτὸς, ἐπαγόμενος καὶ τὴν Ἡρίππην· ὡς δὲ ἐπὶ τοὺς ὅρους τῆς Κελτῶν χώρας ἀφίκετο, θυσίαν ὁ βάρβαρος ἔφη τελέσαι βούλεσθαι πρὶν αὐτοὺς ἀπ' ἀλλήλων χωρισθῆναι, καὶ κομισθέντος ἱερείου, τὴν Ἡρίππην ἐκέλευεν ἀντιλαβέσθαι· τῆς δὲ κατασχούσης, ὡς καὶ ἄλλοτε σύνηθες αὐτῇ, ἐπανατεινάμενος τὸ ξίφος καθικνεῖται καὶ τὴν κεφαλὴν αὐτῆς ἀφαιρεῖ, τῷ τε Ξάνθῳ παρεκελεύετο μὴ δυσφορεῖν, ἐξαγγείλας τὴν ἐπιβουλὴν αὐτῆς, ἐπέτρεπέ τε τὸ χρυσίον ἅπαν κομίζειν αὐτῷ.

Ἡρίππη] sic cod. Ἡρίπη Passov. Quæ forma verior sit, incertum. Καυάρας Galatarum rex est ap. Polyb. IV, 46, 3. VIII, 24. — δισχιλίους] spreta cod. lectione χιλίους, ex conj. Passovius et Westermannus, quum infra Xanthus confiteatur, attulisse se altera aureorum millia in calceis servorum.

Præter Nysaeum memorandi nobis sunt *Aristodemus Eleus* et *Aristodemus Thebanus*.

Aristodemi Elei meminit Eusebius in Chron. p. 141 ed. Mai. (et Cramer. Anecd. Paris. II, p. 141) et Syncellus p. 196 : Ἱστοροῦσι δὲ οἱ περὶ Ἀριστόδημον τὸν Ἠλεῖον ὡς ἀπὸ εἰκοστῆς καὶ ἑβδόμης Ὀλυμπιάδος ἤρξαντο οἱ ἀθληταὶ ἀναγράφεσθαι, ὅσοι δηλαδὴ νικηφόροι· πρὸ τοῦ γὰρ οὐδεὶς ἀνεγράφη, ἀμελησάντων τῶν προτέρων. Τῇ δὲ εἰκοστῇ ὀγδόῃ τὸ στάδιον νικῶν Κόροιβος Ἠλεῖος ἀνεγράφη πρῶτος, καὶ ἡ Ὀλυμπιὰς αὕτη πρώτη ἐτάχθη, ἀφ' ἧς Ἕλληνες ἀριθμοῦσι τοὺς χρόνους. Τὰ δὲ αὐτὰ τῷ Ἀριστοδήμῳ καὶ Πολύβιος ἱστορεῖ. Hæc aut ex Olympionicarum Ἀναγραφῇ aut ex iisdem commentariis petita, ad quos pertinent sequentia.

venes in concilio condemnatos pater iræ impatiens occisurus erat. Mox reducem Nicolaum Herodes de actis certiorem fecit, et de rebus faciendis consuluit. Ille vero regem hortatus est, ut juvenes in castello aliquo detineret, usque dum tempore doctus meliora decernere posset, eoque pacto caveret, ne ira abreptus immedicabile aliquid de necessariis statuisse videretur. Quod ubi comperit Antipater, Nicolaum suspectabat, et subornatos alios super aliis immittens, metum patri injiciebat, quasi jamjam perituro juvenum insidiis, quos exercitum universum et palatii ministros corrupisse dicebat, nisi quam celerrime de medio eos tolleret. Itaque Herodes, præ metu citius agens quam consultius, neque consilia amplius cum Nicolao communicans, noctu submisit qui juvenes interficerent. Ac illi quidem occubuerunt, Herodi autem cædes hæc omnium jam malorum exstitit initium : nam hujusque satis bene res ejus se habuerant.

Nicolaum igitur inimici loco Antipater habebat, quum ipsum fatricidam non in Judæa modo, sed in Syria etiam et in ulteriore regione vehementissimo odio omnes prosequerentur. Romam quoque fama facinoris pervenit, ibique nemo ullus non exsecrabatur hominem, qui tum fratres ipso longe meliores necasset, tum patrem induxisset ut abominando isto se piaculo pollueret, pristinæque benevolentiæ pudorem ipsis faceret. Quum vero prouti cœperat sic etiam pergens Antipater patrem quoque appeteret, quo citius ei in regno succederet, et jam venenum ex Ægypto emisset, idque unus ex sociis conjurationis detulisset : pater servos ejus in quæstionem dedit, qui totam rem aperuerunt, quomodo scilicet et amitam et fratres superstites et filios cæsorum de medio tollere instituisset, ut hæres regni nullus relinqueretur. Quid, quod etiam in Cæsaris familiam nefandum aliquod iisque quæ in suam gentem perpatravit gravius machinatus erat. Advenere igitur Syriæ præfectus (*Quintilius*) Varus ceterique procuratores, quos Herodes pater in concilium convocavit. In medium proferuntur venenum et testimonia servorum, qui tormentis subjecti fuerant, et literæ quas Roma Antipater miserat. Nicolao rex accusatoris partes detulit. Hic igitur accusabat, Antipater defensionem dicebat, judex sedebat Varus cum amicis. Con-

---

Ἧκτο δὲ καὶ πρότερον (antequam Alexandri filiam, Aristobuli regis neptidem, duceret) γυναῖκα δημότιν, Δορὶν ὄνομα, ἐκ τοῦ ἔθνους, ἐξ ἧς αὐτῷ πρεσβύτατος γίνεται παῖς Ἀντίπατρος. — 6. συνεδρίῳ] in Beryto urbe. V. Joseph. XVI, 11, 1. Mox de meo addidi vocem καὶ uncis inclusam. — 7. Postquam Beryti synedrium capitis pueros damnaverat, ἐκεῖθεν εὐθὺς Ἡρώδης ἧκεν ἄγων αὐτοὺς εἰς Τύρον, καὶ τοῦ γε Νικολάου πλεύσαντος ὡς αὐτὸν ἐκ τῆς Ῥώμης ἐπυνθάνετο, προδιηγησάμενος τὰ ἐν Βηρυτῷ, ἥντινα ἔχοιεν γνώμην περὶ τῶν παίδων αὐτοῦ καὶ οἱ ἐν τῇ Ῥώμῃ αὐτοῦ φίλοι. Κἀκεῖνος εἶπεν ὅτι « δοκεῖ μὲν ἀσεβῆ εἶναι τὰ ἐκείνοις περὶ σὲ ἐγνωσμένα, χρῆναι μέντοι αὐτοὺς καθείρξαντα δεσμώτας φυλάττειν. Καὶ εἰ μὲν ἑτέρως σοι δοκοίη, κολάζειν αὐτοὺς, μὴ φαίνοιο ὀργῇ τὸ πλέον ἢ γνώμῃ κεχρῆσθαι· εἰ δὲ τἀναντία, ἀπολύειν, μὴ ἀνεπανόρθωτον εἴη σοι τὸ ἀτύχημα. Τὰ αὐτὰ δὲ δοκεῖ καὶ ἐν Ῥώμῃ τοῖς πλείστοις τῶν σῶν φίλων. » Καὶ ὃς σιωπήσας ἐν πολλῇ ἐγένετο συννοίᾳ, κἀκεῖνον ἐκέλευσε συμπλεῖν αὐτῷ. (XVI, 11, 3). — * ἀνηκέστατόν codex. — 8. μεταδοὺς] μετὰ δὲ codex. Cf. Joseph. XVI, 27, 7 : Πᾶν ἐξῃρημένος τὸ δυνάμενον αὐτῷ ὑπόνοιαν ἀμείμονος λογισμοῦ παρασχεῖν, ἔσπευσεν ἤδη τέλος ἐπιθεῖναι τῇ προαιρέσει. — 9. Ἡρώδῃ] Ἡρώδης codex. — 10. προϋποῦσαν] fortasse scribæ negligentia, pro προϋπάρχουσαν. — 11. ἀνὴρ] ἀνὴρ codex. — 12. ἐξ Αἰγύπτου] opera Antiphili cujusdam. V. Joseph. A. J. XVII, 4, 2; B. J. I, 30, 5. 32, 6. — 13. τε] particula hæc abundat excerptoris, puto, culpa, qui in sequentibus aliquid omisit. — 14. μιαρόν τι] Quodnam fuerit istud μιαρόν, dicere non habeo. — 15. ἐκ Ῥώμης γράμματα] V. Joseph. XVII, 4, 3. — 16. Secundum Josephum XVII, 5, 4 primum

Ἀντίπατρος, ἔκρινεν δὲ Οὔαρος μετὰ τῶν φίλων. Καταδικάζεται δ' οὖν Ἀντίπατρος καὶ τὴν ἐπὶ θανάτῳ παραδίδοται (17). Νικόλαος δὲ καὶ τότε παρῄνει πέμπειν αὐτὸν ἐπὶ Καίσαρα, ἐπεὶ καὶ εἰς αὐτὸν ἠδίκησεν, καὶ ὅ τι ἂν ἐκεῖνος γνῷ, τοῦτο πράττειν. Ἔφθη δὲ τὰ παρὰ Καίσαρος γράμματα ἥκοντα καὶ τῷ πατρὶ κολάζειν αὐτὸν ἐπιτροπεύοντα (18). Καὶ ὁ μὲν ἐκολάσθη. Ἀπέκτεινε δὲ καὶ ὁ Καῖσαρ τὴν συγκακουργήσασαν αὐτῷ ἀπελευθέραν. Οὐδεὶς δὲ ἦν ὃς οὐχὶ Νικόλαον * κάλλιστα κατηγορήσαντα τοῦ πατραλοίου τε καὶ ἀδελφοκτόνου (19).

Μετὰ δὲ ταῦτα ὀλίγου χρόνου διελθόντος, τελευτᾷ καὶ ὁ βασιλεύς (20)· καὶ τὸ ἔθνος ἐπανίσταται τοῖς τέκνοις αὐτοῦ καὶ τοῖς Ἕλλησιν. Ἦσαν δὲ πλείους μυρίων. Γενομένης δὲ μάχης, νικᾷ τὸ Ἑλληνικόν· καὶ ὁ διάδοχος Ἀρχέλαος εἰς Ῥώμην πλέων ἕνεκα τῆς ὅλης ἀρχῆς, μετὰ τῶν ἄλλων ἀδελφῶν (21) παρακαλεῖ συμπλεῦσαι Νικόλαον, ἀναχωρεῖν ἤδη ὡς ἑαυτὸν ἐγνωκότα· καὶ γὰρ ἦν περὶ ξ' ἔτη (22). Συνέπλευσεν οὖν· καὶ εὗρεν πάντα κατηγόρων πλέα ἐπὶ τὸν Ἀρχέλαον. Χωρὶς μὲν γὰρ ὁ νεώτερος ἀδελφὸς τῆς βασιλείας ἀντεποιεῖτο, χωρὶς δ' οἱ συγγενεῖς ἅπαντες κατηγόρουν αὐτοῦ, οὐ τῷ νεωτέρῳ συναγωνιζόμενοι (23)· ἐπρεσβεύ-

demnatus Antipater traditur ducendus ad supplicium. Nicolaus vero etiam tunc regem hortabatur, ut filium ad Cæsarem ablegaret, siquidem in hunc quoque crimen commisisset, utque quod ille decerneret id faceret. Sed antevertit eum epistola a Cæsare allata, qua patri filium puniendi arbitrium est permissum. Ille igitur supplicio affectus pœnam dedit. Cæsar quoque libertam (*Acmen*), quæ conjurationis conscia operam suam Antipatro præstiterat, jussit occidi. Ceterum nemo tunc erat qui non *collaudasset* Nicolaum ob præclaram accusationem, quam in fratricidam patris quoque necem molitum instituisset.

Non ita multo post rex quoque diem obiit. Quo vita defuncto populus contra filios ejus atque Græcos consurgit. Numero supra decem erant millia. Commisso prœlio vincunt Græci. Post hæc Archelaus successor Romam navigaturus ut de toto regno contenderet, Nicolaum, qui quum jam sexagenarius fere esset, ad suos se recipere volebat, rogat ut cum reliquis *amicis* sibi socius sit itineris. Igitur una cum illo Romam navigavit. Omnia ibi plena reperit accusatorum Archelai. Nam seorsum frater junior sibi regnum vindicare studebat, seorsum item, neque fratri juniori opitulantes, cognati ejus omnes accusationem instituebant. Porro

---

ipse Herodes accusationem suscepit, deinde vero quum dolore oppressus persequi eam non posset, Nicolao mandavit, ut reliqua quibus crimen probaretur, exponeret. Istam Nicolai orationem vide ap. Joseph. XVI, c. 5, 5. — 17. τὴν ἐπὶ θανάτῳ παραδίδοται] dictum est ut apud Herodot. V, 72 : τοὺς μὲν ἄλλους κατέδησαν τὴν ἐπὶ θανάτῳ, et similia. Cf. Steph. Thes. v. θάνατος p. 249 A. — 18. ἐπιτροπεύοντα] ἐπίτροπον ὄντα codex. Vulgaris loquendi usus postularet ἐπιτρέποντα; sed illud scripsi, quod proxime ad literas codicis accedit. ἐπιτροπεύειν vero pro ἐπιτρέπειν usurpatur apud Isæum De Dicæog. her. § 31, ubi δίαιταν ἐπιτροπεύειν pro noto δίαιταν ἐπιτρέπειν. Quamquam alterum ejus usus exemplum non novi. Magis constat de ἐπιτρωπάω verbo pro ἐπιτρέπω posito. V. Steph. Thes. s. h. v. Ceterum quod rem attinet, aliter narrat Josephus (XVII, 5, 7. 7, 1). Scilicet Varus de pœna sumenda in synedrio certius quiddam non protulit. Herodes vero Antipatrum in vincula conjecit, et ad Cæsarem de probato filii scelere dedit litteras. Deinde nova criminis argumenta deteguntur. Tum Herodes filium pœnas daturum ad Cæsarem mittere voluit; mox mutavit consilium, metuens ne fuga reus elabatur. Denique quum advenissent literæ, quibus Cæsar pro lubitu puniendi potestatem faciebat, Archelaum, vel in carcere res novas molientem, occidi jussit. Idque factum est quinque diebus ante mortem Herodis. Secundum Nostrum Augustus sponte sua et antequam judicio de culpa Antipatri constaret, literas istas misisset. Josephi narratio verisimilior est. Ac mireris quomodo Josephus sic singula omnia et levissima quæque exponere ausus sit, si aliter prorsus de his tradidisset Nicolaus, qui oculatus testis rebus interfuerat, quemque hoc certe loco Josephus non poterat suspectare, quasi Herodis studio falsa tradidisset; imo quo magis ex Josephi narratione elucet vafra Antipatri nequitia, tanto aptior erat ad elevanda ea, quæ dolo circumventus in Alexandrum et Aristobulum pater commiserat. Verearis igitur ne excerptor narrationem Nicolai truncaverit. Sunt sane etiam in seqq. nonnulla, quibus Josephus cum nostris excerptis non prorsus concinit; sed levioris hæc momenti. — 19. Excidit verbum ἐπῄνεσε vel simile quid. — 20. Mortuus est Herodes anno 750 a. u.; 4 a. C. mense Martio, paucis diebus post lunæ eclipsin (Joseph. XVII, 6, 4), quæ accidit Martii die decimo tertio. V. Freret *Éclaircissement sur l'année et le temps précis de la mort d'Hérode le grand* in *Mém. de l'Acad.* tom. XXI, p. 278. Ideler. *Handb. d. mathem. Chronol.* II, p. 389 sqq.; Clinton. F. H. tom. III, p. 254. — De Judæorum seditione, in qua ter mille viri ab Archelai militibus prope templum inter festi solennitatem interfecti sunt, vide Joseph. XVII, 11, 1 sqq. — 21. μετὰ τῶν ἄλλων ἀδελφῶν] Hæc recte habere non possunt. Duo superstites erant fratres Archelai, Antipas et Philippus. Horum alter, Antipas, Romam profectus est, ut de regni successione contra Archelaum contenderet; unde sponte intelligitur non eadem nave una cum fratre, sed seorsum suis stipatum amicis iter ingressum esse, uti testatur Josephus. Philippum vero in Judæa Archelaus reliquit ut regiam tueretur. Verba Josephi hæc sunt A. J. XVII, 9, 3 : Ἀρχέλαος δ' ἐπὶ θαλάσσης κατῄει μετὰ τῆς μητρὸς Νικόλαον καὶ Πτολεμαῖον (Herodis ministrum) καὶ πολλοὺς τῶν φίλων ἐπαγόμενος, Φιλίππῳ τ' ἀδελφῷ τὰ πάντα ἐφεὶς καθίστασθαι τοῦ οἴκου καὶ τῆς ἀρχῆς. Συνεξῄει δ' αὐτῷ καὶ Σαλμώνη Ἡρώδου ἀδελφὴ τὴν γενεὰν ἀγομένη τὴν αὐτῆς, πολλοὶ δὲ τῶν συγγενῶν, λόγῳ μὲν ὡς συναγωνισόμενοι τῷ Ἀρχελάῳ ἐπὶ κτήσει τῆς βασιλείας κτλ. Eadem B. J. II, 2 : Συνεξῄει δὲ ἅμα τοῖς τέκνοις Σαλώμη καὶ οἱ τοῦ βασιλέως (Herodis) ἀδελφοί τε καὶ γαμβροί, τὸ μὲν δοκεῖν, συναγωνιούμενοι περὶ τῆς διαδοχῆς Ἀρχελάῳ, τὸ δ' ἀληθὲς, κατηγορήσοντες περὶ τῶν κατὰ τὸ ἱερὸν παρανομηθέντων. Licet igitur n. l. refingere : μετὰ τῶν τοῦ βασιλέως ἀδελφῶν. Sed facilius, opinor, aptiusque reponas : μ. τ. ἄλλων φίλων. Fortasse tu majus ulcus latere putaveris, adeo ut codicis interpunctio post v. ἀρχῆς tollenda, deinde μετὰ τοῦ ἄλλου τῶν ἀδελφῶν scribendum sit, postremo participium exciderit, sensusque sit : *de toto regno cum fratre disceptaturus*. — 22. Igitur natus est Nicolaus circa an. 64 a. C., et Herode, qui septuagenarius (ἐτῶν σχεδὸν ἑβδομήκοντα Bell. Jud. I, 38, 1) diem obiit, decem fere annis junior erat. — 23. οὐ τῷ νεωτέρῳ συναγωνιζόμενοι] Aliter Josephus XVII, 9, 4 : Ἐπεὶ δ' εἰς τὴν Ῥώμην ἀφίκετο

σαντο δὲ καὶ αἱ ὑφ' Ἡρώδῃ Ἑλληνίδες πόλεις (24) αἰτούμεναι τὴν ἐλευθερίαν παρὰ Καίσαρος· καὶ ὅλον δὲ τὸ Ἰουδαίων ἔθνος (24*) ἐπεκάλουν φόνον τρισχιλίων ἀνδρῶν τῶν ἐν τῇ μάχῃ πεσόντων· καὶ ἠξίουν (25) μάλιστα μὲν ὑπὸ Καίσαρι εἶναι, εἰ δὲ μή, ὑπό γε οὖν τῷ νεωτέρῳ ἀδελφῷ. Τοσούτων δὲ δικῶν ἐπηγγελμένων, ἀγωνισάμενος ὑπὲρ Ἀρχελάου Νικόλαος τὸν πρὸς τοὺς συγγενεῖς ἀγῶνα πρῶτος κατώρθωσεν (26), ἔπειτα δὲ τὸν πρὸς τοὺς ὑπηκόους Ἰουδαίους· τὸν μέντοι πρὸς τὰς Ἑλληνίδας πόλεις οὐχ ἠξίου, ἀλλὰ καὶ Ἀρχελάῳ παρῄνει μὴ (27) ἐναντιοῦσθαι αὐταῖς ἐλευθερίας γλιχομέναις· ἀρκεῖν γὰρ αὐτῷ τὴν ἄλλην δυναστείαν. Ὁμοίως δ' οὐδὲ πρὸς τὸν ἀδελφὸν αὐτοῦ ἠξίου ἀγωνίζεσθαι (28) διὰ τὴν πρὸς τὸν κοινὸν αὐτῶν πατέρα φιλίαν. Διῄτησε δὲ Καῖσαρ (29) τὸ ὅλον, ἑκάστῳ τῶν παίδων μέρος ἀποδοὺς τῆς ἀρχῆς, τὴν δ' ἡμίσειαν μοῖραν Ἀρχελάῳ. Καὶ Νικόλαον μὲν ἐτίμησεν ὁ Καῖσαρ, Ἀρχέλαον δὲ ἐθνάρχην κατέστησεν· ὑπέσχετο δέ, εἰ αὐτὸν (30) ἄξιον παρασκευάσειε, καὶ βασιλέα ταχὺ ποιήσειν· τοὺς δὲ μετ' αὐτὸν ἀδελφούς, Φίλιππον καὶ Ἀντίπαν (31), τετράρχας ἀπέδειξεν.

urbes Græcienses, quæ sub Herodis potestate fuerant, legatos miserunt, qui libertatem a Cæsare peterent. Denique Judæorum populus universus accusabat eum ob cædem ter mille virorum qui in prœlio illo occubuissent, rogabantque ut sub Cæsaris, sin minus, sub junioris certe fratris potestate esse concederetur. Tot causis indictis, Nicolaus pro Archelao verba faciens primum contra cognatos, deinde contra subditos Judæos rem egit feliciter, verum contra urbes Græcienses dicere inopportunum duxit, imo suasit Archelao, ut libertatem affectantibus non refragaretur, quoniam reliquum regnum sufficeret. Simili modo etiam contra fratrem Archelai causam suscipere recusabat, quum communi utriusque patri amicitia junctus fuisset. Cæsar vero totam litem arbitrio suo ita diremit, ut singulis filiis partem regni, Archelao autem dimidiam tribueret; Nicolaum honoribus affecit; Archelaum ethnarchen constituit, pollicitus, si dignam rege virtutem præstaret, fore ut mox etiam regii nominis honore ornaretur; fratres juniores, Philippum et Antipam, tetrarchas designavit.

6.

Exc. De virt. : Ὅτι πάνθ' ὅσα παρήγγελλεν, ἐπὶ τῶν ἔργων διεξῄει αὐτῶν, καὶ ἀπεδείκνυτο χρημάτων μὲν ὢν κρείττων, θᾶττον (1) δὲ λαμπρότατα ἐφιλοτιμήθη, οὐθέν τε ὧν μὴ δεῖ ἐφάνη χρημάτων ἕνεκα πεποιηκώς. Ἡδονῆς δὲ (ὃ τάχα τῳ θαυμαστὸν ἂν εἴη) ἡστινοσοῦν (2) κατεφρόνει, καὶ ταῦτα βασιλεῦσί τε καὶ ἡγεμόσι συνὼν πολλάκις· ἦν γὰρ αὐστηρὸς φύσει, καὶ ἐναντίος πρὸς αὐτήν, καὶ ἀνδραποδώδεις νομίζων τοὺς τῶν ἀπολαύσεων τῶν τοιούτων ἥττους· ἐπαινετής τε αὐταρκείας ἀεὶ καὶ ἁπλότητος (3), καίτοι γ' ἐν οἷς δεῖ

Neque vero a sermonibus præceptisque vita dissentiebat, facileque apparebat quo animo pecunias contemneret, quanta potius liberalitate impenderet, nunquam pecuniæ causa turpe quid sibi permittens. Voluptates quod attinet, mirum forsitan alicui videri possit, si quas vilipenderit, præsertim cum regibus principibusque viris versatus. Verum enimvero natura erat austerior et voluptatem omnem aversatus, ut qui ejusmodi delectationibus obnoxios pro mancipiis duceret, frugalitatem vero vitæque simplicitatem summopere commendaret; verumtamen ubi magnificentia

(Ἀντίπας), πάντων τῶν συγγενῶν ἀπόστασις ἦν πρὸς αὐτόν, οὐκ εὐνοίᾳ τῇ ἐκείνων, μίσει δὲ τῷ πρὸς Ἀρχέλαον, μάλιστα μὲν ἐπιθυμοῦντες ἐλευθερίας καὶ ὑπὸ Ῥωμαίων στρατηγῷ τετάχθαι· εἰ δ' ἄρα τι ἀντισταίη, λυσιτελέστερον Ἀρχελάου τὸν Ἀντίπαν λογιζόμενοι, συνέπρασσον τὴν βασιλείαν. Ceterum hæc conciliare cum nostris potuerint. Initio sane seorsum causam suam cognati agere voluerint, mox perspexerint, nihil se contra Archelaum profecturos nisi fratris adversarii partibus se adjunxerint. — 24. Ἑλληνίδες πόλεις κτλ. De hac legatione apud Josephum nihil legitur. Verum componenda cum nostris sunt ea quæ exstant apud Josephum A. J. XVII, 9, 4, ubi de Herodis regno inter filios ejus distributo verba faciens dicit hæc : Καὶ ἦσαν πόλεις αἳ Ἀρχελάῳ ὑπετέλουν, Στράτωνός τε πύργος καὶ Σεβαστὴ καὶ Ἴοπη· Γάζα γὰρ καὶ Γάδαρα καὶ Ἵππος Ἑλληνίδες εἰσὶ πόλεις, ἃς ἀπορρήξας (Καῖσαρ) αὐτοῦ τῆς διοικήσεως Συρίας προσθήκην ποιεῖται. — 24*. Secundum Josephum legati Judæorum nondum erant Romæ, quo tempore Nicolaus eo venit, sed aliquanto post, quum Nicolaus Achelaum contra cognatorum accusationem jam defenderat, advenerunt (XVII, 11, 3). — 25. ἠξίουν] ἀξιοῦν codex. — 26. Nicolai contra cognatos orationem vide ap. Joseph. A. J. XVII, 9, 6, coll. B. J. II, 2, 6; contra Judæos quæ dixerit v. XVII, 11, 3. — 27. μὴ] μὲν codex; mox pro ἐλευθερίας codex ἐλευθέραις. — 28. Hæc non prorsus quadrant cum oratione quam Josephus c. 9, 6 Nicolao tribuit, in qua pluribus exponit testamentum, quo Archelaus regis successor designetur, a patre factum esse mentis bene compote, et posteriores tabulas potiores esse prioribus. Ceterum hæc narrationis diversitas sequitur ex altera illa, qua cognati Herodis adjunxerunt se Antipæ partibus, dum in nostro fragmento seorsum causam suam egisse dicuntur. Verum res ita componi potest, ut dicas initio Nicolaum contra Antipam causam agere noluisse; verum quum contra cognatos defendere Archelaum promisisset, hi vero Romæ se junxissent Antipæ, ejusque rem in accusatione tuerentur; Nicolaum etiam hæc in oratione contra cognatos habita tetigisse. — 29. Καῖσαρ] Καίσαρ καὶ τὸ codex. Cf. Joseph. XVII, 11, 4 : Καῖσαρ δὲ ἀκούσας διαλύει τὸ συνέδριον, ὀλίγων δὲ ἡμερῶν ὕστερον Ἀρχέλαον βασιλέα μὲν οὐκ ἀποφαίνεται, τοῦ δὲ ἡμίσεως τῆς χώρας ἥπερ Ἡρώδῃ ὑπετέλει ἐθνάρχην καθίσταται, τιμήσειν ἀξιώματι βασιλείας ὑπισχνούμενος εἴπερ τὴν εἰς αὐτὴν ἀρετὴν προσφέροιτο. Τὴν δὲ ἑτέραν ἡμίσειαν νείμας διχῇ δυσὶν Ἡρώδου παισὶν ἑτέροις παρεδίδου, Φιλίππῳ καὶ Ἀντίπᾳ τῷ πρὸς Ἀρχέλαον τὸν ἀδελφὸν ἀμφισβητήσαντι περὶ τῆς ὅλης ἀρχῆς. — 30. αὑτὸν codex spiritus sæpissime confundens. Mox παρασκευάσειεν codex, expunctis literis εν. — 31. Ἀντίπαν] ἀντίπατρον cod.

6. *Cod. Tur. fol.* 224, 9 *vso*—225, 2 *vso*. — θᾶττον δὲ κτλ.] « Ὁ μὲν νοῦς πρόδηλος, ἡ δὲ λέξις οὐκ ἔρρωται, διὰ τοὺς γράψαντας ἴσως. » *Coray*. πάντων δὲ proponit Orelli. Θᾶττον, *potius*, satis defenditur loco Isæi De Astyphili hæred. § 16. — 2. Ἡδονῆς... κατεφρόνει] *Coray*.; codex : ἡδ. δὲ τάχα το (sic) θαυμαστὸν ἢ εἴτινος οὖν κατεφρόνει. — 3. ἁπλότητος]

λαμπρύνεσθαι μεγαλοπρεπὴς, οὐ γλίσχρος, ἦν, ὡς μὴ δόξαν ἀνελευθερίας λάβοι. Πρός γε μὴν πόνους καὶ καρτερίαν, εἴ ποτε δέοι, πάντων ἀοκνότατος, οὐκ ἐν νεότητι μόνον, ἀλλὰ καὶ ἐν γήρᾳ, καὶ ὅπη κίνδυνος καταλάβοι ἐκ πολεμίων ἢ ληστῶν, ἢ διὰ νόσον, ἢ χειμῶνα κατὰ θάλατταν, ἢ ἄλλως πως, οὕτω δὴ σφόδρα εὔψυχος ἦν, ὥστε καὶ τοῖς ἄλλοις ἀεὶ θαρρεῖν παρεῖχεν, ὁπόσοι κοινωνοὶ ἦσαν αὐτῷ τοῦ κινδύνου. Πρός γε μὴν τὸ δίκαιον ἀκλινὴς οὕτω καὶ ἀθώπευτος, ὥστε καὶ ἀπειλὰς ἐνεγκεῖν τινῶν ἡγεμόνων ποτὲ δικάζων ὑπὲρ τοῦ μὴ τοῦτο παραβῆναι. Πολλοὶ (4) γὰρ αὐτὸν ᾑροῦντο καὶ δικαστὴν καὶ διαιτητὴν, φανερᾶς εἰς πάντας αὐτοῦ τῆς δικαιοσύνης γενομένης, ἔν τε συμβολαίοις καὶ (5) ταῖς πρὸς τοὺς ἰδιώτας κοινωνίαις οὐδεὶς πώποτε αὐτὸν ἐμέμψατο, οὐδ' εἴ τις πονηρὸς εἴη, διὰ τὴν ἐπιείκειαν· οὐδὲ γὰρ μαρτύρων ἔδει πρὸς αὐτὸν ἢ συμβολαίων, ἀλλ' ὅ τι ἂν ὁμολογήσειε (6), βέβαιον ἦν. Κοσμιότητα δὲ (7) καὶ σωφροσύνην οὐδεὶς αὐχήσει πλείω κατὰ τὸ ἦθος, ἔν τε ἀγοραῖς καὶ ὁδοῖς **

[Λείπουσι δύο σελίδες.]

** καὶ διατριβῶν παρακολουθεῖν εὐδοξίαν τε καὶ τιμὴν τῷ φιλοσόφῳ καὶ ἄλλας χάριτας καὶ ὠφελείας παρὰ τῶν δυνατῶν, οὐκ εἶναι δὲ (8) πόνου ἀλλότριον. Τίνι γὰρ ἂν μᾶλλον ἁρμόττοι ταῦτα καρποῦσθαι ἀπὸ τοῦ βελτίστου καὶ σπουδαιοτάτου γιγνόμενα ἢ τῷ τοιούτῳ; οὐ γὰρ δὴ τῷ φαύλῳ καὶ οὐδενὸς ἀξίῳ. Χρήσεται γὰρ αὐτοῖς ἀφύρτως τε καὶ ἐμμελῶς, καθὼς Νικόλαος τῷ γνώριμος εἶναι καὶ εὔπορος εἰς οὐδὲν ἄτοπον (9) ἐχρήσατο, ἀλλ' εἰς μετριότητά τε καὶ δημοτικὴν φιλανθρωπίαν· πόλεως μὲν οὔποτ' ἀφ' ἑτέρας οἰόμενος δεῖν, ἀλλ' ἀπὸ τῆς αὑτοῦ προσαγορεύεσθαι· κατεγέλα δὲ καὶ τῶν καθ' αὑτὸν σοφιστῶν, οἳ μεγάλοις τιμήμασιν ἐωνοῦντο Ἀθηναῖοι ἢ Ῥόδιοι καλεῖσθαι, βαρυνόμενοι τὴν ἀδοξίαν τῶν πατρίδων (ἔνιοι δὲ καὶ συνέγραψαν περὶ τοῦ μὴ εἶναι ἀφ' ἧς πόλεως ἦσαν, ἀλλ' ἀπό τινος τῶν δι' ὀνόματος Ἑλληνίδων), ὁμοίους τε ἀπέφαινε τοῖς τοὺς ἑαυτῶν γονέας βαρυνομένοις.

Ὅτι ᾐτιῶντό τινες τὸν Νικόλαον πλεῖστα χρήματα παρὰ φίλων λαβόντα, οὐ σώζειν (10) αὐτὰ, καὶ ὅτι τὰς πλείους διατριβὰς ἐποιεῖτο μετὰ τῶν δημοτικῶν, ἐκκλίνων τοὺς μεγάλους καὶ ὑπερπλούτους τῶν ἐν Ῥώμῃ, [εἰς ὧν] (11) οὐδαμῶς ᾔει, πολλῶν καὶ ἐνδόξων αὐτὸν βιαζομένων, ἀλλὰ δι' ὅλης ἡμέρας ἐν ταῖς φιλοσόφοις θεωρίαις ἦν. Ὁ δὲ ἀπελογεῖτο περὶ μὲν τῶν χρημάτων, ὅτι ἡ κτῆσις, ὥσπερ λύρας ἢ αὐλῶν, οὐδενὸς ἂν (12) εἴη ἀξία, ἡ χρῆσις δὲ τὸ κυριώτατόν ἐστιν, ἣν εἰ μέν τις

erat opus, liberalis erat maximopere, neque ullatenus parcus, ne sordidi ac illiberalis animi notam subiret; labore autem et assiduitate si qua opus erat, omnium fuit impigerrimus, idque non solum in juventutis flore, sed etiam in senectute; et si quando periculum ingrueret sive ab hostibus sive a latronibus, sive morbi vis aut tempestas in mari, aut aliud quod discrimen incideret, tanta erat fortitudine animique præsentia, ut et alios in eodem periculo versantes confirmaret. Idem in justitia colenda constantissimus neque adulatione corrumpi, neque, quum judex esset, minis quorundam magistratuum potuit terreri, ut a justitiæ norma declinaret. Itaque quum omnibus comperta esset ejus æquitas, multi illum et judicem et arbitrum delegerunt. In rebus contrahendis aliisque hujuscemodi civilibus negotiis nemo unquam quantumvis improbus homo de illo, omnium scilicet æquissimo viro, conquestus est; neque enim adversus eum testibus opus erat aut syngrapha, sed quidquid voce tantum promisisset, id firmum ratumque erat. Ceterum modestia ac morum gravitas tanta nunquam in ullo homine fuit, in foris viisque publicis **

[*Excidit folium.*]

** ex disputationibus famam ac gloriam aliaque grata et commoda philosopho obtingere a potentibus, haud vero rem esse laboris expertem. Enimvero quem his bonis frui, honestissimis artibus assiduoque labore comparatis, æquius veriusque sit, quam ejusmodi virum? improbum certe et nullius pretii hominem nullo modo. Ille enim iis recte et sapienter utitur; quemadmodum Nicolaus quoque opibus suis et gratia non ad malas artes, sed ad modestiam, comitatem affabilitatemque usus est; qui nunquam alius civitatis quam patriæ suæ civem se appellare voluit, suique temporis sophistas deridere solebat, qui obscuritatem oppidorum suorum gravati titulum civis Atheniensis aut Rhodii ingenti pretio emebant, nonnullique adeo libros scripsere, quibus probarent, haudquaquam se ex illa civitate esse, ex qua revera erant oriundi, sed ex alia clarioris nominis urbe Græca: eos vero similes aiebat esse illorum, quos parentum suorum puderet.

Erant qui Nicolao objicerent quod, quum magnam pecuniæ vim ab amicis dono accepisset, eam tamen minime custodiret, quodque plebeiorum maxime hominum convictu frueretur, primarios opulentissimosque urbis Romæ viros declinans, neque unquam, tametsi a multis et maximæ dignitatis viris summopere fuisset rogatus, domos eorum adiret, philosophiæ studio totos dies vacans. Verum Nicolaus sic respondere iis solebat, quod quidem pecuniam attinet, ejus possessionem solam haud secus ac lyræ vel tibiarum nullius pretii esse, caput rei in usu consistere; qua

Vales., ποιότητος codex. In seqq. pro ληστῶν in cod. est, λιστῶν. — 4. πολλοὶ] πολλὺ codex. — 5. καὶ] Coray., codex ἢ, litera siglo vocis καὶ simillima. — 6. ὁμολογήσειε] Coray., ὁμολογήσῃ codex. — 7. κοσμ. δὲ] Vales.; κοσμιότητά τε codex. — 8. εἶναι δὲ π. ἀλ.] Bremi.; δ. οὐκ εἶναι, πόνου δ' ἀλλ. codex. Locus mutilus. — 9. οὐδὲν ἄτοπον] Valesius, οὐδένα τρόπον codex. Coray. proponit: εἰς οὐδὲν πρότερον ἀλλ' ἢ εἰς. Mox ad verba: τῶν καθ' αὑτὸν σοφιστῶν Valesius notat hæc: « Posidonium Stoicum intelligit, qui quum esset oriundus Apamea Syriæ, postea Rhodium se vocavit, ut testis est Athenæus et Strabo. » Cogitari etiam de aliis possit, v. c. de æquali Nicolai Theodoro Gadareno, *qui se dici maluit Rhodium* (Quinct. III, 1, 17). — 10. σώζειν] Val., σώζοι cod. — 11. εἰς ὧν] sic supplevit Coray.; ὧν εἰς τὰς οἰκίας dederat Valesius. — 12. ἂν] vocem a Valesio omissam e codice protuli. In anteced. pro λύρας in cod. est αὔρας. —

εἰς ἄσωτον ἢ ἀμετάδοτον ἢ ὅλως ἄφρονα ἢ φαῦλον καταδαπανᾷ [βίον] (13), ἐπίμεμπτος ἂν εἴη, εἰ δέ τις εἰς σώφρονά τε καὶ κόσμιον καὶ κοινωνικὸν καὶ φιλάνθρωπον, δεχόμενος καὶ ὅτε δεῖ ταῦτα καὶ παρ' ὧν δεῖ, καὶ προϊέμενος καὶ τοῖς τέκνοις ἀπολείπων (14), ἀμείνων ἂν εἴη. Ὅρον δὲ ἕνα ἔφη ποιεῖσθαι· τὸν ἄνδρα τὸν ἀγαθὸν τοῖς ἐπιεικεστέροις ἐθέλειν ἀεὶ συνεῖναι, τοιούτους δ' ἐν τοῖς δημοτικοῖς ὁρᾶν πλείους ἢ ἐν τοῖς βαρυπλούτοις φυομένους (15). Πολλῆς γὰρ ἀγαθῆς τύχης δεῖται πλοῦτος, ὥστε εἰς ἐπιείκειαν φέρειν· ἐκτρέπει γὰρ τοὺς πλείους εἰς φιληδονίαν τε καὶ ὑπερηφανίαν.

Ὅτι τοὺς ἑαυτοῦ οἰκέτας ἐκπαιδεύσας, καὶ ἐκ τοῦ συζῆν ἀεὶ πολλὴν ὁμοήθειαν αὐτοῖς (16) ἐμποιήσας, ἐχρῆτο οὐδὲν χείροσιν ἢ φίλοις.

si quis ad intemperantiam aut avaritiam aliasve malas artes abutatur, hunc merito esse vituperandum; qui vero ad modestiam, honestatem liberalitatemque ea utatur, qui opportune oblatam a quibus oportet accipiat, et tum ipse largiatur benigne, tum liberis suis consulat, hunc demum optimum virum esse. In consuetudine porro ac familiaritate unam hanc se regulam tenere : virum bonum cum hominibus bene moratis maxime versari, cujusmodi plures in plebe quam inter prædivites illos repererit. Ut enim opulentus æquitatem ac modestiam colat, præcipuo quodam deorum auxilio opus esse, quum divitiæ semper fere voluptatibus aut superbia animos hominum corrumpant.

Nicolaus maximam in erudiendis famulis suis curam posuit, quos ex quotidiana consuetudine ad similitudinem morum vitæque formatos nihilo deteriores amicis expertus est.

ΙΣΤΟΡΙΑΙ.

[ΒΙΒΛ. Α', Β'.]

7.

Exc. De ins. : Ὅτι μετὰ τὸν Ἰνδικὸν πόλεμον Σεμίραμις ἐπεὶ ὁδοιποροῦσα ἐγένετο ἐν Μήδοις, ἀναβᾶσα ἐπί τι ὑψηλὸν ὄρος, πάντοθεν πλὴν καθ' ἓν μέρος περιερρωγὸς καὶ ἄβατον λισσάδι καὶ ἀποτόμῳ πέτρᾳ, ἐθεᾶτο τὴν στρατιὰν (1) ἀπό τινος ἐξέδρας, ἣν παραχρῆμα ᾠκοδομήσατο. Ἐνταῦθα δὲ στρατοπεδευσαμένη Σατιβάρας ὁ εὐνοῦχος ἐπεβούλευσε μετὰ τῶν Ὄννεω (2) παίδων, αὐτὸς τὸ πᾶν συστήσας, καὶ πρὸς τοὺς νεανίσκους λέγων, ὅτι κίνδυνος αὐτοῖς εἴη ἐκ Νινύου βασιλεύσαντος ἀποθανεῖσθαι· δεῖν οὖν ὑποφθάσαντας ἐκεῖνόν τε καὶ τὴν μητέρα κτείναντας βασιλεύειν. Καὶ ἄλλως δὲ αὐτοῖς ἔφη αἴσχιστον εἶναι περιορᾶν ἀκόλαστον μητέρα (3) ἐν τοιᾷδε ἡλικίᾳ ὁσήμεραι λιχνευομέ-

HISTORIÆ.

[LIB. I ET II.]

7.

Finito bello Indico, Semiramis per Medorum regionem iter faciens in montem quendam ascendit peraltum, uno latere excepto undique præruptum et absciso lævique saxo inaccessum : unde exercitum prospiciebat ex exedra, quam confestim exstruendam curaverat. Ibi castra metatæ Satibaras eunuchus insidias struxit cum Onnis filiis; quamquam ipse totius machinationis erat auctor. Dicebat enim juvenibus periculum fore, ne, si Ninyas regno potiretur, ab eo interficerentur. Hoc igitur prævertentes ipsos debere, Ninya ejusque matre de medio sublatis, regnum capessere. Præterea magno, aiebat, iis dedecori esse, si paterentur matrem libidinosam, quum tam provectæ jam ætatis esset, quotidie inter obvios quosque inhiare in amplexus eorum,

13. βίον] suppl. Valesius; in cod. vox deest. — 14. ἀπολείπων] Coray., ἀπολιπὼν cod. — 15. φυομένους] Vales. et Coray. φυομένοις cod. — 16. αὐτοῖς] αὐτοὺς cod.

7. *Codex Escurial. fol.* 75, 21 *v.* — 75, 19 *vso.* Quæ hoc fragmento narrantur aliunde non nota sunt. Diodorus post narratum bellum Indicum reliquam Semiramidis historiam paucis verbis comprehendit (II, 20, 1): Μετὰ δέ τινα χρόνον ὑπὸ Νινύου τοῦ υἱοῦ δι' εὐνούχου τινὸς ἐπιβουλευθεῖσα καὶ τὸ παρ' Ἄμμωνος λόγιον (v. II, 14, 3) ἀνανεωσαμένη, τὸν ἐπιβουλεύσαντα κακὸν οὐδὲν εἰργάσατο, τοὐναντίον δὲ τὴν βασιλείαν αὐτῷ παραδοῦσα καὶ τοῖς ὑπάρχοις ἀκούειν αὐτοῦ προστάξασα ταχέως ἠφάνισεν ἑαυτήν, ὡς εἰς θεοὺς κατὰ τὸν χρησμὸν μεταστησαμένη. Cf. Ctesiæ fr. 15, p. 33. Ceterum cum nostris comparanda sunt quæ ex Assyriacis Cephalionis narrat Moses Chorenensis I, 16, p. 47, scilicet Semiramidem filios suos excepto Ninya (i. e, ut cum Nicolao loquar, filios quos Oanni pepererat) interfecisse, quod matrem ob vitam libidinosam criminati essent. Porro necem filiorum post bellum Indicum apud Cephalionem narratam esse colligis ex Syncell. p. 147, ubi : Εἶτ' ἐπάγει (sc. Κεφαλίων) γένεσιν Σεμιράμεως... στρατείην τε αὐτῆς κατὰ τῶν Ἰνδῶν καὶ ἧτταν, καὶ ὅτι τοὺς ἰδίους ἀνεῖλεν παῖδας, καὶ ὑπὸ Νινύου.. ἀνῃρέθη. Auctores vero in Assyriacis Cephalio se secutum esse dicit (ap. Sync. l. l) Κτησίαν, Ζήνωνα, Ἡρόδοτον. Quorum Zeno ignotus plane homo est; neque dubito reponendum esse Δείνωνα, qui Assyriacôn scriptor post Ctesiam longe notissimus est. E Ctesia aut ex Dinone etiam Nicolaus hausisse putandus est. Illud verisimilius est, quandoquidem sæpius Ctesiam et Nicolaum componere licet. Ac omnino quæ apud Nicolaum de rebus Assyriorum Medorumque leguntur, eundem plane narrationis colorem habent, quem ea produnt, quæ Plutarchus in Vit. Artoxerxis e Ctesia exscripsit. — 1. ἐθεᾶτο τὴν στρατιὰν] Cf. Diodor. I, 13, 3, ubi Semiramis post res Babyloniæ constitutas in Media paradisos condidisse narratur circa Bagistanum rupem aliamque petram, καθ' ἣν οἰκοδομήματα πολυτελῆ πρὸς τρυφὴν ἐποίησεν, ἐξ ὧν τὰ κατὰ τὸν παράδεισον ἀπεθεώρει φυτουργεῖα καὶ πᾶσαν τὴν στρατιὰν παρεμβεβληκυῖαν ἐν τῷ πεδίῳ. Idem c. 14, 2 : Εἰώθει δὲ καὶ κατὰ τὰς στρατοπεδείας μικρὰ χώματα κατασκευάζειν, ἐφ' ὧν καθιστᾶσα τὴν ἰδίαν σκηνὴν ἅπασαν κατώπτευε τὴν παρεμβολήν. — 2. Ὄννεω] ὄννεων codex. Forma ionica Ctesiam, non vero Dinonem, auctorem prodit. Filios e Semiramide Onnes susceperat duos, Ὑαπάτην et Ὑδάσπην, teste Ctesia ap. Diodor. II, 6, 1. Mox cod. ἀποφθάσαντας. — 3. ἀκόλαστον μητέρα] Cf. Diodor. II,

νην ἐφ' ὧν ἐτύγχανεν ἀνθρώπων τούς γε νεανίας (4) ὄντας. Πυνθανομένων δ' ἐκείνων καὶ τίς γενήσεται τρόπος, εἶπεν ὡς οὐδὲν χρὴ κάμνειν, ἀλλ' ἀναβάντας πρὸς αὐτὴν ἐπὶ κορυφὴν τοῦ ὄρους, ἐπειδὰν αὐτὸς κελεύσῃ, (εἶχε δὲ ταύτην τὴν ἐπιμέλειαν) ὠθεῖν αὐτὴν ἀπ' ἄκρου εἰς τὰ κάτω. Καὶ οἱ μὲν ταῦτα συνέθεντο καὶ πίστεις (5) ἔδοσαν ἀλλήλοις ἐπί τινος ἱεροῦ. Ἔτυχε δὲ κατόπισθε τοῦ βωμοῦ ἔνθα συνετίθεντο ἀνὴρ Μῆδος ἀναπεπτωκὼς καὶ πάντα ἀκούων, ὃς ἐπεὶ ᾔσθετο, γράψας ἅπαν εἰς διφθέραν Σεμιράμει πέμπει διά τινος. Ἡ δὲ ἀναγνοῦσα τῇ ὑστεραίᾳ ἐπ' ἄκρου τοῦ ὄρους ἀναβιβασαμένη καλεῖ τοὺς Ὄννεω παῖδας καὶ κελεύει ὅ τι δήποτ' ἐννοουμένη (6) ἥκειν ὡπλισμένους. Καὶ ὁ Σατιβάρας χαίρων τοὺς νεανίσκους μετῄει, ὡς (7) ὑπὸ θεοῦ ὀρθουμένης σφίσιν τῆς πράξεως, ἐπειδὴ ὡπλισμένους αὐτοὺς ἡ μήτηρ ἐκάλει. Ἀφικομένων δὲ, μεταστῆναι τὸν εὐνοῦχον κελεύσασα Σεμίραμις (8) λέγει πρὸς τοὺς νεανίσκους· « Ὦ καλοῦ κἀγαθοῦ πατρὸς κακοὶ παῖδες, οἳ πεισθέντες ὑπὸ κακοῦ δούλου μητρὶ τῇ ἑαυτῶν θάνατον ἐβουλεύσασθε, ὡς ἐμὲ (9) ἐνθένδε ὤσετε παρὰ θεῶν τὰ κράτη ἔχουσαν· ἀλλ' ἥδ' (10) ὑμῖν ἐγώ· καί με κατὰ κρημνοῦ (11) τοῦδε ὠθεῖτε, ἵνα δὴ κλέος ἔχοιτε πρὸς ἀνθρώπων, καὶ βασιλεύοιτε κτείναντες τήν τε μητέρα Σεμίραμιν καὶ Νινύαν τὸν ἀδελφόν (12). » Ἐδημηγόρησε πρὸς Ἀσσυρίους. Ζήτει ἐν τῷ Περὶ δημηγοριῶν.

qui juventutis flore præstarent. Quærentibus illis, quænam ratio negotii futura esset, nihil magnopere laborandum esse respondit, sed quando ad matrem in cacumen montis, ipso arcessente (hanc enim curam sibi mandaverat), adscenderint, eam de summa rupe in profundum detrudere jussit. De his igitur inter eos convenit, fidemque sibi mutuam dederunt ad fanum quoddam. Accidit autem ut pone aram, ubi conjurabant, vir Medus recumbens omnia audiisset. Quæ ille in membranam inscripta per nuntium ad Semiramidem perferenda curavit. Hæc vero, lectis literis, postridie in cacumen montis egressa, filios Onnis advocari eosque pro suo ipsius consilio quodam armatos accedere jubet. Gaudens juvenes arcessivit Satibaras, quasi numine inceptum adjuvante, quoniam armatos mater adesse vellet. Ubi advenerant, Semiramis eunuchum facessere jubet, et ad juvenes se convertens, « O patris optimi, inquit, filii pessimi, qui a misero servo persuaderi vobis passi estis, ut matri vestræ necem ex insidiis parantes hinc me dejiceretis, quæ deorum gratia nacta sum imperium. Agite, jam ecce me! de rupe hac date præcipitem, ut gloriam sic apud homines vobis comparetis atque Semiramidis matris Ninyæque fratris cæde regnum obtineatis. » Deinde ad Assyrios verba fecit. *Vide excerpta De concionibus.*

8.

Exc. De virt. Ὅτι Σαρδανάπαλλος (1) Ἀσσυρίων ἐβασίλευσεν, ἀπό τε Νίνου καὶ Σεμιράμεως τὴν βασιλείαν παραδεξάμενος, οἴκησιν ἔχων ἐν Νίνῳ, ἔνδον τὸ σύμπαν ἐν τοῖς βασιλείοις διατρίβων, ὅπλων μὲν οὐχ ἁπτόμενος, οὐδ' ἐπὶ θήραν (2) ἐξιὼν, ὥσπερ οἱ πάλαι βασιλεῖς, ἐγχριόμενος δὲ τὸ πρόσωπον καὶ τοὺς ὀφθαλμοὺς ὑπογραφόμενος, πρός τε τὰς παλλακίδας ἁμιλλώμενος περὶ κάλλους καὶ ἐμπλοκῆς, τό τε σύμπαν γυναικείῳ ἤθει χρώμενος. Κατὰ δὲ τὰ πρότερον συντεταγμένα, ἐπὶ τὰς θύρας αὐτῷ παρῆσαν οἵ τε ἐκ τῶν ἄλλων ἐθνῶν σατράπαι, ἄγοντες τὰς (3) εἰρημένας δυνάμεις, καὶ δὴ Ἀρβάκης ὁ Μήδων ὕπαρχος, ἀνὴρ τόν τε βίον σώφρων, καὶ πραγμάτων, εἰ δή τις ἄλλος, ἔμπειρος, τετριμμένος τε ἐν κυνηγεσίοις καὶ πολέμοις, καὶ πολλὰ μὲν πάλαι γενναῖα ἐξειργασμένος, πλείω

Sardanapallus Assyriorum rex, qui a Nino et Semiramide per seriem successionum regnum accepit, assidue intra palatium in urbe Nino degebat, neque arma tractans unquam, nec venatum egrediens more superiorum regum, sed faciem liniens, atque oculos pingens et cum pellicibus de forma et comæ compositione contendens, prorsusque muliebri diffluens mollitie. Jam ex more institutoque majorum ad portas palatii aderant provinciarum omnium satrapæ copias illas, quas diximus, adducentes; quos inter Arbaces Mediæ præfectus, vir singulari temperantia, rerumque usu ac dexteritate haud vulgari præditus, atque in venatibus bellisque exercitatus: qui quum multa antehac strenue fecisset, tum vero adhuc majora animo agitabat. Hic quum

13, 4 : Ἐπιλεγομένη δὲ τῶν στρατιωτῶν τοὺς εὐπρεπείᾳ διαφέροντας, τούτοις ἐμίσγετο, καὶ πάντας τοὺς αὐτῇ πλησιάσαντας ἠφάνισε. Syncell. p. 64, B; Justin. I, 2. Vide Ctesiæ fr. p. 25. — 4. ἐφ' ὧν ... τούς γε νεανίας] ὑφ' ὧν... τούςδε νεανίας codex. Quodsi codicis verba recte habent, statuendum foret post Τοὺς δὲ νεανίας, plura excidisse; et λιχνευομένην sensu passivo deberi intelligi. Quamquam non tam appetita esse quam appetivisse Semiramis anus dicitur. — 5. πίστεις] πίστις codex. — 6. Armatos adesse jusserit, eo consilio ut coram Assyriis diceret armis instructos ad cædem ipsius huc ascendisse. — 7. μετῄει ὡς] μετηειὼς cod. — 8. κελ. Σεμ.] κελεύσασε μίραμις cod. — 9. ἐμὲ] μὲν cod. — 10. ἥδ'] ἰδ', absque accentu, codex. Subintellige πάρειμι vel tale quid. Cf. v. c. Herodot. I, 115 : Εἰ ὧν ἄξιός τευ κακοῦ εἰμὶ, ὅδε τοι πάρειμι. — 11. κρημνοῦ] κριμνοῦ τοῦ δεωθεῖτε codex. — 12. τὸν ἀδελφὸν] τὸν δ' αὐτὸν ἐδημ. κτλ. codex. Locus mutilus.

8. *Cod. Turonens. fol.* 225, 2 — 18 *vso.* Quæ h. l. et fragmento 9 fuse exponuntur, paucis indicat Diodor. II, 24, 1-4. — 1. Σαρδανάπαλος codex h. l. — 2. θήραν] θύραν codex. — 3. τὰς εἰρημένας] τάς τε εἰρ. codex. Possis, τάσδε. Orel-

δ' ἔτι καὶ μείζω τότε διανοούμενος. Οὗτος ἀκηκοὼς τόν τε βίον καὶ τὰ ἤθη, οἷς χρῆται ὁ βασιλεὺς, εἰς νοῦν ἐνεβάλετο καὶ ἐνεθυμήθη ἄρα, ὅτι ἀπορίᾳ γενναίου ἀνδρὸς οὗτος ἔχοι τὰ τῆς Ἀσίας (4) κράτη· καὶ βουλὴν συντίθεται περὶ τῆς ὅλης ἀρχῆς.

interiorem; regis vitam moresque auditu accepisset, ita secum reputare cœpit, penuria viri cujuspiam strenui penes Sardanapallum regnum Asiæ stare. Itaque de rerum summa consilium iniit.

9.

Exc. De insid. : Ὅτι ἐπὶ Σαρδαναπάλλου, τοῦ βασιλέως Ἀσσυρίων, Ἀρβάκης ὁ Μῆδος ἀκηκοὼς τὸν βίον καὶ τὰ ἤθη οἷς χρῆται ὁ βασιλεὺς, εἰς νοῦν ἐνεβάλετο καὶ ἐνεθυμήθη ἄρα, ὅτι ἀπορίᾳ γενναίου ἀνδρὸς οὗτος ἔχοι τὰ τῆς Ἀσσυρίας κράτη. Ἀνδρειότατον (1) δὲ φῦλον τὸ Μηδικὸν ἐδόκει τότε μετὰ τὸ Ἀσσύριον εἶναι. Οὗτος οὖν ὁ Ἀρβάκης ἐν ὁμιλίᾳ γενόμενος Βελέσυι τῆς Βαβυλῶνος ἄρχοντι, ἅτε συνεδρίτης (2) ὢν αὐτῷ πρὸ τῶν βασιλειῶν θυρῶν, ἀνδρὶ τοῦ Χαλδαίων γένους, (ἱερεῖς δ' οὗτοι ἦσαν καὶ πρώτην ἔφερον τιμὴν,) συντίθεται αὐτῷ, καὶ κοινῇ βουλεύουσιν ἐπιθέσθαι τῇ ὅλῃ ἀρχῇ, τά τε Ἀσσυρίων κράτη μεταστῆσαι εἰς Μήδους. Ἀστρονομώτατοι δὲ πάντων ἦσαν Βαβυλώνιοι, καὶ σοφίᾳ καὶ μαντικῇ, τῇ τε δι' ὀνειράτων καὶ τεράτων, προύχοντες, πάσῃ τε, ὡς εἰπεῖν, τῇ (3) ἀμφὶ τὰ θεῖα ἐπιστήμῃ. Καὶ δὴ καὶ τότε ὁ Βέλεσυς τῷ Ἀρβάκῃ διαλεγόμενος πρὸ τῶν θυρῶν πλησίον τινὸς φάτνης, ἐν ᾗ δύο ἵπποι ἐξεφατνίζοντο· καί πως ἐν μεσημβρίᾳ κατέδαρθεν αὐτόθι, καὶ ἐν τῷ ὕπνῳ ἔδοξεν ὁρᾷν τὸν ἕτερον τῶν ἵππων ἐπιφορεῖν τῷ στόματι ἐπὶ τὸν Ἀρβάκην καθεύδοντα καὶ αὐτὸν ἄχυρα, τὸν δὲ ἕτερον ἐρέσθαι· « Τί τοῦτο ποιεῖς, ὦ δαιμόνιε (4), καὶ τὰ ἄχυρα τῷ ἀνθρώπῳ ἐπιφέρεις; » Τὸν δὲ ἀποκρίνασθαι· « Φθονῶ (5) αὐτῷ· μέλλει γὰρ βασιλεύειν ἁπάντων ὧν νῦν ἄρχει Σαρδανάπαλλος. » Ταῦτ' ἰδών τε καὶ ἀκούσας ὁ Βαβυλώνιος τὸν Μῆδον ἐγείρει καθεύδοντα, καὶ δή (6) τι πλέον τὰ θεῖα εἰδὼς, συμβάλλει τὴν τοῦ ὀνείρου φήμην, καὶ κελεύει τὸν Ἀρβάκην ἰέναι παρὰ τὸν Τίγριν ποταμὸν ῥέοντα πλησίον τῆς Νίνου καὶ προσκλύζοντα τὸ τεῖχος. Ἰόντων δὲ καὶ πολλὰ λεσχηνευομένων, ὡς ἂν εταίρων, λέγει ὁ Βέλεσυς· « Ἄγε δὴ, ὦ Ἀρβάκη, εἰ σὲ θείη σατράπην Κιλικίας (7) Σαρδανάπαλλος ὁ δεσπότης, τί ἄν μοι δοίης τῷ εὐαγγελιζομένῳ; » Ὁ δ' ἀποκρίνεται· « Τί μου, ὦ δαιμόνιε, καταγελᾷς; διὰ τί δ' ἄν (*) με σατράπην Κιλικίας θεῖτο, ἄλλους ἐμοῦ κρείττους παρελθών; » Καὶ ὅς· « Ἀλλ' εἴ γε δοίη, πλέον (8) γάρ τι εἰδὼς λέγω, τίς ἐμοὶ κείσεται χάρις παρὰ σοί (9); » Κἀκεῖνος· « Οὔτι μέμψῃ, ἔφη, μεθέξεις γὰρ τῆς ἀρχῆς οὐκ ἐλάχιστον μέρος. » Ὁ δὲ εἶπεν· « Εἰ δὲ Βαβυλῶνός

Imperante Assyriis Sardanapallo, Arbaces Medus quum vitam ac mores, quibus rex uteretur, audiendo accepisset, in animum induxit menteque agitans sibi persuasit, ob penuriam viri strenui fieri, ut iste regnum Assyriæ obtineret. Medorum gens tunc post Assyrios omnium fortissima esse existimabatur. Ille igitur Arbaces, quum consuetudine uteretur Belesyis Babyloniorum ducis, quippe qui juxta ipsum ad portas regiæ excubias ageret, vir ex Chaldæorum genere oriundus (qui sacerdotes erant et præ ceteris honorabantur) : consilia huic communicat. Atque convenit inter eos, ut insidiis summum imperium invadant, regnumque ab Assyriis ad Medos transferre studeant. Erant vero Babylonii astronomi omnium peritissimi, et sapientia et divinatione e somniis et prodigiis instituenda et, ut verbo dicam, universa rerum divinarum scientia excellebant. Ac tunc quoque Belesys cum Arbace colloquebatur ante portas palatii prope præsepe aliquod, e quo paleas equi duo ejiciebant; et forte accidit ut ibi etiam meridiaretur. Tum per quietem cernere sibi visus est alterum equorum paleas ex ore in Arbacen, qui et ipse ibi dormiebat, jacere, alterum autem quærere : « Cur hoc tu facis, o lepidum caput, paleasque homini isti immittis? » illum vero respondere : « Invideo ei; mox enim rex erit eorum omnium, quibus nunc Sardanapallus imperat. » Hæc ubi vidit et audivit Babylonius, e somno Medum excitat, et pro ea qua pollebat rerum divinarum scientia, conjectando assequitur quidnam somnium istud ominaretur. Hortatur deinde Arbacem, ut ad Tigrin fluvium, qui Ninum præterfluebat ipsa mœnia lambens, obambularent. Inter ambulandum quum familiariter multa, uti fit, confabularentur, inter alia Belesys, « Agedum, Arbace, inquit, si Sardanapallus rex satrapam te Ciliciæ statuet, quid dares mihi læta hæc nuntianti? » Respondet ille : « Cur irrides me, o bone? Quam ob rem, quæso, me Ciliciæ satrapam constitueret præ aliis multis me præstantioribus? » Alter vero : « Sed fac eum hoc tibi largiri (et bene scio quid dicam); quamnam tunc mihi gratiam haberes? » Ad hæc Arbaces : « Haud tu quereris, inquit : muneris partem haud minimam tecum communicabo. » Tum Belesys : « Sin te totius Babyloniæ satrapam

lius conjecit τὰς διῃρημένας, *distributas inter ipsos*. Oschnerus ap. Orellium : τὰς διειρημένας, *regis jussu imperatas*, novo vocabuli sensu. Possis τὰς ὡρισμένας, quo verbo Diodorus utitur II, 21, 3 : κατ' ἐνιαυτὸν (Σαρδαν.) μετεπέμπετο στρατιωτῶν ἀριθμὸν ὡρισμένον. At bene habet εἰρημένας. Nam Diodorus (II, 21 sqq.), antequam de Arbacis rebellione agat, de militari isto instituto fusius exponit; sic etiam Nicolaus, eodem Ctesia duce, fecisse putandus est. — 4. Ἀσίας] Ἀσσυρίας est initio fragmenti sequentis, ubi eadem habes.

9. *Cod. Escorial. fol.* 75, 20 *vso* — 76, 15 *vso*. — 1. ἀνδρειότατον] ἀνδριότατον cod. — 2. συνεδρίτης] Nota vocabulum. — 3. τῇ] τὰ cod. Mox pro Ἀρβάκῃ codex ἀρβάκι. — 4. δαιμόνιε] δαίμονι εἰ cod. — 5. φθονῶ] φθόνῳ cod. — 6. καὶ δὴ] καὶ εἰ δὴ cod. Deinde πλεῖον pro πλέον, sed infra bis codex πλέον. — 7. Κιλικίας] εἰ σε θέλησα τράπη ἠλικίας cod. — * ἄν] codex αὐ. — 8. πλέον] πλέων cod. — 9. σοί] σύ cod.

σε πάσης σατράπην ποιήσειε, πῶς ἐμοὶ χρήσῃ; » Καὶ ὃς, « Παῦσαι πρὸς τοῦ Διὸς, ἔφη, σφόδρα μου κατακερτομῶν · οὐ γὰρ οἶμαι ἐπιτήδειος εἶναι, Μῆδος ὢν, ὑπὸ Βαβυλωνίου καταγελᾶσθαι. » Κἀκεῖνος · « Ἀλλ' οὐ μὰ τὸν μέγαν Βῆλον ἔγωγέ σου καταγελῶν ταῦτα λέγω, ἀλλὰ πλέον τι τεκμαιρόμενος (10). » Καὶ ὃς ἔφη· « Ἀλλ' ἐάν γε Βαβυλῶνος σατραπεύσω, σὲ ὕπαρχον (11) καταστήσω τῆς ὅλης σατραπείας. » Καὶ ὁ Βαβυλώνιος· « Ἀλλ' ἔγωγέ σοι οὐκ ἀπιστῶ· τόδε μοι λέξον · εἰ βασιλεὺς εἴης ἁπάσης ὁπόσης νῦν Σαρδανάπαλλος ἄρχει, τί ἐμὲ ποιήσειας; » Ὁ δ' Ἀρβάκης εἶπεν · « Εἰ σοῦ, ὦ τλῆμον, ταῦτα ἀκούσειε Σαρδανάπαλλος, εὖ ἴσθ' ὅτι καὶ σὺ κἀγὼ κακῶς ἀπολούμεθα. Ἀλλὰ τί σοι ἐπῆλθε ταῦτα ληρεῖν; οὐ παύῃ φλυαρῶν; » Καὶ ὃς τῆς χειρὸς αὐτοῦ λαβόμενος εὐτόνως· « Ἀλλὰ μὰ τήνδε τὴν δεξιὰν τὴν ἐμοὶ τιμίαν καὶ τὸν μέγαν Βῆλον, οὐ παίζων λέγω, ἀλλὰ τὰ θεῖα κάλλιστα εἰδώς. » Καὶ ὁ Ἀρβάκης εἶπεν· « Δώσω σοι Βαβυλῶνα ἔχειν καὶ ταῦτα ὑπὸ σεαυτῷ (12) ἀτελῆ. » Καὶ ἐπὶ τούτοις δεξιὰν αἰτοῦντος, μάλα προθύμως δίδωσι. Καὶ ὃς εἶπε · « Βασιλεύσεις τοίνυν, εὖ ἴσθι, ἀψευδῶς. » Καὶ ἐπεὶ ταῦτα συνέθεντο, ἐπὶ θύρας ᾤχοντο ὀπίσω θεραπεύσοντες τὰ εἰωθότα. Μετὰ δὲ ταῦτα ἐν ὁμιλίᾳ γενόμενος ἑνὶ τῶν πιστοτάτων εὐνούχων ὁ Ἀρβάκης ἐδεήθη αὐτοῦ δεῖξαί οἱ τὸν βασιλέα · σφόδρα γὰρ ἐπιθυμεῖν τὸν δεσπότην ὅστις εἴη θεάσασθαι. Τοῦ δὲ εἰπόντος ἀδύνατον αὐτὸν ὁρᾶν (13), μηδένα γὰρ πώποτε τυχεῖν τούτου, τότε μὲν ἡσύχασεν. Αὖθις δὲ μικρὸν διαλιπὼν λιπαρέστερον αὐτοῦ ἐδεῖτο, φάσκων ἀντὶ πολλοῦ χρυσοῦ καὶ ἀργύρου ταύτην ἀλλάττεσθαι τὴν χάριν. Ὁ δὲ εὐνοῦχος νικώμενος (14) ὑπ' αὐτοῦ, ἦν γὰρ ἐς τὰ μάλιστα ἐπιτήδειος, καὶ οὐ βουλόμενος αὐτῷ ἀχαριστεῖν, ὑπέσχετο εἰ καιρὸς εἴη μνησθήσεσθαι τῷ δεσπότῃ ὤκει ** ἔνθα ἐτελεύτησεν (15).

crearet, quid mihi præstares! » « Per Jovem, ait alter, desine conviciis tuis me proscindere Nam Medus ego non is, opinor, sum quem Babylonius vir irrisum habeat. » Et Belesys : « At per Belum maximum, non ut te irrideam hæc ego dico, sed quid futurum sit ex indiciis conjectans. » Tum alter, « Age, inquit, si Babyloniæ ero satrapa, procuratorem totius satrapiæ te constituam. » Et Babylonius : « Non ego certe tibi diffido. Jam hoc mihi dicas. Si tu rex esses regionis universæ quam nunc Sardanapallus obtinet, quid mihi faceres? » Tum Arbaces : « Quodsi, inquit, Sardanapallus hæc, o miser, te loquentem audiret, et tu et ego, bene teneas, male periremus. Sed quid in mentem tibi venit, ut ista blateres? Nonne finem facies nugarum? » At ille manum ejus prehensans firmiter : « Per carissimam hanc mihi dextram et per Beli numen maximum, non ludens hæc dico, sed quid deus significet optime habens perspectum. » Ad hæc Arbaces : « Dabo tibi, inquit, Babylonem, idque, quoad tu vixeris, a tributi pensione immunem. » Et ad fidem promissi dextram postulanti dat libenter. Tum Babylonius : « Regnabis igitur, bene scito; citra mendacium res est. » Hæc inter se depecti ad fores palatii redierunt suetis functuri ministeriis. Non multo post Arbaces ex eunucho fidelissimo, cujus consuetudine utebatur, petivit, ut regem sibi ostenderet; nam magno se teneri desiderio dominum, qualis esset, conspiciendi. Ille autem dicente non posse hoc fieri, nec unquam ulli permissum esse, tunc quidem quievit. Sed paucis diebus interjectis, denuo adiens eum enixius precabatur, dictitans magna vi auri et argenti hanc se gratiam redempturum esse. Quibus subactus tandem eunuchus (benevolus enim erat quammaxime) ac nolens ingratus videri, pollicitus est se, quando tempus esset, hujus rei se velle memorem esse, ut domino... **. *Ibi finivit.*

10.

Exc. De virt. : Ὅτι ἐπὶ Ἀρταίου (1) τοῦ βασιλέως Μήδων, τοῦ διαδόχου Σαρδαναπάλλου τοῦ Ἀσσυρίων βασιλέως, ἦν ἐν Μήδοις τότε κατά τε ἀνδρείαν καὶ ῥώμην δοκιμώτατος Παρσώνδης, παρά τε βασιλεῖ μάλιστα ἐπαινούμενος καὶ ἐν Πέρσαις, ὅθεν ἦν γένος, ἐπί τε εὐβουλίᾳ καὶ κάλλει σώματος. Δεινὸς δὲ καὶ θῆρας αἱρεῖν, ἐν σταδίᾳ τε μάχῃ καὶ ἀπὸ ἅρματος καὶ ἵππου μάχε-

10.

Regnante apud Medos Artæo, [qui post Sardanapallum Assyrium Medis imperavit,] fuisse quidam dicitur in Media Parsondas, vir robore et fortitudine singulari, qui et apud regem et inter Persas, a quibus originem ducebat, ob prudentiam ac pulcritudinem summo in honore erat. Ad hæc in venatu feras interficere, equestri pedestrique pugna ac de curru dimicare promptissimus habebatur. Hic quum

10. τεκμαιρ.] τεκμερόμενος cod. — 11. ὕπαρχον] ὕπαρ cod. — 12. ὑπὸ σεαυτῷ] ὑπὸ ταύτῃ codex. Sive melius ἔχειν ὑπὸ σαυτῷ καὶ ταῦτα ἀτ. De re cf. Diodor. II, 28, 4 : τὴν Βαβυλῶνα ἔχειν ἀτελῆ συνεχώρησεν. — 13. ἀδύνατον.. ὁρᾶν] ἀδυνάτω.. ἐρᾶν cod. — 14. νικόμενος cod. — 15. ὤκει] corruptum. Quid lateat, nescio. Folium in codice prototypo excidisse videtur. Quod ipsum fortasse significatur verbis ἔνθα ἐτελεύτησεν quæ ab ipso scriba profecta esse putari possit. Ceterum tu videas.

10. *Cod. Turonens. fol.* 225, 19 *vso* — 227, 27 *r.* — 1. Ἀρταίου]. Valesius; Ἀρβάκου codex, aperto errore, ut ex seqq. apparet. Quamquam errorem non scribæ, sed ipsius excerptoris fuisse indicare videntur verba : τοῦ διαδόχου Σαρδαναπάλλου τ. Ἀσσ. βασιλέως, quæ in Arbacen cadunt, non item in Artæum, qui Arbianæ successor, Medorumque rex sextus fuit (781-692 a. C.), uti ex Ctesia refert Diodorus II, 32, 6. Ceterum quæ nostro fragmento narrantur, causa et origo fuerunt belli ingentis, quo Cadusii, Medis hucusque subjecti, in libertatem se vindicarunt. De ipso bello fusius exponit Diodorus II, 23; causam ejus verbo indicat. Ita habet : Ἐπὶ δὲ τούτου (sc. τοῦ Ἀρταίου) συστῆναι μέγαν πόλεμον (Κτησίας λέγει) τοῖς Μήδοις πρὸς Καδουσίους διὰ τοιαύτας αἰτίας. Παρσώνδην τὸν Πέρσην, θαυμαζόμενον ἐπ' ἀνδρείᾳ καὶ συνέσει καὶ ταῖς ἄλλαις ἀρεταῖς, φίλον τε ὑπάρξαι τῷ βασιλεῖ καὶ μέγιστον ἰσχῦσαι τῶν μετεχόντων τοῦ βασιλικοῦ συνεδρίου. Τοῦτον δ' ὑπὸ τοῦ βασιλέως ἔν τινι κρίσει λυπηθέντα φυγεῖν μετὰ πεζῶν μὲν τρισχιλίων, ἱππέων δὲ χιλίων εἰς Καδουσίους,

σθαι. Οὗτος ὁρῶν Νάναρον (2) τὸν Βαβυλώνιον διαπρεπεῖ κόσμῳ χρώμενον ἀμφὶ τὸ σῶμα, καὶ ἐλλόβια ἔχοντα, καὶ κατεξυρημένον εὖ μάλα, γυναικώδη τε καὶ ἄναλκιν, ἔπειθεν Ἀρταῖον ἀφελέσθαι αὐτὸν τὴν ἀρχὴν καὶ ἑαυτῷ δοῦναι, δυσχεραίνων σφόδρα τὸν ἄνθρωπον. Ὁ δὲ ὤκνει συγχέας τὰ συγκείμενα ὑπ' Ἀρβάκεω (3) ἀδικεῖν τὸν Βαβυλώνιον. Ἐπεὶ δὲ δὶς καὶ τρὶς ὁ Παρσώνδης ἐνέτυχεν (4) Ἀρταίῳ, καὶ ταὐτὸν ἤκουσεν, ἡσύχαζεν· οὐ μὴν τὸν Νάναρον ἔλαθεν. Αἰσθόμενος δ' ἐκεῖνος τὴν γνώμην τἀνδρὸς, μεγάλα δῶρα τοῖς ἑαυτοῦ (5) ὑπέσχετο καπήλοις, εἴ τις αὐτῷ Παρσώνδην συλλαβὼν ἄγοι (6)· ἕπονται δ' οὗτοι πολλοὶ τῷ βασιλέως στρατῷ. Καί ποτε κατὰ δαίμονα κυνηγετῶν ὁ Παρσώνδης ἐλαύνει πόρρω ἀπὸ τοῦ (7) βασιλέως εἴς τι πεδίον οὐχ ἑκὰς Βαβυλῶνος. Τοὺς δὲ θεράποντας εἰς τὴν πλησίον ὕλην τρέψας, ἐκέλευσε βοῇ τε καὶ (8) ἀλαλητῷ χρῆσθαι, ὡς δὴ τὰ θηρία σοβήσων (9) εἰς τὰ πεδία· καὶ πολλοὺς μὲν ὗς ἀγρίους, πολλοὺς δ' ἐλάφους αἱρεῖ. Τέλος δ', ὄνον ἄγριον διώκων, ἐπὶ πλεῖστον ἀποσπᾶται τῶν ἑαυτοῦ, καὶ μόνος ἐλαύνων ἧκεν εἰς τὴν Βαβυλωνίαν, ἔνθα ἦσαν οἱ κάπηλοι ἀγορὰς εὐτρεπίζοντες τῷ βασιλεῖ· οὓς θεασάμενος ὑπὸ δίψους πιεῖν ᾔτει. Οἱ δ' ἄσμενοι ἰδόντες Παρσώνδην, προσίασιν αὐτῷ, πιεῖν τε ἐνέχεον, καὶ, τὸν ἵππον δεξάμενοι, ἀριστᾶν ἐκέλευσαν. Ὁ δὲ, οἷα πανημέριος θηρῶν, οὐκ ἀηδῶς ἤκουσεν, ἐκέλευσέ τε ἀποπέμψαι βασιλεῖ τὸν ὄνον (10), ὃν κατέλαβε, καὶ τοῖς ἀνὰ τὸν δρυμὸν οἰκέταις φράσαι, ἔνθα εἴη. Οἱ δὲ, πάντα ποιήσειν ὑποσχόμενοι, κατακλίνουσι τὸν Παρσώνδην. Καὶ δαῖτα παρέθεσαν παντοίαν, οἶνόν τε ἥδιστον πίνειν ἐπέχεον (11), ἀκρατέστερον ἐπίτηδες; ὡς μεθυσθείη. Καὶ ἐπεὶ ἅδην εἶχεν, ὁ μὲν ᾔτει τὸν ἵππον, ὡς ἀπίοι ἐπὶ τὸ βασιλέως στράτευμα· οἱ δὲ γυναῖκας εὐπρεπεῖς παραγαγόντες, ἐδείκνυόν τε αὐτῷ καὶ ἐκέλευον κοιμηθέντα αὐτόθι, καὶ εἰς νύκτα χρησάμενον αὐταῖς, ἕωθεν ἀπιέναι. Ὁ δὲ, εὐπρεπεῖς γυναῖκας ὁρῶν, ἔμεινέ τε καὶ ηὐλίσατο. Καὶ τὰ μὲν διὰ τὴν συνουσίαν, τὰ δὲ διὰ τὸν κόπον, ὕπνος αὐτὸν ἔλαβεν. Οἱ δ', ἀναστήσαντες τὴν παρακοιμωμένην γυναῖκα, πολλοὶ ἅμα ἐπιπεσόντες, συνέδησαν τὸν ἄνθρωπον, καὶ ἐπὶ Νάναρον ἐκόμισαν. Ὁ δ', ὡς εἶδεν αὐτὸν (ἤδη δὲ ἀνένηψεν ἐκ τοῦ οἴνου, καὶ ἔγνω ἵνα ἦν κακοῦ), ἤρετο (12), « Ἆρα, ὦ Παρσώνδη, κακόν τι ὑπ' ἐμοῦ πάλαι ἔπαθες, ἢ αὐτὸς ἢ τῶν σῶν τις; « Ὁ δ' οὐκ ἔφη. « Τί δὲ, πείσεσθαι προσεδόκησας »; « Οὐκ ἔγωγε, εἶπεν». « Τί οὖν αὐτὸς ἀδικίας ἦρξας εἰς ἐμὲ, ἀνδρόγυνόν τε καλῶν, καὶ βασιλείαν τὴν ἐμὴν αἰτῶν παρὰ Ἀρταίου, ὡς δῆτα οὐδενὸς ἀξίου αὐτὸς γενναῖος ὤν; Πολλὴ δὲ χάρις Ἀρταίῳ οὐ πεισθέντι τὴν ὑπ' Ἀρβάκεω (13) δεδομένην ἡμῖν ἀρ-

Exc. De virt. . Ὅτι Μάγνης ἦν ἀνὴρ Σμυρναῖος, καλὸς τὴν ἰδέαν εἴ τις καὶ ἄλλος, ποιήσει τε καὶ μουσικῇ δόκιμος. Ἤσκητο δὲ καὶ τὸ σῶμα διαπρεπεῖ κόσμῳ, ἀλουργῇ (1) ἀμπεχόμενος, καὶ κόμην τρέφων χρυσῷ στροφίῳ (2) κεκορυμβωμένην· περιῄει τε τὰς πόλεις ἐπιδεικνύμενος τὴν ποίησιν. Τούτου δὲ πολλοὶ μὲν καὶ ἄλλοι ἤρων, Γύγης δὲ μᾶλλόν τι ἐφλέγετο, καὶ αὐτὸν εἶχε παιδικά. Γυναῖκάς γε μὴν πάσας ἐξέμηνεν, ἔνθα ἐγένετο ὁ Μάγνης (3), μάλιστα δὲ τὰς Μαγνήτων, καὶ συνῆν αὐταῖς. Οἱ δὲ τούτων (4) συγγενεῖς, ἀχθόμενοι

Magnes erat quidam Smyrnæus vir, et formæ decore et poesi ac musica conspicuus. Idem eleganti ornatu formam corporis augebat: quippe purpurea amictus veste, et coma, quam promissam alebat, aureo strophiolo in altum collecta urbes circuibat, carmina sua publice recitans. Hujus amore, quum alii multi, tum Gyges maxime ardebat, habebatque eum in deliciis. Sed et omnes, ubicumque erat, mulieres, ac præcipue Magnetum feminas in amorem sui rapiebat Magnes, earumque concubitu utebatur. At mulierum pro-

5. οὐκ ἂν] οὐδὰν cod. — 6. δύναιτο] δύναιντο cod. — 7. ὢν ἔφη] ὃν ἔφη cod. In proxime antecedentibus pro ἐργασιμώτερον scr. videtur ἐργαστικώτερον. — 8. κεκαθ.] αὐτῷ καὶ τὰ ἱερὰ ἐξέσται καὶ κεκαθ. cod.; deinde καὶ τοῖς μὲν ἐκείνου, sed expuncta voce μὲν. Mox ἐμμένειν codex. — 9. ἔτη] vocem supplevi.

62. *Cod. Tur. fol.* 155, 2-17 *vso.* Eadem Suidas v. Μάγνης et ex parte v. στρόφιον. κόρυμβοι. ἀλουργίς. — 1. ἀλουργῇ] ἀλουργεῖ cod. — 2. στροφίῳ] στρόφῳ codex et Suidas. De corymbo v. Creuzer. ad Xanth. fragm. p. 235; Müller. *Dor.* II, p. 271. — 3. Μάγνης] Μάρις cod.; idem in sqq. Μάγνις. — 4. τούτων] Valesius. τούτου codex et Suidas.

ἐπὶ τῇ αἰσχύνῃ, πρόφασιν ποιησάμενοι, ὅτι ἐν τοῖς ἔπεσιν ᾖσεν ὁ Μάγνης Λυδῶν ἀριστείαν ἐν ἱππομαχίᾳ πρὸς Ἀμαζόνας, αὐτῶν δὲ οὐδὲν ἐμνήσθη, ἐπαΐξαντες περικατέρρηξάν τε τὴν ἐσθῆτα, καὶ τὰς κόμας ἐξέκειραν, καὶ πᾶσαν λώβην προσέθεσαν. Ἐφ' οἷς ἤλγησε μάλιστα Γύγης, καὶ πολλάκις μὲν (5) εἰς τὴν Μαγνήτων γῆν ἐνέβαλε, τέλος δὲ καὶ (6) χειροῦται τὴν πόλιν (7), ἐπανελθὼν δὲ εἰς Σάρδεις, πανηγύρεις ἐποιήσατο μεγαλοπρεπεῖς.

pinqui, quum hujusmodi infamiam ægre ferrent, prætendentes, quod Magnes, qui in suis carminibus Lydorum fortitudinem in equestri adversus Amazonas prælio cecinisset, nullam Magnetum mentionem fecerat, impetu facto vestem ejus disciderunt, comam raserunt, omnique acerbitate eum commulcarunt. Quam ob rem indignatus Gyges in agrum Magnesiorum frequenter irrupit, tandemque urbem cepit. Reversus autem Sardes, ludos edidit magnifico apparatu.

63.

Ibid.: Ὅτι Σαδυάττης ὁ Λυδῶν βασιλεὺς, Ἀλυάττεω παῖς (1), ἦν μὲν τὰ πολέμια γενναῖος, ἄλλως δὲ ἀκόλαστος. Καὶ γάρ ποτε τὴν ἑαυτοῦ ἀδελφὴν, γυναῖκα Μιλήτου, ἀνδρὸς δοκίμου, καλέσας ἐφ' ἱερὰ, βίᾳ ᾔσχυνε, καὶ τὸ λοιπὸν αὐτὴν ἴσχει γυναῖκα. Ὁ δὲ Μίλητος ἦν Μέλανος τοῦ Γύγου γαμβροῦ ἀπόγονος. Δυσανασχετῶν δ' ἐπὶ τούτοις, φεύγων ᾤχετο εἰς Δασκύλιον. Σαδυάττης δὲ κἀκεῖθεν αὐτὸν ἐξέωσεν. Ὁ δὲ ἀπεχώρησεν εἰς Προκόννησον (2). Σαδυάττης δὲ ὀλίγον ὕστερον ἔγημεν ἑτέρας δύο γυναῖκας ἀλλήλαις ἀδελφὰς, καὶ ἴσχει παῖδας, ἐκ μὲν τῆς Ἀττάλην, ἐκ δὲ τῆς Ἄδραμυν νόθους (3), ἐκ δὲ τῆς αὐτοῦ ἀδελφῆς γνήσιον Ἀλυάττην.

Sadyattes Alyattis filius, Lydorum rex, erat ille quidem in bello fortissimus, sed alioquin intemperans. Namque sororem suam, nuptam Mileto, viro clarissimo, per speciem sacrificii accitam constuprasse per vim dicitur, eamque deinceps uxoris loco habuisse. Erat autem Miletus Melanis nepos ejus, qui Gygis gener fuerat. Qui quum eam injuriam ferre non posset, fugit Dascylium; unde postea a Sadyatte expulsus, Proconnesum se recepit. At Sadyattes paullo post alias duas, et quidem sorores ambas matrimonio sibi sociavit, quarum ex altera Attalem, ex altera Adramyn nothos suscepit; ex sorore autem sua filium legitimum sustulit Alyattem.

64.

Ibid.: Ὅτι Ἀλυάττης ὁ Σαδυάττεω υἱὸς, βασιλεὺς Λυδῶν, ἕως μὲν νέος ἦν, ὑβριστὴς ἦν καὶ ἀκόλαστος,

Alyattes Sadyattis filius, Lydorum rex, in adolescentia quidem petulans fuit ac libidinosus; sed in virilem ætatem

— 5. μὲν] deest in editt.; habet codex et Suidas. — 6. καὶ] addidi e Suida. — 7. Utrum Magnesia ad Sipylum, an Magnesia ad Mæandrum sita sit intelligenda, non satis liquet. De hac si cogitavit auctor, putari possit τὰ Μαγνήτων κακὰ, quorum Archilochus ap. Strabon. XIV, p. 647 meminit, ea esse quæ a Gyge capta urbs perpessa sit. Etenim Cæsar (De carmin. elegg. p. 59 sqq.) et cum eo Westermannus De Callisthen. p. 37 Magnesiam eversam esse a Treribus statuunt ea expeditione Cimmeriorum, in qua sec. Herodotum (I, 6. 15), postremis Ardyis regis temporibus (c. Ol. 36, 4 vel 37, 1), Sardes captæ sunt. Jam vero quæ de Archilochi temporibus comperta habemus, non admittere ut Parius poeta illud urbis infortunium commemoraret, quod Ol. 37 demum accidisset. Quare illa Μαγνήτων κακὰ ad alium quendam urbis casum anteriorem esse referenda. Ceterum omnia hæc incertissima sunt, neque admodum probabilia. Tempus quod Magnesiæ eversioni assignant in mera positum conjectura. Deinde Archilochi verba: Κλαίω τὰ Θασίων οὐ τὰ Μαγνήτων κακά aptissime referuntur ad notum illud Magnetum infortunium, quod in proverbium abiit, et ante Archilochi ævum accidisse potest. Nec deest testimonium. Nam Plinius H. N. VII, 39: *Candaules rex*, ait, *Bularchi picturam Magnetum excidii haud mediocris spatii, pari pependit auro.* Hæc e Pseudoxantho fluxisse olim statui cum Creuzero et Welckero. Vix recte. Nam Xanthus Caudaulis loco ponit Sadyatten, ut ex Nicolao discimus. Sed quanticunque facienda sint, quæ Plinius de pictura Bularchi tradit, nihil video, cur de Magnesia Caudaulis vel prioribus temporibus eversa dubitemus. Apud Xanthum Nicolai sub Caudaule et proxime antecedentibus regibus nulla fit belli mentio. Contra Ardys Heraclida triginta millia equitum collegisse dicitur. Is igitur bellum gessisse aliquod videtur. Jam Orosius I, 21 ita habet: *Anno ante urbem conditam tricesimo* (782 a. C.)... *Amazonum gentis et Cimmeriorum in Asiam repentinus incursus diu lateque vastationem stragemque edidit.* Annus vero 782 aperte incidit in annos 70, per quos Ardys regnasse perhibetur. Facilis igitur conjectura est tunc Magnesiam esse eversam. Quod si statuas, nihil impedit quin Callini poetæ tempore (sub Gyge et Ardye rege), sive is Archilocho paullo junior vel paullo antiquior fuerit, vires jam recuperaverit Magnesia, adeo ut bellum contra Ephesios gerere posset (Strabo XIV, p. 647). *Amazones* apud Orosium intelligendi sunt de copiis Sacarum Scytharumve. Ac nescio an ista Lydorum contra Amazones ἀριστεία, quam cecinit Smyrnæus rhapsodus neglecta Magnesiorum mentione, ad ipsum illud bellum quod contra Scythas Lydi sub Ardye rege gesserunt, sit referenda.

63. *Cod. Tur. fol.* 155, 17-27. Quæ fr. 63 et 64 leguntur brevius exhibet Suidas: Ἀλυάττης (deb. Σαδυάττης), Λυδῶν βασιλεὺς, ὃς ἦν μὲν τὰ πολέμια γενναῖος, ἄλλως δὲ ἀκόλαστος· καὶ γάρ ποτε τὴν ἑαυτοῦ ἀδελφὴν ᾔσχυνεν. — 1. Ἀλυάττεω παῖς] Sadyattes sec. Herodotum I, 16, Ardyis filius fuit; adeo ut excerptor noster errasse possit videri. Sororem Sadyattis *Lyden* vocat Xenophilus apud Anonym. De clar. mulierib. c. 8. — 2. Προκ.] Προκόνησον cod. — 3. Ab his Sadyattis filiis Xanthus dixerit Attaliam et Adramyttium urbes conditas esse. Aliter Stephanus Byz.: Ἀδραμύττειον... κέκληται ἀπὸ Ἀδραμύτου κτιστοῦ, παιδὸς μὲν Ἀλυάττου, Κροίσου δὲ ἀδελφοῦ, ὡς Ἀριστοτέλης ἐν Πολιτείαις καὶ ἄλλοι. Τινὲς δὲ ἀπὸ Ἕρμωνος τοῦ Λυδῶν βασιλέως. Apud Xanthum Crœsus jam præfectus Adramyttii urbis fuisse dicitur (fr. 65).

64. *Cod. Tur. fol.* 155, 27-31 *vso.* Suidas l. l.: Ἐγέννησε δὲ (sc. Sadyattes) Ἀλυάττην, ὅστις ἕως μὲν νέος ἦν ὑβριστὴς

ἐκβὰς δὲ εἰς ἄνδρα (1), σωφρονέστατος καὶ δικαιότατος. Ἐπολέμησε δὲ Σμυρναίοις, καὶ εἷλεν αὐτῶν τὸ ἄστυ.

progressus summa cum modestia et æquitate vixit. Idem Smyrnæis bellum intulit, tandemque oppidum expugnavit.

65.

Ibid.: Ὅτι Ἀλυάττης ὁ Κροίσου πατὴρ, τοῦ Λυδῶν βασιλέως, ἐπὶ Καρίαν στρατεύων, περιήγγειλε (1) τοῖς ἑαυτοῦ στρατὸν ἄγειν εἰς Σάρδεις ἐν ἡμέρᾳ ῥακτῇ, ἐν οἷς καὶ Κροίσῳ, ὅστις ἦν αὐτοῦ πρεσβύτατος τῶν παίδων, ἄρχων (2) ἀποδεδειγμένος Ἀδραμυττίου τε καὶ Θήβης πεδίου. Ὁ δὲ, ὥς φασιν, ὑπὸ ἀκολασίας οὐχ οἷός τε ἦν, καί πως διεβέβλητο πρὸς τὸν πατέρα. Βουλόμενος δὲ ἐν τῷδε τῷ ἔργῳ ἀπολύσασθαι τὰς αἰτίας, καὶ ἀπορῶν ὁπόθεν μισθώσαιτο ἐπικούρους (μισθωτοῖς γὰρ ἐχρῶντο), ἦλθεν ἐπὶ Σαδυάττην τὸν ἔμπορον (3), πλουσιώτατον Λυδῶν ὄντα, δανείζεσθαι βουλόμενος. Ὁ δὲ αὐτὸν πρῶτον μὲν (4) ἀναμένειν ἐκέλευσε πρὸ τῶν θυρῶν, ἄχρι λούσηται· μετὰ δὲ, ἐντυγχάνοντι ἀποκρίνεται, ὅτι πολλοὶ παῖδες εἶεν Ἀλυάττῃ, οἷς πᾶσιν εἰ δεήσοι αὐτὸν ἀργύριον διδόναι, οὐκ ἐξαρκέσει· οὔκουν δοῦναι δεομένῳ. Κροῖσον δὲ, ἀποτυχόντα τἀνθρώπου, εἰς Ἔφεσον ἀφικέσθαι κατὰ ζήτησιν ἀργυρίου. Καὶ τότε μὲν εὔξασθαι τῇ Ἀρτέμιδι, εἰ βασιλεύσειε, τὸν οἶκον ἅπαντα καθιερώσειν τοῦ ἐμπόρου. Ἦν δέ τις Κροίσῳ φίλος, ἀνὴρ Ἴων, ὄνομα Παμφάης (5), υἱὸς Θεοχαρίδου εὖ μάλα εὐπόρου. Οὗτος ὁρῶν τὴν Κροίσου σπουδὴν, ἐδεήθη τοῦ πατρὸς χιλίους στατῆρας δοῦναί οἱ πάσῃ μηχανῇ· τυχὼν δὲ παρ' αὐτοῦ, δίδωσι Κροίσῳ. Ἀνθ' ὧν μέγαν τε αὐτὸν Κροῖσος ὕστερον ἐποίησε, βασιλεὺς γενόμενος, καὶ εἰς τὴν ἀκρόπολιν εἰσαγαγὼν ἅμαξαν αὐτῷ ἔδωκε μεστὴν χρυσίου· τὸν δὲ τοῦ ἐμπόρου οἶκον Ἀρτέμιδι καθιέρωσε, καὶ αὐτὰ τὰ θεμέλια ἀποδόμενος διὰ τὴν εὐχὴν, ὡς μηδὲν λείποιτο. Ὁ δὲ Κροῖσος τοὺς χιλίους λαβὼν χρυσοῦς, στράτευμά τε ἤγειρε, καὶ πρῶτος εἰς τὴν κυρίαν ἡμέραν ἄγων ἔδειξε τῷ πατρὶ, καὶ συνεισέβαλεν εἰς τὴν Καρίαν. Κρείττων δὲ (6) ἐξ ἐκείνου τοῦ ἔργου τῶν αὐτὸν διαβαλλόντων γίνεται.

Quum Alyattes, Crœsi Lydorum regis pater, bellum Caribus inferre vellet, præfectis suis, inter quos et Crœso, natu maximo, qui Adramyttio ac Thebes campo præfectus erat, mandavit, ut singuli præstituta die copias adducerent Sardes. At Crœsus præ intemperantia segnis admodum et alioqui sinistra apud patrem fama erat. Sed quum eo in tempore liberare se infamia ac suspicione vellet, ceterum careret pecunia qua conducere milites posset (mercenario enim milite utebantur), Sadyattem mercatorem fœnerandi gratia adiit, virum totius Lydiæ opulentissimum. Qui primum quidem Crœsum pro foribus opperiri, donec lavisset, jussit; deinde postulanti responsum dedit: Alyatti plures liberos esse, quibus omnibus si mutuam pecuniam dare opus sit, haudquaquam se suffecturum. Ita Crœsus repulsam passus, Ephesum ad conquirendam pecuniam abscessit. Et tum quidem Dianæ vovisse dicitur, si quando regnum adeptus esset, cuncta se mercatoris bona ei consecraturum. Ceterum Pamphaes quidam erat Ephesi Theocharidæ filius, viri apud Iones ditissimi, qui quum Crœsi amicus esset, ejusque studium ac necessitatem intelligeret, omni ope a patre contendit, sibi ut mille aureos dare vellet. Quos quum impetrasset, statim Crœso tradidit. In cujus beneficii gratiam postmodum Crœsus regnum consecutus, magnopere eum auxit atque ornavit, et in arcem introducto plenum auro plaustrum ei largitus est. Mercatoris autem illius bona Dianæ sacravit, prout voverat, ipso etiam ædium solo divendito, ne quid reliquum superesset. Interim Crœsus, acceptis mille aureis, copias conduxit, ac præfinita die primus ad patrem perduxit, cumque eo in Cariam est profectus. Cujus facinoris causa exinde calumniatoribus suis superior fuit.

66.

Περὶ Κύρου βασιλέως Περσῶν, καὶ περὶ μεταστάσεως τῆς τῶν Μήδων βασιλείας εἰς Πέρσας.

Ὅτι ἐν τῇ Ἀσίᾳ τελευτήσαντος τοῦ Μήδων βασιλέως, ἐκδέχεται τὴν ἀρχὴν Ἀστυάγης ὁ παῖς, ὄντινα

De Cyro Persarum rege et de Medorum imperio ad Persas translato.

In Asia Medorum rege (*Astibara*) defuncto, in regnum successit filius Astyages, qui post Arbacem omnium fortis-

---

ἦν καὶ ἀκόλαστος, ἐκβὰς δὲ ἐς ἄνδρα σωφρονέστατος καὶ δικαιότατος. Ἐπολέμησε δὲ Σμυρναίοις, καὶ εἷλε τὸ ἄστυ. Ex eodem Xantho sua hauserit Xenophilus ap. Anon. De mul. c. 8, ubi vide. — 1. ἄνδρα] ex Suidæ cod. A; ἄνδρας codex.

65. *Cod. Tur. fol.* 155, 31 *vso* — 156, 26 *r.* — Suidas l. l.: Οὗτος (Ἀλυάττης) δὲ γεννᾷ τὸν Κροῖσον. Στρατεύσας δὲ ἐπὶ Καρίαν περιήγγειλε τοῖς αὐτοῦ στρατὸν ἄγειν ἐς Σάρδεις, ἐν οἷς καὶ Κροίσῳ, ὅστις ἦν αὐτοῦ πρεσβύτατος τῶν παίδων, ἄρχων ἀποδεδειγμένος Ἀδραμυττείου τε καὶ Θήβης πεδίου. ** Ἀλυάττου πολιορκοῦντος Πριήνην φησίν. Postrema hæc mutila in nostris Excerptis non leguntur. Neque sunt apud Suidam v. Κροῖσος: Κροῖσος, Λυδῶν βασιλεὺς, ὃς τὸ πρότερον ἄρχειν ἔλαχεν Ἀδραμυττείου καὶ Θήβης πεδίου. Στρατεύσαντος δὲ τοῦ πατρὸς αὐτοῦ, ἐπὶ Καρίαν περιήγγειλε τοῖς ἑαυτοῦ κτλ. — 1. περιήγγειλε] παρήγγειλε Coray e vulgata apud Suidam lectione; verum Suidæ codd. A B recte præbent περιήγ. — 2. ἄρχων] e Suida; ἀρχὴν cod. Ex eodem Suida addidi τε post Ἀδραμ. — 3. ἔμπορον] sic Suidas; ἔπαρχον h. l. codex, sed infra ἔμπορον. Pro Σαδυάττην Suidas habet Ἀλυάττην. — 4. μὲν] codex et Suidas; deest in editt. — 5. Ἴων... υἱὸς] Suidas corrupte Ἰωνόννος υἱός. Cf. Ælian. V. H. IV, 27: ὅτι Παμφάης ὁ Πριηνεὺς Κροίσῳ τῷ Λυδῷ, τοῦ πατρὸς αὐτοῦ περιόντος, τριάκοντα μνᾶς ἐδωρήσατο. Παραλαβὼν δὲ τὴν ἀρχὴν, μεστὴν ἅμαξαν ἀργυρίου ἀπέπεμψεν αὐτῷ. — 6. δὲ] τε codex.

66. *Cod. Escor. fol.* 85, 8 *r.* — 91, 8 *r.* De iis quæ in hoc fragmento leguntur, Photius in Excerptis Ctesiæ (fr. 29, 2)

μετὰ Ἀρβάκην λόγος ἔχει γενναιότατον γεγονέναι. Ἐπὶ τούτου βασιλεύοντος ἡ μεγάλη γίνεται μεταβολὴ, καθ' ἣν εἰς Πέρσας ἐκ Μήδων περιῆλθεν ἡ ἀρχὴ, δι' αἰτίαν τοιάνδε. Νόμος ἐγένετο ἐν Μήδοις, ὅστις πένης τροφῆς ἕνεκα προσίῃ (1) ἀνδρὶ εὐπόρῳ, ἑαυτὸν διδοὺς ὅπως τρέφοιτό τε καὶ ἀμπέχοιτο, ἴσα καὶ δοῦλον (2) νομίζεσθαι ἐκείνου· ἢν (3) δὲ μὴ παρέχοι ταῦτα ὁ λαβὼν, ἐξεῖναι παρ' ἄλλον ἀποχωρεῖν. Προσέρχεται δή τις μειρακίσκος, ὄνομα Κῦρος, Μάρδος γένος, θεράποντι βασιλείῳ, ὃς ἦν ἐπὶ τοῖς καλλύνουσι τὰ βασίλεια. Ἦν δὲ ὁ Κῦρος Τοσατραδάτου (4) παῖς, ὅστις ἐλῄστευεν ὑπὸ πενίας. Ἡ δὲ γυνὴ αὐτοῦ, Ἀργόστη (5) ὄνομα, ἡ Κύρου μήτηρ, αἰπολοῦσα ἔζη. Ἐκδίδωσιν οὖν αὐτὸν (6) ὁ Κῦρος ἐπὶ τὸ τρέφεσθαι τῷ ἀνδρὶ, καὶ ἐκάλλυνε τὰ βασίλεια (7), καὶ ἦν ἐπιμελής. Βελτίω οὖν αὐτῷ στολὴν ὁ ἐπιστάτης δίδωσι, καὶ ἐκ τῶν ἔξω εἰσήγαγεν εἰς τοὺς ἔσω καλλύνοντας παρὰ βασιλεῖ, καὶ τῷ τούτων ἐπιστάτῃ συνίστησι. Χαλεπὸς δ' ἦν οὗτος καὶ ἐμαστίγου πολλάκις Κῦρον· καὶ ὃς ἀφίσταται παρὰ τὸν λυχνοφόρον· κἀκεῖνος αὐτὸν ἀγαπᾷ (8), καὶ προσάγεται πλησίον βασιλέως, ἵν' ἐν τοῖς λυχνοφοροῦσιν αὐτῷ εἴη. Εὐδοκιμῶν δὲ καὶ ἐν τούτοις μετῆλθε παρὰ Ἀρτεμβάρην (9), ὅστις τῶν οἰνοχόων ἐπεστάτει, καὶ αὐτὸς βασιλεῖ ὤρεγε πιεῖν τὴν φιάλην. Ὁ δὲ αὐτὸν προθύμως δέχεται, καὶ οἰνοχοεῖν κελεύει τοῖς ὁμοτραπέζοις βασιλέως. Οὐ πολλοῦ δὲ χρόνου ἐπεὶ ἑώρα αὐτὸν Ἀρτεμβάρης (10) εὖ καὶ ἐπιστρεφῶς διακονοῦντα καὶ τὴν φιάλην εὐσχημόνως ἐπιδιδόντα, πυνθάνεται βασιλεὺς Ἀρτεμβάρου ὁπόθεν εἴη ὁ νεανίσκος. « Ὡς καλῶς οἰνοχοεῖ. » Ὁ δ' εἶπεν· « Ὦ δέσποτα, σὸς δοῦλος, Πέρσης γένος, ἐκ τῶν Μάρδων, τροφῆς δὲ χάριν ἑαυτὸν δεδωκώς μοι. » Ἦν δὲ ὁ Ἀρτεμβάρης πρεσβύτης· καί ποτε δεῖται βασιλέως, ἐπεὶ ἐπύρεξε, μεθεῖναι αὐτὸν εἰς οἶκον ἔστ' ἂν ὑγιάνῃ. « Ἀντὶ δ' ἐμαυτοῦ, ἔφη, ὁ νεανίσκος ὅδε (Κῦρον λέγων), ὃν σὺ ἐπαινεῖς, οἰνοχοήσει· υἱὸν δ' αὐτὸν κἀγὼ ποιήσομαι, εὐνοῦχος ὢν, εἴ σοι τῷ δεσπότῃ οἰνοχοῶν καταθύμιος γένοιτο. » Ταῦτα ἐπῄνει ὁ Ἀστυάγης· καὶ ὁ μὲν ἀπελύετο, πολλὰ ἐντειλάμενος Κύρῳ, καὶ φιλοφρονησάμενος ὡς ἂν υἱῷ. Ὁ δὲ παρεστὼς βασιλεῖ τήν τε φιάλην ἐδίδου καὶ ᾠνοχόει νύκτα καὶ ἡμέραν, ὑπέφαινέ τε πολλὴν σωφροσύνην καὶ ἀνδρείαν. Ὁ δ' Ἀρτεμβάρης ἐκ τῆς νόσου ταύτης θνήσκει υἱοποιησάμενος τὸν Κῦρον. Δίδωσιν οὖν αὐτῷ ὁ Ἀστυάγης, ὡς ἂν υἱεῖ (11), τὸν σύμπαντα βίον Ἀρτεμβάρεω καὶ ἄλλα πολλὰ δῶρα· μέγας τε ἦν καὶ ὄνομα αὐτοῦ πάντῃ διεφέρετο.

simus fuisse traditur. Eo regnante magna ista accidit rerum conversio, qua a Medis ad Persas imperium devenit ob causam hujusmodi. Lex apud Medos obtinet, ex qua pauper qui victus causa ad virum divitem accedit eique se tradit, ut nutriatur et amiciatur, eodem quo servus loco habetur. Quodsi dominus hæc non præstat, licet illi ad alium se conferre. Ea igitur conditione puer quidam, Cyrus nomine, genere Mardus, ad ministrum regium accedit, qui mundantibus palatium erat præfectus. Cyrus filius erat Tosatradatæ (*Atradatæ*), qui ob paupertatem latrocinium exercebat. Uxor ejus Argoste, mater Cyri, capras pascendo vitam sustentabat. Cyrus itaque quum ad victum quærendum viro isti se elocasset, regiam mundabat, multamque ostendebat diligentiam. Splendidiorem igitur vestem ei præfectus dat, et ab iis qui extera palatii curabant, ad eos qui intus apud regem mundabant, introducitur, horumque præfecto subjungitur. Is vero severus erat ac sæpenumero Cyrum flagellabat. Quare hoc relicto Cyrus ad lampadarium transiit, qui amore eum prosequitur et ad regem propius adducit, iis qui lucernas præferunt accensens. Et quum inter hos quoque probaretur, deinde transiit ad Artembarem, qui pincernis erat præfectus atque ipse regi phialam ad bibendum porrigebat. Is libenter Cyrum admittit et sociis mensæ regiæ infundere jubet. Nec multo post quum Astyages scite et dextre ministrantem phialamque decore admodum porrigentem videret, quærit ex Artembare rex, unde esset juvenis ille, qui tam egregie pincernæ munere fungeretur. Cui ille, « O domine, respondit, servus tuus est, Persa genere, Mardis oriundus, qui victus causa se mihi dedidit. » Ceterum Artembares jam senex erat, et quondam, quum febri laboraret, e rege petivit, ut domum se dimitteret donec recuperasset valetudinem. « Interim, inquit, pincernam pro me aget juvenis hic (Cyrum dicebat), quem tu collaudas, quemque ego, qui eunuchus sim, pro filio adoptabo, si tibi, domino meo, id gratum fuerit. » Comprobavit hoc Astyages. Ille vero abscessit multa Cyro demandans comiter et benevole, quasi filio suo. Igitur lateri regis adstans Cyrus phialam porrigebat et vinum infundebat diu noctuque, ac multam modestiam ostendebat et virtutem. Artembares autem e morbo moritur, postquam Cyrum testamento filium sibi instituerat. Quare Astyages ei, utpote filio, facultatem Artembaræ universam tradidit aliaque dona plurima addidit. Jam celeber Cyrus erat et nomen ejus ubique divulgabatur.

---

nihil nisi hæc tradit : Φησὶν οὖν αὐτίκα περὶ τοῦ Ἀστυάγους, ὡς οὐδὲν αὐτοῦ πρὸς γένος ἐχρημάτιζεν. — 1. προσίῃ] προσῇ cod. — 2. δοῦλον] vel δοῦλος. δούλου cod. — 3. ἢν] ἦν cod. — 4. Τοσατραδάτου] Infra pater Cyri nominatur Ἀτραδάτης. Unde h. l. fortasse scr. τοῦ Ἀτραδάτου. Apud Herodotum nomen bubulci, apud quem Cyrus educatur, est Μιτραδάτης. — 5. Ἀργόστη] Ἄργοστη codex. Ἀρτόστης Persa memoratur ap Ctesiam p. 55 a; Ἀργήστης ap. Æschyl. Pers. 300. — 6. αὐτὸν] αὑτὸν cod. Deinde malim : ἐπὶ τῷ — 7. ἐπιμελής] ἐπιμελητής codex. Quod si genuinum est, post vocem βασίλεια nonnulla exciderint; nam sententiarum junctio inconcinnior. — 8. ἀγαπᾷ] ἠγαπᾶ cod. — 9. Ἀρτεμβάρης] Nomen hoc etiam in Herodotea de Cyro narratione occurrit I, 114. 115. 116, ubi nobilis est Medi, cujus filium Cyrus puer ludens male tractaverat. — 10. Ἀρτεμβάρης] Dicendum erat Ἀστυάγης. Sed nolui corrigere excerptorem. — 11. υἱεῖ] sic h. l.; modo erat υἱῷ. Deinde Ἀρτεμβάρεως cod.

Ἦν δὲ Ἀστυάγῃ θυγάτηρ πάνυ γε γενναία καὶ εὐειδής, ἥντινα Σπιτάμᾳ (12) δίδωσι τῷ Μήδῳ ἐπὶ προικὶ πάσῃ Μηδίᾳ. Κῦρος δὲ μεταπέμπεται τόν τε πατέρα Ἀτραδάτην καὶ Ἀργόστην τὴν μητέρα ἐκ Μάρδων. Οἱ δὲ ἧκον ἐπ' αὐτῷ μεγάλῳ ὄντι (13). Ἐξηγήσατο δ' αὐτῷ καὶ ἡ μήτηρ ὄνειρον, ὡς κύουσα αὐτὸν δόξαι κοιμηθεῖσα ἐν τῷ ἱερῷ, ἡνίκα ἐν Μάρδοις ἦν αἰπολοῦσα (14). — « Ἔδοξα γάρ, ἔφη, οὐρῆσαι τοσοῦτον κύουσα, ὦ Κῦρε, σέ, ὥστε ποταμοῦ μεγάλου ῥεύματα ὅμοιον γενέσθαι τὸ πλῆθος τοῦ οὔρου, καὶ κατακλύσαι πᾶσαν τὴν Ἀσίαν· ῥυῆναι δὲ αὐτὸ ἄχρι θαλάττης. » Καὶ ὁ πατὴρ ἀκούσας κελεύει τοῖς ἐν Βαβυλῶνι Χαλδαίοις ὑπερθεῖναι. Κῦρος δὲ τὸν λογιώτατον αὐτῶν καλέσας ἐξηγήσατο· καὶ ὃς ἀποκρίνεται μέγα τε εἶναι τὸ προφαινόμενον ἀγαθὸν καὶ τὴν πρώτην αὐτῷ τιμὴν φέρον ἐν Ἀσίᾳ· δεῖν δὲ κρύπτειν, ὡς μὴ Ἀστυάγης ἀκούσῃ· « κάκιστα γὰρ σέ τε ἀποκτενεῖ, κἀμὲ τὸν κριτῆρα αὐτοῦ. » Ὤμοσαν δὲ ἀλλήλοις μηδενὶ κατερεῖν τὴν ὄψιν μεγάλην τε οὖσαν καὶ οἵαν οὐκ ἄλλην. Ἐκ τούτου πολὺ μείζων (15) ὁ Κῦρος γενόμενος σατράπην τὸν αὐτοῦ πατέρα Περσῶν ἐποίησε, καὶ τὴν μητέρα πλούτῳ τε καὶ δυνάμει Περσίδων πρώτην.

Καδούσιοι δὲ τότε πολέμιοι ἦσαν βασιλεῖ, ἄρχοντα ἔχοντες Ὀναφέρνην (16), ὅστις προδιδοὺς τὸ ἔθνος τὰ βασιλέως ἐφρόνει, καὶ πέμψας ἄγγελον παρὰ Ἀστυάγην ᾐτεῖτο ἄνδρα πιστόν, ὡς σὺν αὐτῷ βουλεύσειε τὰ περὶ τῆς προδοσίας. Καὶ ὃς ἐκπέμπει Κῦρον, ὡς ἂν πάντα συμπράξειεν· ἡμέρᾳ δὲ τεσσαρακοστῇ ὥρισεν αὐτῷ παρ' αὐτὸν εἰς Ἐκβάτανα ἀνελθεῖν. Καὶ ὁ τοῦ ὀνείρου κριτὴς παρεθάρρυνεν αὐτὸν εἰς Καδουσίους ἀπελθεῖν, καὶ φρονήματος ἐνεπίμπλα. Εἰσῄει δὲ Κῦρον, ἅτε φύσει γενναῖον καὶ μεγαλόφρονα, ὡς χρή, θεοῦ συλλαμβανομένου, Πέρσας ἀποστῆσαι, καὶ Ἀστυάγην πειρᾶσθαι τῆς ἀρχῆς παύειν, πιστεύειν τε τῷ Βαβυλωνίῳ τὰ θεῖα κάλλιστα ἐξεπισταμένῳ. Ἐθάρρυνον (17) δὲ ἀλλήλους· ὁ μὲν Βαβυλώνιος Κῦρον ὅτι εἱμαρμένον εἴη αὐτὸν καταλῦσαι Ἀστυάγην καὶ τὴν ἐκείνου βασιλείαν ἑλεῖν, καὶ τοῦτ' αὐτὸς ἄριστα γινώσκειν· ὁ δ' αὖ Κῦρος τὸν Βαβυλώνιον, ὅτι μεγάλων αὐτὸν καταξιώσει, γενομένων τούτων, ἐὰν αὐτὸς βασιλεὺς γένηται. Ἐνεθυμεῖτο δὲ ὡς καὶ Ἀρβάκης παύσας Σαρδανάπαλλον πρότερον τὴν ἐκείνου τιμὴν ἀφέλοιτο. « Καίτοι οὔτε Μῆδοι κρείσσους Περσῶν, οἷς ἐκεῖνος ἐπίστευσεν, οὔτε Ἀρβάκης φρονιμώτερος ἐμοῦ· τύχη δὲ καὶ μοῖρα κἀμοὶ προδείκνυσι (18),

Erat Astyagæ filia valde nobilis et formosa, quam Spitamæ Medo despondet, dote addita Media universa. Tum Cyrus Atradatem patrem et Argosten matrem e Mardis arcessit. Venerunt illi fortuna filii gaudentes. Atque somnium ei mater exposuit, quomodo gravida sibi visa sit, in fano dormiens quo tempore capras apud Mardos pasceret. — « Visa mihi sum, inquit, quum in utero te, Cyre, gestabam, tantam emittere urinæ copiam, ut magni amnis fluentis æquiparanda esset, totamque Asiam inundans ad mare usque proflueret. » Quod audiens pater Chaldæis in Babylone vatibus ad interpretandum jubet proponi. Cyrus igitur vatem celeberrimum advocavit eique somnium narravit. Ille vero respondit bonum portendi permagnum et summam ei in Asia honorem afferens, verum celandum esse, ne audiat Astyages. « Nam ultimo supplicio et te et me interpretem afficeret. » Itaque jurejurando invicem promiserunt, nemini se somnium istud gravissimum et quale aliud nullum, dicturos esse. Deinde ad multo majorem Cyrus potentiam erectus, patrem suum Persarum satrapam constituit, matrem divitiis et dignitate primum inter Persicas mulieres locum tenere effecit.

Cadusii tunc hostili in regem animo erant. Præfectum habebant Onaphernem, qui prodens populum regis commodis prospiciebat; ac misso nuntio ab Astyage virum petebat, cum quo de proditionis ratione iniret consilia. Misit rex Cyrum, quo ad omnia ille socio uteretur; diem autem quadragesimam definivit qua Ecbatana ad se reverti deberet. Somnii quoque interpres hortabatur, ut ad Cadusios proficisceretur, et fiducia eum implebat. Cyro autem, utpote viro strenuo et magnanimo, cogitatio mentem subiit, debere se, deo opitulante, Persas ad defectionem adducere, et tentare ut Astyagis regnum everteret, fidemque habere Babylonio quid dii portenderent optime scienti. Atque invicem se exhortabantur, Babylonius Cyrum, fatis aiens destinatum esse, ut everso Astyagis regno ipse potiretur, idque certissime se compertum habere; Cyrus vero Babylonium, magna ei præmia pollicens, si his ita evenientibus ipse rex esset. Præterea reputabat Arsacem quoque Sardanapallum olim ejecisse sibique honorem ejus vindicasse. « Et tamen neque Medi, quibus fisus ille rem aggressus est, Persis fortiores erant, neque Arbaces me prudentior. Ac quemadmodum illi, sic mihi quoque fortuna fatumque fu-

12. Σπιτάμᾳ] Ἐπιστάμᾳ codex. Spitamæ nupsisse Amytin Astyagis filiam, quam postea ipse Cyrus uxorem duxit, novimus e Ctesia p. 45 *b* et 46 *a*. Ceterum hujus filiæ mentio tam abrupte introducitur, ut nemo non agnoscat excerptorem. Ad nuptiarum illarum solennitatem Cyrus parentes suos advocasse videtur. In seqq. ἐπὶ πρ. πάσῃ M. bene habent. — 13. ἐπ' αὐτῷ μεγάλῳ ὄντι] Hæc mihi suspecta. Nisi excidit participium aliquod, fuisse puto : ἐπ' αὐτῷ μεγαλυνόμενοι. — 14. ἦν αἰπολοῦσα] ἠπολοῦσα codex. Oratio indirecta in media enuntiatione transit in directam. De re cf. Herodot. I, 107 : Τὴν (Μανδάνην) ἐδόκεε Ἀστυάγης ἐν τῷ ὕπνῳ οὐρῆσαι τοσοῦτον, ὥστε πλῆσαι μὲν τὴν ἑωυτοῦ πόλιν, ἐπικατακλύσαι δὲ καὶ τὴν Ἀσίην πᾶσαν. Ὑπερθέμενος δὲ τῶν μάγων τοῖσι ὀνειροπόλοισι τὸ ἐνύπνιον ἐφοβήθη. Aliter Justinus I, 4 : *Hic* (Astyages) *per somnum vidit ex naturalibus filiæ, quam unicam habebat, vitem enatam, cujus palmite omnis Asia obumbraretur*. — 15. μεῖζον cod. In antec. nota v. κριτῆρα pro κριτήν. — 16. Ὀναφέρνην] Infra τὸν ἀφέρνην. Apud Herodot. I, 121 sqq. Cyrus in Persidem ad parentes dimissus, suasore Harpago Persas ad defectionem adducit. — 17. ἐθάρρυνον] ὁ ἐθάρρυνον cod. — 18. προδείκνυσιν intransitive h. l. usurpatur, nisi scribi malis τύχην δὲ ἡ μοῖρα κἀμοὶ προδείκνυσι.

ὥσπερ ἄρα κἀκείνῳ. » Ταῦτα ἐνθυμουμένῳ ὑπήντησε μεμαστιγωμένος ἀνὴρ κόπρον ἐν κοφίνῳ ἐκφέρων, ἐπειδὴ ἐν τοῖς ὅροις γίνεται Καδουσίων· οἰωνισάμενος (19) καθυπερτίθεται τῷ Βαβυλωνίῳ. Ὁ δὲ ἐκέλευσε πυθέσθαι, τίς τε εἴη ὁ ἀνὴρ, καὶ ποδαπὸς γένος. Πυθομένῳ δὲ Κύρῳ ἀποκρίνεται ἐκεῖνος, ὅτι Πέρσης εἴη, Οἰβάρας (20) ὄνομα. Καὶ ὃς ἥσθη πάνυ· ὁ γὰρ Οἰβάρας δύναται Ἑλλάδι γλώσσῃ ἀγαθάγγελος. Ἔφη δ' ὁ Βαβυλώνιος πρὸς Κῦρον, καὶ τἄλλα σύμβολα εἶναι ἄριστα, ὅτι τε Πέρσης ἐστί σοι πολίτης καὶ ὅτι κόπρον ἱππίαν φέρει, ἥτις πλοῦτον καὶ δύναμιν προσημαίνει, ὥσπερ καὶ τοὔνομα λέγει. Ταχὺ δὲ τὸν ἄνθρωπον ὁ Κῦρος παραλαμβάνει, συνεῖναί τε ἐκέλευεν αὐτῷ· ὁ δὲ πείθεται.

Ἐκ τούτου παρὰ Ὀναφέρνην (21) εἰς Καδουσίους ἧκε, καὶ πίστεις λαμβάνει τε καὶ δίδωσι περὶ τῆς προδοσίας· ἐπανήει τε εἰς Μηδίαν· τὸν δὲ Οἰβάραν (22) ἵππῳ τε καὶ στολῇ Περσίδι καὶ θεραπείᾳ ἐτίμησεν, εἶχέ τε πέλας, τὴν γνώμην ὁρῶν ἀγαθὸν, καὶ ἅμα τοῦ Βαβυλωνίου κελεύοντος διαλέγεσθαι αὐτῷ. Ἐκ δὲ τοῦ κατ' ὀλίγον ἑταιριζόμενος ἐποιεῖτο καὶ σύμβουλον καί ποτ' εἰς λόγους ἦλθε τοιούτους, ὡς ἄχθος τὸ ὁρᾶν (23) Πέρσας ὑπὸ Μήδων κακουμένους, καὶ ταῦτα οὐδὲν χείρους ὄντας τὰς φύσεις. Καὶ ὁ Οἰβάρας εἶπεν· « Ὦ Κῦρε, οὐ γάρ ἐστιν ἀνὴρ τὰ νῦν μεγαλόφρων τε καὶ μεγαλογνώμων, ὃς παῦσαι Μήδους ἐθελήσει τῶν κρειττόνων ἄρχειν ἀξιοῦντας. » Καὶ Κῦρος ἔφη· « Πῶς οὐκ ἔστιν, ὦ Οἰβάρα; » — « Ἔστιν μὲν ἴσως, ἀλλὰ πολλῇ καὶ κακῇ ἀτολμίᾳ χρῆται, δι' ἣν οὐδὲν δρᾷ δυνάμενος. » Καὶ ὁ Κῦρος, ἐκπειρώμενος· « Εἰ δὲ φανείη τολμητὴς ἀνὴρ πῶς ἂν δύναιτο τοῦτο κατεργάζεσθαι; » Ὁ δὲ ἀποκρίνεται· « Πρῶτον μὲν Καδουσίους προσαγαγόμενος ἐθέλοντας· Πέρσας μὲν φιλοῦσι, Μήδους δὲ πάνυ μισοῦσι· ἔπειτα δὲ καὶ Πέρσας θαρρύνας τε καὶ ὁπλίσας περὶ μ' ὄντας μυριάδας, καὶ ἀσμένως ἂν ἐθελήσαντας δι' ἃ πάσχουσιν (25) ὑπὸ Μήδων· ἐπιτηδειοτάτη δ' αὐτοῖς πρὸς τοῦτο καὶ ἡ χώρα πετρώδης τε καὶ ὀρεινὴ (26) οὖσα, ἐφ' ἣν εἰ στρατεύειν Μῆδοι θέλοιεν, κακῶς ἀπαλλάξουσι. » Κῦρος δὲ ἠρώτα· « Εἰ ἀνὴρ φανείη ταῦτα δρῶν, συνανακινδυνεύσεις αὐτῷ; » Καὶ ὅς· « Εἰ γὰρ, ὦ Ζεῦ, ἔφη, μάλιστα μὲν σὺ εἴης ὁ τοῖς (27) ἐγχειρῶν, ἐπειδὴ καὶ

turum portenditur. « Hæc apud animum reputanti, ubi ad fines Cadusiorum pervenerat, obiam fit vir, qui flagris cæsus erat, et fimum tunc in cophino exportabat. Quod ominosum ratus Babylonio rem proponit. Is vero sciscitari jussit, quis et cujas vir esset. Sciscitanti ille respondit se Persam esse Œbarem nomine. Quibus Cyrus valde lætabatur. Nam *Œbares* græca lingua significat ἀγαθάγγελος, *boni nuntius*. Ac Babylonius Cyro dixit reliqua quoque signa faustissima esse : quod scilicet Persa ideoque civis tuus est, atque fimum effert equinum, quo divitiæ et potentia portenduntur, uti ipsum nomen indicat. Statim igitur hominem Cyrus assumit ac comitari se jubet; ille vero obtemperat.

Deinde in Cadusiorum terram ad Onaphernen venit, et postquam de proditione fidem dedit et accepit, in Mediam revertitur. Œbarem vero equo et veste Persica ceteroque cultu honoravit et circa se habebat, quum optime affectum videret, hortante simul Babylonio, ut cum eo colloqueretur. Sic paullatim familiaritatem cum eo contrahens consiliorum socium fecit, et quondam in sermonem venit hujusmodi: « Quam grave est, inquit, Persas videre a Medis inique tractari, quum indole minime sint inferiores. » Ad quæ Œbares : « O Cyre, inquit, nullus nunc exstat vir generosus et magnanimus, qui impedire cupiat, ne diutius Medi fortioribus imperare velint. »— « Quidni exstaret talis, Œbare? » — « Fortasse exstat, sed multa et misella ignavia prohibetur ne quid, etsi possit, aggrediatur. » Tum Cyrus explorans : « Sed fac prodire virum audacem; quomodo possit rem perficere? » Respondet alter : « Primum Cadusios sibi adjungens, haud invitos, quum Persas ament, Medos vehementer oderint : deinde etiam Persas exhortans et in arma vocans, numero quadraginta fere millia, qui ob ea quæ a Medis patiuntur ad defectionem paratissimi sunt. Accedit huc, quod maxime idonea ad hoc est regio eorum rupibus montibusque intercepta, in quam si exercitum ducere Medi voluerint, male iis res cesserit. » Dein Cyrus quærit : « Si appareret vir hoc suscepturus, num periculi tu ei socius fores? » « Proh Juppiter, ait, utinam tu maxime vir sis manum his admovens, quandoquidem et pater tuus Persarum

— 19. οἰωνισάμενος] οἰονισαμ. codex. Malim οἰωνισόμενος. Nota deinde vocem καθυπερτίθεται. Ceterum nexus sententiarum excerptorem redolet. — 20. Οἰβάρας] In sqq. codex plerumque Οἰβάρας, raro Οἰβάρας præbet. Posteriora hujus viri fata novimus ex fragmentis Ctesiæ p. 46 et Justino, I, 7 : *Initio regni Cyrus Sæbaren cæptorum socium, quem juxta nocturnum visum ergastulo liberaverat, comitemque in omnibus rebus habuerat, Persis præposuit, sororemque suam ei in matrimonium dedit.* Idem Justinus comparandus cum Nostris est I, 6 : *Lectis ille* (Cyrus) *epistolis* (sc. Harpagi ad defectionem exhortantis, uti apud Herodotum I, 123), *eadem somnio adgredi jussus est, sed præmonitus, ut quem primum postera die obvium habuisset, socium cæptis assumeret. Igitur antelucano tempore ruri iter ingressus, obvium habuit servum de ergastulo cujusdam Medi, nomine Sæbaren. Hujus requisita regione, ut in Persis genitum audivit, demptis compedibus, assumptoque comite regreditur.* In universum Justini de regno Medorum ejusque eversione narratio ita comparata est, ut partim ad Herodoteam, partim ad Ctesianam nostram proxime accedat, multa tamen etiam sibi propria habeat. Quare magna suspicio est Trojum Pompejum vestigia legisse Dinonis, cujus quanta apud Romanos auctoritas fuerit e Cornelii Nepotis testimonio (v. Dinon fr. 27, p. 94) colligitur. — 21. Ὀναφέρνην] τὸν ἀφέρνην cod. — 22. Οἰβάραν] Οἰβάραν cod. h. l. et in sqq. — 23. ὁρᾶν] ὁρῶν cod. — 25. δι' ἃ πασχ.] διαπάσχουσιν cod. Ante θελήσαντες excidisse videtur ἀποστῆναι. — 26. ὀρεινὴ] θρανὴ cod. — 27. τοῖς pro τούτοις e fonte ionico. Nisi scrib. τοῖσδ'.

ὁ σὸς πατὴρ ἄρχει Περσῶν, καὶ σὺ ἐνασυλότατος (28) εἶ καὶ δυνατώτατος· εἰ δὲ μή, ὅστις οὖν ἂν εἴη (29). »

Ἐκ τούτου τὸ ὅλον βούλευμα ἐκκαλύπτει τε αὐτῷ ὁ Κῦρος, καὶ συμβούλῳ χρῆται, ὁρῶν ἄνδρα φρόνιμον καὶ ἀνδρεῖον, καὶ ἐν αὐτῷ πάσας ἔχοντα τὰς ἐλπίδας. Καὶ ὃς συνεπῄνει τε καὶ συνεξώτρυνε, γνώμας τε ἀγαθὰς ὑφηγεῖτο, καὶ ὡς χρὴ πέμψαντα παρὰ Ἀτραδάτην τὸν πατέρα κελεύειν ὁπλίζειν Πέρσας, τῷ λόγῳ μέν, ὡς ἕτοιμοι εἶεν βασιλεῖ ἐπὶ Καδουσίους, τῷ ἔργῳ δ' εἰς ἀπόστασιν· ἔπειτα ὡς χρὴ παρὰ Ἀστυάγου αἰτησάμενον ἡμέρας ἐλθεῖν αὐτὸν εἰς τὴν Περσίδα, ὡς ἱερὰ εὐκταῖα θύσειεν ὑπὲρ βασιλέως καὶ τῆς ἐκείνου σωτηρίας, ἅμα δὲ καὶ τοῦ πατρός, ἐπειδὴ φαύλως ἔχει (30) ὑπὸ νόσου. « Εἰ δὲ ταῦτα πράξει, ἐγχειρητέον ἔσται τῷ σύμπαντι ἀνδρείως. Οὔ τοι (31) δεινόν, ὦ Κῦρε, καὶ ἀποκινδυνεύειν τῇ ψυχῇ μεγάλοις ἐγχειροῦντα ἔργοις, καὶ παθεῖν, εἰ δέοι, τοῦτο ὃ καὶ μηδὲν δρῶντας ἀναμένει παθεῖν. » Ἥσθη τε οὖν ὁ Κῦρος ἐπὶ τῇ γενναιότητι τοῦ ἀνδρός, καὶ ἅμα θαρρύνων αὐτὸν καὶ τὸν ὄνειρον ἐξηγήσατο τῆς μητρὸς καὶ τὴν τοῦ Βαβυλωνίου γνώμην, ἣν εἶπε περὶ αὐτοῦ. Καὶ ὁ Οἰβάρας ἅτε ἀγχίνους πολὺ μᾶλλον αὐτὸν ἐξώτρυνε, καὶ διεκελεύσατο (31*) φυλάττειν τὸν Βαβυλώνιον, ὡς μὴ ἐξάγγελος εἴη βασιλεῖ τοῦ ὀνείρου, « εἰ ἄρα κτείνειν αὐτὸν οὐχ ὑπομένοις, ὅπερ ἦν ἄριστον. » Καὶ ὁ Κῦρος· « Ἀποτρόπαιον [ἂν] εἴη τοῦτό γ', » εἶπεν. Συνεσιτοῦντο δὴ καὶ συνῄεσαν (*) Κύρῳ τὸ ἀπὸ τοῦδε ὅ τε Οἰβάρας καὶ ὁ Βαβυλώνιος. Ἐν δέει δὲ ὢν ὁ Πέρσης, μὴ κατείποι πρὸς Ἀστυάγην ὁ Βαβυλώνιος περὶ τοῦ ὀνείρου, προσεποιήσατο ἱερὰ πάτρια νύκτωρ ἐπιτελεῖν τῇ σελήνῃ, καὶ τὸν Κῦρον ᾔτησε θύματά τε καὶ οἶνον καὶ οἰκέτας καὶ στρώματα καὶ τἄλλα ὧν ἔδει. Ἠξίου δὲ Κῦρον προστάξαι τοῖς θεραπεύουσι πείθεσθαι αὐτῷ. Καὶ ὃς προσέταξέ τε καὶ τῆς θυσίας οὐ μετεῖχεν, Οἰβάρα τεχνήσαντος, [ὃς] παρασκευάζεται (32) τά τε ἄλλα νύκτα καὶ στιβάδας βαθείας, ἐφ' ὧν εὐωχήσονται, καὶ βόθρον ὤρυξεν ἐν τῇ αὐτοῦ σκηνῇ (33) βαθύτατον. Ἐπεὶ δὲ πάντα ἔπραξε, καὶ εὐώχησε τὸν Βαβυλώνιον καὶ ἐμέθυσεν, ὑπέρ τε τὸν βόθρον αὐτῷ κοίτην στορέσας, ὡς κατακλίνει ἐς ταύτην, ὦσεν αὐτὸν εἰς τὸν βόθρον κάτω. Συνενέβαλε δ' αὐτῷ καὶ τὸν οἰκέτην. Καὶ ἅμα ὄρθρῳ Κύρου ἀπάραντος συνωδοιπόρει. Οὐ πολὺ δὲ προελθόντα ἐπεζήτει τὸν ἄνθρωπον ὁ Κῦρος· ὁ δὲ τὸ μὲν πρῶτον ἔφη καταλελοιπέναι αὐτὸν ἔτι καθεύδοντα ὑπὸ μέθης. Ἀγανακτοῦντος δὲ τοῦ Κύρου, τελευταῖον ἐξέφηνε τἀληθές, ὅτι αὐτὸν κτείνειεν, ἐπειδὴ μόνην σωτηρίαν ταύτην ἑώρα Κύρῳ τε καὶ τοῖς Κύρου παισὶν οὖσαν. Λυπηθεὶς δὲ πάνυ ἐπὶ τοῖς πραχθεῖσι καὶ ἔτι μᾶλλον ὀργισθείς, ὥστε μηκέτι προσίεσθαι τὸν Οἰβάραν, αὖθις μετέγνω καὶ προσίετο αὐτόν, συμβούλῳ τε ἐχρῆτο περὶ τῶν αὐτῶν. Τῇ δὲ τοῦ Βαβυλωνίου γυναικὶ πυνθανομένῃ

præfectus est, et tu a violentia tutissimus es et potentissimus; sin minus tu, quicunque demum ille sit. »

Post hæc totum consilium ei Cyrus aperit, socioque utitur, virum prudentem et strenuum esse videns, et qui in ipso omnem spem repositam haberet. Ille vero collaudabat et excitabat probaque consilia suggerebat. Suadebat vero ut, misso nuntio, Atradaten patrem Persas armare juberet, verbo tenus ut regi ad bellum contra Cadusios, reapse ut ad defectionem parati essent; deinde ut ab Astyage veniam peteret per dies aliquot in Persidem abeundi ad sacra votiva facienda pro rege ejusque salute, nec non pro patre ægrotante. « Hæc si obtinueris, toti operi manus admovenda est strenue. Neque sane mirum est, o Cyre, etiam de vita periclitari virum res magnas molientem, et pati, si opus fuerit, id quod etiam nihil peragentes pati sustinent. » Gaudebat Cyrus hac viri fortitudine, simulque ut fiduciam ei adderet, somnium matris, et quomodo id Babylonius interpretatus esset, exposuit. Tum Œbares, vir perspicax, multo magis eum excitabat, atque cohortatus est, ut caveret Babylonium, ne is regi somnium nuntiaret, « si quidem occidere eum non sustineas, quod sane consultissimum foret. » Ad quod Cyrus: « Facinus hoc esset averruncandum. » Igitur ab hoc inde tempore conversari cum Cyro ejusque convictu uti solebant Œbares et Babylonius. Verum metuens Persa ne ad Astyagem Babylonius somnium deferret, simulavit se noctu sacra Lunæ ritu patrio facturum, ad eaque e Cyro petivit hostias, vinum, ministeria, stragula et cetera quibus opus erat. Præterea Cyrum rogavit ut famulos imperata ipsius exsequi juberet. Jussit ille et sacrificio non interfuit, adornante ita rem Œbare, qui tum reliqua noctu comparat, tum strata alta, in quibus epulentur, atque scrobem in tentorio suo effodit profundissimam. Quibus instructis, convivio Babylonium excepit et mero inebriavit, et, ubi in lectum supra scrobem ei stratum recumbit, in scrobem illam detrusit. Simul cum eo etiam famulum dejecit. Et orto diluculo cum Cyro proficiscens iter ingreditur. Nec longe progressum Cyrus de Babylonio quærens compellat. Ille primum quidem respondit se reliquisse eum e crapula adhuc dormientem. Irascente autem Cyro, postremum rem, quæ erat, fatetur, se occidisse eum dicens, quod hanc unam vidisset Cyro ejusque liberis fore salutem. Ob hæc mœrore Cyrus affectus et magis etiam iratus, adeo ut aditum Œbaræ amplius non permitteret, postea tamen, mutato animo, rursus admittebat eum, et consiliario, sicuti antea, utebatur. Uxori vero Babylo-

28. ἐνασ.] ἐνασυλώτατος cod. Nota vocem. — 29. ὅστις οὖν ἂν εἴη] ὅστις ** νείη codex, relicto quattuor fere literarum spatio. In margine notatum: « fort. οὐκ ἄν. » — 30. ἔχει] Malim ἔχοι. — 31. οὔ τοι] οὗτοι cod. Idem mox ἀναμένειν. — 31*. διεκελεύσατο] διεχλευάσατο codex. — * συνῆσαν? — 32. ὃς παρασκ.] vel ὁ δὲ π. scripsi pro τεχνήσαντος παρασκ. quod codex præbet. Deinde fort. leg. ἄλλα [εἰς τὴν] νύκτα. Mox οἰοχησονται cod. — 33. σκηνῇ] σκῇ cod.

περὶ τοῦ ἀνδρὸς εἶπεν, ὅτι ὑπὸ λῃστῶν ἀποθάνοι καὶ ταφείη (34) ὑπ' αὐτοῦ.

Μετὰ ταῦτα παρὰ βασιλέα Κῦρον ἀφικόμενον ὁ Οἰβάρας ἀνεδίδασκε καὶ ἐξώτρυνε τὰ βεβουλευμένα σφίσι δρᾶν καὶ πέμπειν τε εἰς Πέρσας καὶ ὁπλίζειν τοὺς ἐν ἥβῃ καὶ Ἀστυάγην αἰτεῖσθαι δοῦναί οἱ ἡμέρας ὥς τε τὰ ἱερὰ θύσειε καὶ τὸν πατέρα νοσηλεύσειε φαύλως ἔχοντα. Καὶ ὃς ἐπείσθη, τά τε ἄλλα ὅπλα ἤδη ἦν ἕτοιμα, καὶ ὁ Κῦρος ᾐτήσατο βασιλέα τὴν εἰς Πέρσας πορείαν, ὡς ἂν θύσειεν ὑπὲρ αὐτοῦ καὶ ἅμα τὸν πατέρα ἴδοι κακῶς διακείμενον. Ὁ δ' οὐ δίδωσιν αὐτῷ, ὑπ' εὐνοίας συνεῖναι θέλων· καὶ ὁ Κῦρος ἐν ἀθυμίᾳ (35) ἦν Οἰβάρᾳ δηλώσας ὡς ἀποτύχοι. Καὶ ὃς ἐθαρρύνετο αὐτὸν, καὶ αὖθις ἐκέλευε διαλιπόντα ἡμέρας δεῖσθαι αὐτοῦ περὶ τῶν αὐτῶν, καὶ τεύξεσθαι· δεῖν δὲ αὐτὸν θεραπεύειν προθύμως ἔτι μᾶλλον ἢ πρότερον· καὶ ἐπειδὰν δέηται, δι' ἑτέρου τοῦτο ποιεῖν καὶ μὴ δι' αὐτοῦ. Καὶ ὁ μὲν ᾤχετο παρὰ βασιλέα, καὶ τοῦ πιστοτάτου τῶν εὐνούχων ἔχρῃζεν, ὅταν ᾖ καιρὸς, αἰτήσασθαι αὐτῷ τὴν ἄφοδον παρὰ βασιλέως. Ἐπεὶ οὖν ποτε ἑώρα βασιλέα ἐν πολλῇ ὄντα παιδιᾷ τε καὶ μέθῃ, νεύει τῷ εὐνούχῳ λέγειν βασιλεῖ, ὅτι Κῦρος ὁ σὸς δοῦλος αἰτεῖται δοῦναι αὐτῷ ἅ ποτε εὔξατο ἱερὰ ὑπὲρ σοῦ, ὅπως ἂν αὐτῷ εὐμενὴς εἴης, θῦσαι, καὶ ἅμα τὸν αὐτοῦ πατέρα ἀσθενῶς ἔχοντα θεραπεῦσαι. Καὶ ὁ Ἀστυάγης καλέσας Κῦρον καὶ μειδιῶν (36) δίδωσιν αὐτῷ ε' μῆνας ὁρίσας, τῷ δὲ ἕκτῳ ὅπως ἐπανίοι διεκελεύσατο. Προσκυνήσας [δὲ] καθίστησιν ἀνθ' ἑαυτοῦ Τιριδάτην (37) οἰνοχόον βασιλεῖ, ἄχρι αὐτὸς ἐπανίοι. Καὶ ἐπὶ Οἰβάραν ἦλθε γεγηθώς. Ὁ δ' αὐτὸν ἐκέλευσε παραχρῆμα τοὺς οἰκέτας συλλαβόντα ἀπαίρειν· καὶ, ἦν γὰρ αὐτὸς ἐπιμελητὴς, νύκτωρ πάντα εὐτρεπίζει, καὶ ἕωθεν (38) εἰς Πέρσας ὁδοιπόρουν.

Ἡ δὲ τοῦ Βαβυλωνίου γυνὴ, ὃς τὸν ὄνειρον ἔφρασε Κύρῳ, προακηκοῦϊα ἄρα παρὰ τοῦ ἑαυτῆς ἀνδρὸς, ἡνίκα ἔζη, τὴν (39) ὄψιν, ἥντινα ἔφρασεν αὐτῷ ὁ Κῦρος, τελευτήσαντος αὐτῇ τοῦ ἀνδρὸς, συνοικοῦσα τῷ ἐκείνου ἀδελφῷ, ἐκείνης τῆς νυκτὸς συναναπαυομένη ἤκουσε παρ' αὐτοῦ, ὅτι μέγας γενόμενος οἴχοιτο εἰς Πέρσας. Ἡ δὲ αὐτῷ διηγεῖτο τὸν ὄνειρον καὶ τὴν τούτου κρίσιν, ὥσπερ ἤκουσε παρὰ τοῦ ἀνδρὸς, ὅτι βασιλεύσει Περσῶν. Ἕωθεν δὲ ὁ ἀνὴρ ἀτρέμας ἧκε παρὰ Ἀστυάγην, καὶ δι' εὐνούχου ἐρόμενος τὴν εἴσοδον, πάντα ἀπήγγειλεν, ὡς ἀκούσειε παρὰ τῆς ἑαυτοῦ γυναικὸς, ὅτι Κύρῳ ἐφράσθη ὑπὸ τοῦ ἀποθανόντος ἀνδρὸς θεολόγου πρὸς τὴν γενομένην ὄψιν βασιλεῦσαι, καὶ τοῦδ' ἕνεκα (40) ἄρα οἴχοιτο νῦν εἰς Πέρσας· οὐ πάλαι δὲ καὶ αὐτὸς ταῦτα ἀκηκοέναι παρὰ τῆς γυναικός· ἕκαστά τε σαφῶς διηγήσατο τοῦ τε ὀνείρου καὶ τῆς κρίσεως (41). Ἐν πολλῇ δὲ συννοίᾳ γενόμενος Ἀστυάγης πυνθάνεται τοῦ Βαβυλωνίου, τί οὖν χρὴ ποιεῖν. Καὶ ὃς ἔφη· κτείνειν αὐτὸν

nii de marito sciscitanti dixit eum a latronibus interfectum et ab ipso esse sepultum.

Post hæc quum ad regem Cyrus venerat, Œbares quæ cepissent consilia in animum ei revocabat, exhortans ut ea exsequeretur, ut scilicet missis ad Persas nuntiis juventutem in arma vocaret, et ab Astyage dies aliquot sibi posceret, quo sacra faceret patremque morbo laborantem curaret. Quibus Cyrus obtemperans, ubi cetera jam parata erant, a rege in Persidem abeundi veniam petivit, ut sacra pro eo faceret simulque patrem viseret male habentem. At non permisit rex, pro sua in Cyrum benevolentia eum secum volens versari. Qua de repulsa Cyrus Œbarem certiorem faciens magnopere erat sollicitus. Ille vero animum ejus ad fiduciam erigebat, auctorque erat, ut, intermissis aliquot diebus, iterum peteret eadem; ac tum fore ait, ut voti compos fieret. Interim debere eum regi servire multo quam antea alacrius, et precibus si adire eum vellet, id non ipsum sed per alium facere. Cyrus igitur in regiam se contulit, et fidissimum eunuchorum rogavit, ut, ubi tempus foret, pro ipso veniam abeundi a rege peteret. Itaque quum regem quondam hilarem admodum et appotum cerneret, nutu significavit eunucho, ut diceret ei: « Cyrus servus tuus precatur, ut permittas ei quæ vovit sacra pro te, quo benevolus ipsi sis, peragere, et simul curare patrem suum ægrotum. » Tum Astyages Cyrum advocat, et subridens ei quinque mensium spatium concedit, sexto autem redire jubet. Ille vero regem adorat et ipsius loco Tiridatem pincernam regi esse usque ad reditum suum constituit. Deinde lætus venit ad Œbarem, qui confestim, assumptis servis, jubet eum proficisci. Ipse curavit noctu omnia præparari; et primo mane in Persidem iter ingrediuntur.

Interea mulier Babylonii, qui somnium Cyro explicaverat, quum ipsa a marito, dum in vivis adhuc esset, visum hoc illi a Cyro narratum audiisset, et post obitum mariti fratri ejus nupsisset, noctu illa cum eo conquiescens comperit Cyrum ad magnam provectum potentiam in Persidem proficisci. Ipsa autem viro narravit somnium ejusque interpretationem, secundum quam Cyrus rex Persarum futurus esset, quemadmodum ex priore marito audiverat. Illucescente die vir intrepide ad Astyagen se contulit, et aditu per eunuchum petito, totam rem exposuit, quomodo ex uxore audiisset maritum ejus defunctum, theologum, e somnii indiciis nuntiasse Cyrum regno potiturum esse; atque hoc eum consilio nunc in Persidem proficisci dixit; nuper demum ipsum hæc e muliere comperisse. Singulaque de somnio ejusque explicatione accurate enarravit. Astyages, vehementer de his sollicitus, e Babylonio quærit quid sit faciendum. Ille Cyrum, simulac redierit, interfici jussit; nam

34. ταφείη] τὰ φείη cod. — 35. ἐν ἀθυμίᾳ] ἐν θυμίᾳ cod. Possis et : ἐν ἐνθ. Ceterum malim : ἐν ἀθ. ὢν Οἰβάρᾳ ἐδήλωσε. — 36. μειδιῶν] μηδιῶν cod. Mox codex : ἐπάνεισι. — 37. ἀνθ' ἑ. Τιριδάτην] ἀφ' ἑ. Τιριδά cod. — 38. ἕωθεν] ἔσωθεν cod. Mox pro ὃς τὸν codex ὡς τόν. — 39. ἔζη τὴν] ἐζήτην cod. — 40. ἕνεκα] οὕνεκα cod. — 41. κρίσεως] χρηστύος cod.

ἐπανελθόντα ὡς τάχιστα · μόνη γὰρ (42) αὕτη ἀσφάλεια ἂν εἴη. Καὶ ὁ Ἀστυάγης ἀποπεμψάμενος τὸν Βαβυλώνιον μᾶλλόν τι ἐνεθυμεῖτο τοὺς λόγους αὐτοῦ. Εἰς ἑσπέραν δὲ πίνων ἐκάλεσε τὰς παλλακίδας ὀρχηστρίδας οὔσας καὶ κιθαριστρίδας. Καί τις αὐτῶν ᾄδουσα τοιαῦτ' ἔλεγεν· « Ὁ λέων (43) τὸν κάπρον ὑποχείριον ἔχων μεθῆκεν εἰς τὰς λόχμας τὰς ἑαυτοῦ, ἐν αἷς κρείττων γενόμενος πολὺν πόνον αὐτῷ παρέξει, καὶ τελευτῶν ἀσθενέστερος ὢν τὸν ἰσχυρότερον χειρώσεται. » Ταῦτα ᾀδούσης ἐνθύμια ποιεῖται Ἀστυάγης ὡς τείνοντα εἰς αὐτόν. Παραχρῆμα δὴ πέμπει τ' ἱππεῖς ἐπὶ Κῦρον, οἷς ἐκέλευσεν αὐτὸν καλεῖν ὀπίσω· ἐὰν δὲ μὴ ἕπηται, τὴν κεφαλὴν ἀποτεμόντας φέρειν. Οἱ δὲ ᾤχοντο, καὶ ἐπεὶ ἧκον παρὰ Κῦρον, ἔφρασαν τὰ παρ' Ἀστυάγους. Κἀκεῖνος, οἷα ἀγχίνους, εἴτε καὶ Οἰβάρα παραινοῦντος, εἶπε· « Πῶς δ' οὐ μέλλω ἰέναι, καλοῦντός με τοῦ δεσπότου; ἀλλὰ νῦν δειπνήσατε, πρωῒ δὲ χωρῶμεν παρ' αὐτόν. » Οἱ δὲ ταῦτ' ἐπῄνουν. Ὁ δὲ Περσικῶς ὀπτὰ κατακόψας ἱερεῖα πολλὰ καὶ βοῦς, εἱστία τε τοὺς ἱππέας καὶ μεθύσκει· προαπέσταλτο δ' αὐτῷ ἄγγελος ἐπὶ τὸν πατέρα χιλίους ἱππεῖς κελεύων καὶ πεντακισχιλίους πεζοὺς ἐπὶ Ὕρβαν ἑτέραν (44) πόλιν πέμπειν πρὸ ὁδοῦ κειμένην, τοὺς δὲ ἄλλους Πέρσας ὁπλίζειν αὐτὸν τάχιστα, ὡς βασιλέως προστάττοντος· οὐ γὰρ ἐδήλωσε τὸν ὄντα λόγον. Μετὰ δὲ τὴν ἑστίασιν εἰς ὕπνον τετραμμένων τῶν ἱππέων, αὐτός τε καὶ Οἰβάρας ὡς εἶχον ἀναβάντες ἐπὶ τοὺς ἵππους, ἀπελαύνουσι, καὶ ἧκον ἐπὶ τὴν Ὕρβαν ἔτι νυκτὸς οὔσης, καὶ ὁπλίζει ὁ Κῦρος τοὺς ἀνθρώπους· καὶ συντάττει τοὺς παρὰ τοῦ πατρὸς ἥκοντας ὡς εἰς μάχην· καὶ αὐτὸς μὲν ἐν τῷ δεξιῷ ἵσταται, καὶ Οἰβάρας ἐν τῷ εὐωνύμῳ. Καὶ ὁ οἶνος ἀνῆκε τοὺς παρὰ Ἀστυάγους πρωῒ οἰχομένους, καὶ γνόντες Κῦρον διώκουσι. Καὶ ἧκον ἐπὶ τὴν Ὕρβαν, καὶ εὑρόντες ἐκτεταγμένον συμβάλλουσιν ὡς εἰς μάχην. Ἔνθα δὴ πρῶτον πολλὴν ἀνδρείαν (45) Κῦρος ἀποδειξάμενος σὺν τρισὶ Πέρσαις κτείνει περὶ σ' καὶ ν' ἱππεῖς· οἱ λοιποὶ δὲ φεύγουσι παρὰ βασιλέα καὶ ταῦτ' ἀπήγγειλαν. Καὶ ὃς παίσας τὸν μηρὸν εἶπεν· « Οἴμοι ὡς πολλάκις (46) γνοὺς ὅτι οὐ χρὴ κακοὺς εὖ ποιεῖν, ὅμως ἁλίσκομαι χρηστοῖς λόγοις, ὃς καὶ Κῦρον παραλαβὼν πολλῶν κακῶν (47), Μάρδον γένος, ὄλεθρον τηλικοῦτον ἐποίησα κατ' ἐμαυτοῦ (48)· ἀλλὰ καὶ νῦν οὐ χαιρήσει οἷς θέλει (49). » Καὶ παραχρῆμα καλέσας τοὺς στρατηγοὺς ἀθροίζειν τὴν δύναμιν κελεύει. Ὡς δὲ ἠθροίσθη εἰς ρ' μὲν πεζῶν μυριάδας, εἴκοσι δὲ ἱππέων, τρισχίλια δὲ ἅρματα, ἐλαύνει δὴ (50) ἐπὶ Πέρσας. Ἤδη δὲ ὥπλιστο κἀκεῖ ἡ στρατιὰ ὑπὸ Ἀτραδάτα πάντα εἰδότος (51)· καὶ ἦσαν λ' μὲν μυριάδες πελταστῶν, ε' δὲ ἱππέων (52), ρ' δὲ

solam hanc fore securitatem. Dimisso deinde Babylonio, curatius Astyages sermones ejus reputavit, et sub vesperam potans vocavit pellices saltatrices et citharistrias; quarum una canens dixit tale quid : « Leo aprum, quum in potestate haberet, dimisit in latibula sua, ubi viribus auctus multum ei laboris præbebit; et postremo, quum viribus inferior sit, tamen fortiorem subiget. » Hæc illa canente, in animum induxit, ut quæ ad ipsum pertinerent. Confestim igitur equites trecentos ad Cyrum misit, qui revocarent eum, et si non sequeretur, caput ejus abscissum reportarent. Hi profecti ubi ad Cyrum venerunt, mandata Astyagis nuntiant. Ille pro sua sollertia, vel etiam suadente Œbare, respondet : « Quidni rediturus essem, vocante me domino meo? Sed nunc epulemini; cras mane ad regem proficiscemur. » Quod illis probantibus, Cyrus more Persico assatas dissecans hostias multasque boves, convivio excepit equites et inebriavit. Antea vero nuntium ad patrem ablegaverat, jubens eum equites mille quingentos et quinquies mille pedites ad Hyrbam, urbem munitam, in via ipsi percurrenda sitam, mittere, reliquos autem Persas armis quam celerrime instruere, quasi rege ita mandante : nam veram rei rationem non aperuit. Ceterum post convivium equitibus somno se dantibus, Cyrus et Œbares, uti erant, conscensis equis, se proripiunt, et nondum orto diluculo Hyrbam veniunt, ubi incolas Cyrus armat et cum Persis a patre missis in aciem componit. Ipse in cornu dextro, in sinistro Œbares collocatur. Interim quum qui ab Astyage venerant, crapulam edormivissent, re cognita, Cyrum persequuntur, et ubi Hyrbam venerunt, aciem instructam reperientes committunt prœlium. Tunc primum Cyrus egregiæ fortitudinis documentum edens, cum Persis suis circa ducentos et quinquaginta equites occidit. Reliqui fugam arripiunt et cladem regi nuntiant. Astyages vero femur feriens : « Quam sæpe, inquit, ego expertus non esse malos beneficiis afficiendos, nihilominus tamen circumveniri me blandis verbis patior, qui Cyrum ex misellis caprariis excipiens, mardum genere, tantam mihi pestem comparavi. Sed etiam nunc non gaudebit iis quæ molitur. » Ac statim advocatos duces exercitum congregare jubet. Et quum decies centum millia peditum et ducenta millia equitum, et curruum tria millia collecta essent, contra Persas proficiscitur. Interea vero illic quoque exercitus ab Atradate de Cyri consiliis jam edocto instructus erat, trecenta millia

42. γὰρ] περ cod. — 43. Eadem paullo aliter adornata e Dinonis Persicis (fr. 7) narrat Athenaeus XIV, p. 633, C. — 44. Ὕρβαν] Urbs ignota, quantum sciam. Quid vox ἑτέραν, si gennina est, sibi velit, non perspicio. Scribendum puto ἑταίραν, vel ἐχυρὰν quod lat. expressi. — 45. ἀνδρείαν] ἀνδρεῖον cod. Deinde vox τρισὶ vix recte habet. Num τοῖς? — 46. παλλάκις cod. — 47. πολλῶν κακῶν κτλ.] Male hæc procedunt. Durius jungeres πολλῶν κακῶν ὄλεθρον. Fuisse puto παραλαβὼν ἐξ αἰπόλων κακῶν. — 48. ἐμαυτοῦ] ἐμαυτὸν cod. Cum seqq. ἀλλὰ καὶ νῦν οὐ χαιρήσει confer verba Astyagis ap. Herodotum I, 128 : Ἀλλ' οὐδ' ὣς ὁ Κῦρός γε χαιρήσει. — 49. θέλει] θέλῃ cod. — 50. ἐλαύνει δὴ] ἐλ. δὲ cod. — 51. εἰδότες cod. — 52. ἱππέων] sic margo.; in textu ** ων.

δρεπανηφόρα. Ὡς δ' εἰς ἓν συνῆλθε Κύρῳ ἡ δύναμις, παρῄνεσε τούτους. *Ζήτει ἐν τῷ Περὶ δημηγοριῶν.*

Ἐκ τούτου αὐτός τε καὶ ὁ πατὴρ συνέταττον τὴν στρατιὰν, καὶ Οἰβάραν ἀποφαίνουσι στρατηγὸν, ἄνδρα εὔβουλον καὶ δραστήριον, ὃς προκαταλαμβάνει μὲν τὰς στενοπόρους ὁδοὺς φυλακαῖς, καὶ τὰ ὑψηλότατα (53) ὄρη, τὸν δὲ ὄχλον ἐκ τῶν ἀτειχίστων πόλεων εἰς τὰς εὐερκεῖς μετάγει, φρούρια δ' ἔνθα καιρὸς ἦν ἐντειχίζεται. Καὶ μετ' οὐ πολὺ Ἀστυάγης ἧκε σὺν τῷ στρατῷ καὶ τὰς ἐρήμους πόλεις κατέκαε· πρός τε Κῦρον καὶ Ἀτραδάταν τὸν τούτου πατέρα πέμψας ἀγγέλους πολλά τε ἠπείλει καὶ ὠνείδιζε τὴν πρόσθεν πτωχείαν, ἐκέλευσέ τε ὀπίσω παρ' αὐτὸν ἰέναι, δήσειν γὰρ αὐτοὺς μόνον παχείαις πέδαις· « Εἰ δ' ἁλώσεσθε, ἔφη, κακοὶ κακῶς ἀπολεῖσθε (54). » Κῦρος δὲ ἀποκρίνεται· « Οὐκ ἄρα σύγε, ὦ Ἀστυάγη, θεῶν δύναμιν ᾔδεις, ὅς οὐκ οἶσθα (55) ὑπ' ἐκείνων τοὺς αἰπόλους ἐποτρυνθέντας ἐπὶ τάδε τὰ (56) πράγματα, οἷς ἑπόμεθα καὶ εἰς τέλος. Καὶ σοὶ παραινοῦμεν, ὅτι ἡμᾶς καὶ αὐτὸς εὖ ἐποίεις, θεῶν σοι ἐπὶ νοῦν ἀγόντων, ἀπάγειν τὴν δύναμιν καὶ Πέρσας ἐλευθέρους ἐᾶν (57) κρείττους ὄντας Μήδων, ὡς μὴ τούτους δουλούμενος καὶ τῶν ἄλλων ἀποστερηθῇς. » Ταῦτα μὲν ὁ ἄγγελος ἀπήγγειλεν Ἀστυάγῃ. Ὁ δὲ ὑπ' ὀργῆς ἐξάγει τὴν στρατιὰν (58) εἰς μάχην καὶ ἐκτάττει· αὐτὸς δὲ προεκάθητο ἀναβὰς δισμυρίους ἔχων δορυφόρους περὶ αὐτόν. Ἀντεπῄει δὲ Κῦρος, Ἀτρατάδην μὲν ἐν τῷ δεξιῷ κέρατι στήσας, Οἰβάραν δὲ ἐπὶ τῷ εὐωνύμῳ· αὐτὸς δὲ (59) μετὰ τῶν ἀρίστων Περσῶν ἐν μέσοις ἦν. Ἔνθα δὴ δεινὴ μάχη γίνεται· καὶ πλείστους ἔκτεινε Κῦρός τε καὶ οἱ λοιποὶ Πέρσαι. Σχετλιάζων δὲ ὁ Ἀστυάγης ἐπὶ τοῦ θρόνου εἶπεν· « Οἴ μοι τοὺς τερμινθοφάγους Πέρσας· οἷα ἀριστεύουσι. » Καὶ πέμψας ἠπείλει τοῖς ἑαυτοῦ στρατηγοῖς, εἰ μὴ νικήσουσι τοὺς ἀντίους, οἷα πείσονται. Κάμνοντες δὲ οἱ Πέρσαι ὑπὸ πλήθους πολεμίων, ἄλλων ἐπ' ἄλλοις ἐπιόντων, κλιθέντες ἀναχωροῦσιν εἰς τὴν πόλιν, πρὸ ἧς ἐμάχοντο. Εἰσεληλυθότας (60) δὲ θαρρύνει Κῦρος καὶ Οἰβάρας, ὅτι πλείους αὐτοὶ πολεμίων ἔκτειναν, καὶ παραινοῦσι παῖδας μὲν καὶ γυναῖκας εἰς Πασαργάδας τὸ ὑψηλότατον ὄρος ἀποπέμψαι, αὐτοὶ δὲ εἰς αὔριον ἐπεξελθόντες τέλος ἐπιθεῖναι τῇ νίκῃ. « Πρόκειται γὰρ ἀποθανεῖν πᾶσιν, ἢν ἡττηθῶσι (61)· βέλτιον οὖν μετὰ τοῦ νικᾶν, εἰ δέοι παθεῖν τοῦτο, ἐλευθερώσαντας τὴν πατρίδα. » Ταῦτα εἰπόντος, ὀργὴ καὶ μῖσος (62) παρίσταται πᾶσιν ἐπὶ Μήδους, καὶ ἕωθεν ἀναπετάσαντες τὰς πύλας ἐπεξίασιν, ἡγουμένου Κύρου καὶ Οἰβάρα. Ὁ δ' Ἀτραδάτης μετὰ τῶν γερόντων ἐρρύετο τὸ τεῖχος. Ἀντεπίασι δ' αὐτοῖς παμπληθεῖς Ἀστυάγου φάλαγγες σὺν ὁπλίταις τε καὶ ἱππεῦσι. Τῶν

peltastarum, quinque millia equitum et centum currus falcati. Quibus copiis in unum congressis, concione eos Cyrus hortatus est. *Quære in Exc. De concionibus.*

5. Νικόλαος ἀρξάμενος οἷς τε ὁ βασιλεὺς κατήρξατο λόγοις παλιλλογεῖν μειζόνως ἐκδεινῶν, καὶ ὁπόσα ἐκ βασάνων ἢ μαρτυριῶν συνῆγε ** τὴν ἀπόδειξιν τοῦ ἐγκλήματος· μάλιστα δὲ τὴν ἀρετὴν ἐπιπολὺ ἐξηγεῖτο τοῦ βασιλέως ἥπερ εἴς τε τροφὰς καὶ παιδεύματα χρησάμενος τῶν υἱέων, οὐδαμόθεν εὕροιτο ὀνησιφόρον αὐτὴν, περιπταίων ἑτέροις ἀφ' ἑτέρων. Καίτοι γε οὐχ οὕτω θαυμάζειν τῶν προτέρων τὴν ἀβουλίαν· νεωτέρους γὰρ καὶ κακίᾳ συμβούλων διεφθαρμένους ἀπαλεῖψαι τὰ τῆς φύσεως δικαιώματα, ἀρχῆς θᾶσσον ἢ χρῆν μεταποιεῖσθαι σπουδάσαντας· Ἀντιπάτρου δ' ἂν δικαίως τὴν μιαρίαν καταπλαγῆναι, μὴ μόνον ὑπὸ τοῦ πατρὸς εὐεργετηθέντα τὸν λογισμὸν, ὥσπερ τὰ ἰοβολώτατα τῶν ἑρπετῶν μὴ μαλαχθέντος, καίτοι γε κἀκείνοις τινὸς ἐγγινομένης μαλακίας τοῦ ἀδικεῖν τοὺς εὐεργέτας, ἀλλὰ μηδὲ τὰς τύχας τῶν ἀδελφῶν πρὸς τὸ οὐ μιμητὴν αὐτῶν καταστῆναι τῆς ὠμότητος ἐμποδὼν στήσαντος. « Καίτοι γε, ὦ Ἀντίπατρε, τῶν ἀδελφῶν μηνυτής τε ὢν τολμήσειαν αὐτὸς ἦς, καὶ ἐρευνητὴς τῶν ἐλέγχων καὶ κολαστὴς τῶν πεφωραμένων. Καὶ οὐ τοῦ ἐπ' ἐκείνοις ἐγκαλοῦμεν θυμῷ χρῆσθαι μὴ ἐλλείποντος, ἀλλὰ τοῦ μιμεῖσθαι τὴν ἀσέλγειαν αὐτῶν σπουδάσαντος ἐκπεπλήγμεθα, εὑρίσκοντες κἀκεῖνα οὐκ ἐπ' ἀσφαλείᾳ τοῦ πατρὸς, ἀλλ' ἐπ' ὀλέθρῳ τῶν ἀδελφῶν πεπραγμένα, ὅπως μισοπονηρίᾳ τῇ κατ' αὐτῶν φιλοπάτωρ εἶναι πεπιστευμένος, ἀδεεστέραν ἐπ' αὐτῷ κακουργεῖν παραλάβοις δύναμιν· ὃ δὴ καὶ τοῖς ἔργοις παρέστησας. Ἅμα δὲ καὶ τοὺς ἀδελφοὺς ἀνῄρεις, ἐφ' οἷς ἤλεγχες πονηροὺς γεγονότας, καὶ τοὺς ὁμοπραγήσαντας αὐτοῖς οὐχ ὑπεδίδους, φανερὸν τοῖς πᾶσι καθιστὰς, ὡς καὶ συνθήκην πρὸς αὐτοὺς κατὰ τοῦ πατρὸς ποιησάμενος, ἐπανείλου κατηγορεῖν, βουλόμενος σοὶ τὴν ἐπιβουλὴν τῆς πατροκτονίας κερδαίνεσθαι κατὰ μόνας, καὶ δυοῖν ἀγώνοιν εὐφροσύνην καρπούμενος, τρόπου τοῦ σοῦ ἀξίαν, φανεροῦ μὲν τοῦ κατὰ τῶν ἀδελφῶν, ᾧ καὶ ἠγάλλου ὡς ἐπὶ τοῖς μεγίστοις, καὶ ἦν ἄξιον οὕτω φρονεῖν, εἰ δὲ μή γε, σὺ χείρων ἦς κρύπτειν δόλον κατὰ τοῦ πατρὸς συντιθεὶς, ἐκείνους μὲν οὐχ ὡς τῷ πατρὶ ἐπιβεβουλευκότας μισῶν (οὐ γὰρ ἂν ἐξώκειλας αὐτὸς ἐπὶ πρᾶξιν παραπλησίαν), ἀλλ' ὡς διαδόχους τῆς ἡγεμονίας σου δικαιότερον ἂν γενομένους· τὸν δὲ πατέρα ἐπισφάζειν τοῖς ἀδελφοῖς *, ἵνα θᾶσσον ὡς ἐκείνων ἐπικαταψεύσαιο μὴ ἐλεγχθῇς, καὶ ὧν αὐτὸς δίκας παρασχεῖν ἄξιος γένοιο, ταύτην παρὰ τοῦ δυστυχοῦς εἰσπράξαιο πατρὸς, ἐπινοῶν πατροκτονίαν οὐ κοινὴν, ἀλλ' οἵαν μέχρι νῦν οὐχ ἱστόρησεν ὁ βίος· οὐχ υἱὸς γὰρ μόνον πατρὶ ἐπεβούλευες, ἀλλὰ καὶ φιλοῦντι καὶ εὐεργετηκότι, κοινωνὸς τῆς βασιλείας ὢν τοῖς ἔργοις καὶ διάδοχος προφανθεὶς, καὶ τὴν μὲν ἡδονὴν τῆς ἐξουσίας ἤδη προλαμβάνειν μὴ ἐπικεχωλυμένος, ἐλπίδα δὲ τὴν εἰσαῦθις γνώμῃ τοῦ πατρὸς καὶ γράμμασι προησφαλισμένος· ἀλλ' οὐκ ἄρα τῇ Ἡρώδου ἀρετῇ τὰ πράγματα, γνώμῃ δὲ καὶ πονηρίᾳ ἔκρινες τῇ ἑαυτοῦ, βουλόμενος

eum rogasset rex, ut reliqua adderet, quæ pertinerent ad criminum probationem, persequebatur....

5. Nicolaus accusationem a rege cœptam atrocius persequens, argumenta omnia ad eam firmandam, quæ ex quæstionibus aut testium fide haberi poterant, densavit. Inprimis vero regis virtutem prædicabat, et merita in bene educandis instituendisque liberis, quorum ille non modo fructum perciperet nullum, sed inde in alias ex aliis incideret calamitates. Neque tamen adeo se mirari priorum filiorum temeritatem: fuisse enim juvenes, et a malis consultoribus corruptos, ut majori quam oporteret fruendi imperii festinatione a naturæ legibus desciscerent. At Antipatri stupendum plane scelus, quem tot patris merita non flexerint, venenati in morem animantis, nisi quod hujus quoque generis aliquid creditur beneficiis emolliri; nec fratrum miseranda exempla absterruerint, quo minus eos imitaretur obfirmato in duritatem animo. Atqui tu ipse, inquit, Antipater, index fuisti facinoris fratrum, tu argumenta suppeditasti, tu in convictos ut animadverteretur fecisti. Nec id culpamus, quod in illis iram satiasti: sed hoc miramur, te tam subito æmulatum ipsorum improbitatem: et hinc discimus, quæ fecisti antea, in iis propositam fuisse non salutem patris, sed fratrum perniciem, dum insectando scilicet ipsorum malitiam id consecutus, ut patris amans filius crederetis, majores inde vires et audaciam ad scelus aggrediendum sumeres. Docet hoc res ipsa. Fratres sustulisti ob ea quæ admiserant: conscios atque adjutores eorum non dedidisti, ut facile appareat, te tacito cum his fœdere inito accusationem aggressum, nimirum, ut solus parricidii compos fieres, et duplicem, sed utramque tuo dignam ingenio perciperes voluptatem: palam quidem confectis fratribus, quo nomine, tanquam rem præclare gessisses, ultro gloriaris, nec injuria; sin minus, tu illis pejores, qui clam patris vitæ insidiatus es, illos, non quod non patri moliti essent necem, odio habens (nam id si esset, non te obligasses eodem crimine), sed quod regni heredes essent justiores. Patrem autem interficere voluisti, scilicet fratribus superadditum, ut periculum effugeres, ne, quæ in eos calumniatus es, detegerentur, et quæ tu meritus eras supplicia, ea de infelici patre exigeres: repertor non vulgaris parricidii, sed quale hactenus ignorat hominum vita. Non enim tantum patri filius insidiatus es, sed et amanti te, beneficiis ab eo affectus, re ipsa jam particeps regni et successor designatus: ita ut voluptatem imperii re ipsa jam perciperes, et spem plenæ possessionis certissimam haberes, conscripta patris voluntate. At tu non Herodis bonitate, sed pravitate ingenii tui res metiebaris, hoc agens, ut patri indulgentissimo par-

τοῦ πάντων σοι ὑπακούσαντος πατρὸς καὶ τὸ μέρος ἀφαιρεῖσθαι· καὶ ὃν προσεποίου τοῖς λόγοις σώζειν, τοῖς ἔργοις τοῦτον ἀφανίσαι ζητῶν, καὶ μὴ μόνον αὐτὸς πονηρὸς καθιστάμενος, ἀλλὰ καὶ τὴν μητέρα ὧν ἐπενόεις πιμπλὰς, καὶ στασιοποιῶν τὴν εὔνοιαν τοῖς ἀδελφοῖς, καὶ τολμῶν θηρίον ἀποκαλεῖν τὸν πατέρα, παντὸς ἑρπετοῦ χαλεπωτέραν τὴν διάνοιαν κατεσκευασμένος, ᾗ τὸν ἐκεῖνον ἰὸν ἐπὶ τοὺς συγγενεστάτους καὶ τοὺς ἐπὶ τοσούτοις εὐεργέτας παρεκάλεις ἐπὶ συμμαχίαις φυλάκων, καὶ τέχναις ἀνδρῶν καὶ γυναικῶν φρασσόμενος κατὰ τοῦ γέροντος, ὥσπερ οὐκ ἀρκούσης τοῦ τῆς διανοίας μῖσος τὸ ὑποικουροῦν παραστῆσαι. Καὶ νῦν ἐλήλυθας μετὰ βασάνους ἐλευθέρων, οἰκετῶν, ἀνδράσι καὶ γυναιξὶ διὰ σὲ γεγονυίας, μηνύσεις τῶν συνωμοτῶν, ἀντιλέγειν τῇ ἀληθείᾳ σπεύδων, καὶ οὐχὶ μόνον τὸν πατέρα ἀναιρεῖν μεμελετηκὼς ἐκ τοῦ ἀνθρωπείου βίου, ἀλλ' ἤδη καὶ νόμον κατὰ σοῦ γεγραμμένον, καὶ τὴν ἀρετὴν τοῦ Οὐάρου, καὶ τοῦ δικαίου τὴν φύσιν. Οὕτως ἄρα τῇ ἀναιδείᾳ πέποιθας, ὥστε καὶ βασανίζεσθαι ἀξιοῖς, καὶ ψευδεῖς λέγων τὰς βασάνους τῶν προβεβασανισμένων, ἵν' οἱ μὲν ῥυόμενοί σου τὸν πατέρα ἐκκρουσθῶσιν τοῦ ἠληθευκέναι, αἱ δὲ σαὶ βάσανοι δοκῶσι πισταί. Οὐ ῥύσῃ, Οὐάρε, τὸν βασιλέα τῆς ἐπηρείας τῶν συγγενῶν; οὐδὲ ἀπολεῖς πονηρὸν θηρίον, ἐπ' ὀλέθρῳ μὲν τῶν ἀδελφῶν εὔνοιαν προσποιούμενον τοῦ πατρὸς, ἔνθα δὲ μέλλοι κατὰ μόνας ταχέως ἀποίσεσθαι τὴν βασιλείαν, πάντων αὐτῷ θανασιμώτατον ἀναφαινόμενον; γνοὺς ὅτι πατροκτονία κοινόν ἐστιν ἀδίκημα καὶ τῆς φύσεως καὶ τοῦ βίου, πεφηνυῖα οὐδὲν ἧσσων ** ὡς τοῦ βεβουλευμένου, καὶ ὁ μὴ κολάζων ἀδικεῖ τὴν φύσιν. »

6. Προσετίθει δὲ ἤδη τὰ τῆς μητρὸς Ἀντιπάτρου, ὁπόσα πρός τινας ἦν κουφολογίᾳ γυναικείῳ εἰρημένα, μαντείας τε καὶ θυσίας ἐπὶ τῷ βασιλεῖ γεγονυίας, καὶ ὁπόσα μετὰ τῶν Φερώρα γυναικῶν Ἀντιπάτρῳ ἠσέλγητο μετὰ οἴνου καὶ λύμης ἐρωτικῆς, τῶν τε βασάνων τὰς ἀνακρίσεις καὶ ὁπόσα μαρτυριῶν ἐχόμενα· πολλὰ δὲ καὶ παντοῖα ἦν τὰ μὲν προητοιμασμένα, τὰ δὲ πρὸς τοῦ ὀξέως ἀπαγγέλλεσθαί τε καὶ βεβαιοῦσθαι ἐφηυρημένα.

95 a.

Idem XVII, 9,6 : Καὶ Ἀντίπατρος μὲν τοιάδε εἰπὼν, καὶ μαρτύρων παραστάσεσι τὰ εἰρημένα κρατυνάμενος πολλοῖς τῶν συγγενῶν, παύεται τοῦ λέγειν. Ἀνίσταται δὲ Νικόλαος ὑπὲρ Ἀρχελάου καὶ ἔλεγεν, τὰ μὲν ἐν τῷ ἱερῷ γνώμῃ τῶν πεπονθότων ἀνατιθεὶς μᾶλλον ἢ ἐξουσίᾳ τοῦ Ἀρχελάου· τοὺς γὰρ ἐπὶ τοιοῖσδε ἄρχοντας, οὐ μόνον τῷ καθ' αὐτοὺς ὑβρίζοντι εἶναι πονηροὺς, ἀλλὰ καὶ τῷ ἀναγκάζοντι εἰς τὴν ἀμυ-

tem quæ ei restabat de imperio auferres, et cujus conservator volueras dici, eum re ipsa conareris interficere : ac quasi non satis esset temet malum esse, matrem etiam tuis pessimis consiliis implevisti, et fratrum concordiam dissociasti. Atque patrem feram appellare ausus es, ipse pessimos serpentes exsuperans feritate animi, unde illud virus in proximos sanguine et tantorum tibi bonorum auctores in promptu esset, stipato satellitiis, armato astubus, nec virorum tantum sed etiam mulierum adversus senem, quasi tuus ille odio tam injusto insessus animus ad maleficia non sufficeret. Et nunc apparere hic audes, ut post tortos homines, liberos, servos, viros, feminas, tuam unius ob causam, post tot judicia eorum qui tecum conspiraverant, veritatem oppugnes : quasi, quod patrem rebus humanis voluisti eximere, parum sit, nisi insuper evertas legem in te scriptam, et Vari æquitatem et ipsam vim justitiæ. Itane tuæ confidis audaciæ et confidentiæ, ut etiam tormentis temetipsum subjici velis, dum prius habitis quæstionibus fidem detrahis, ut illi scilicet, qui patrem tuum salvum voluerunt, mendaces habeantur, illis vero credatur quæstionibus, quas tu rexisti? Quando regem liberabis, Vare, a consanguineorum injuriis? quando exstingues portentum illud hominis, eum dico, qui in fratrum perniciem patris amorem simulavit, ac deinde, quum solus brevi regno esset potiturus, fata ejus maxime omnium præcipitare voluit? Scis quippe parricidium communem in humanum genus universum esse injuriam, et naturæ pariter ac vitæ hominum infestum, nec ideo minus ** ut tantum modo cogitatum; et qui non punit, naturæ ipsi facit injuriam. »

6. Addidit super hæc Nicolaus quædam a matre Antipatri muliebri garrulitate effusa, consultos vates et sacra facta, quibus rex devoveretur; et quæ in Pheroræ uxores Antipater in vino atque amoris æstu proterve fecerat. Tum vero repetiit, quæ tormentis et testimoniis comperta erant : multa autem et varia erant partim ex præmeditatione indicata, partim ex tempore et subinde confirmari reperta.

95 a.

Antipater talia locutus multisque e consanguineis ad ea quæ dixerat testimoniis suis firmanda adhibitis, finem dicendi fecit. Surrexit vero Nicolaus, qui Archelai causam egit, dixitque, illa quidem, quæ in templo facta, obstinatis potius eorum animis, qui passi sint, imputans quam Archelai potestati. Nam talia cœptantes non eo tantum injustos esse, quod innocentes vexent, sed etiam quod pacis et æqui amantes in ultionem impellant. Hos autem

95 a. Interfecto Antipatro, mox defunctus est Herodes, qui secundo, quod paullo ante mortem scripserat, testamento successorem regni constituerat Archelaum filium. Is antequam Romam proficisceretur, ut Cæsar testamentum patris auctoritate sua confirmaret, Judæorum seditionem compescuit. Scilicet quum postulatis eorum non obtemperatum esset, festi tempore seditiosos in fano cœtus habebant, adeoque se gerebant insolenter, ut vim vi Archelaus repel-

ναν αὐτῶν εὐγνωμονεῖν προαιρουμένους. Ὡς δὲ πολέμια ἔδρων λόγῳ μὲν κατ' Ἀρχελάου, τὸ δὲ ἀληθὲς εἰς Καίσαρα, φανερὸν εἶναι. Τοὺς γὰρ ὑβριοῦντας, κωλύτας παραγενομένους καὶ ὑπ' Ἀρχελάου πεπομφότας, κτεῖναι ἐπιτιθεμένους, οὔτε τοῦ Θεοῦ οὔτε τοῦ νόμου τῆς ἑορτῆς ἐν φροντίδι γενομένους, ὧν Ἀντίπατρον οὐκ αἰσχύνεσθαι ἐκδικητὴν καθιστάμενον ἐπὶ θεραπείᾳ ἔχθρας τῆς αὐτοῦ πρὸς Ἀρχέλαον, ἢ μίσει τοῦ ἀρετῇ δικαίου. Οἱ παρελθόντες καὶ μὴ πρὸς διανοουμένους ἄρχοντες ἀδίκων ἔργων, οὗδε εἰσὶν οἱ βιαζόμενοι καὶ μὴ θέλοντας τοὺς ἀμυνομένους ἐφ' ὅπλα χωρεῖν. Ἀνετίθει δὲ καὶ τὰ λοιπὰ πᾶσι τοῖς ἐν βουλῇ τῶν κατηγόρων· οὐδὲν γὰρ ὅ τι μὴ οὐ μετὰ γνώμης τῆς αὐτῶν γεγενημένον αἰτίᾳ τοῦ ἀδικεῖν ὑπάγεσθαι. Οὐ τῇ φύσει τοιούτως αὐτὰ γεγονότα πονηρὰ εἶναι, ἀλλὰ τῷ βλάψειν ἂν δοκεῖν Ἀρχέλαον. Τοσήνδε αὐτοῖς εἶναι βουλὴν τοῦ ὑβριοῦντος εἰς ἄνδρα συγγενῆ, καὶ πατρὸς μὲν εὐεργέτην, συνήθη δὲ αὐτοῖς καὶ διὰ παντὸς οἰκείως πεπολιτευμένον. Τάς γε μὴν διαθήκας ὑπό τε σωφρονοῦντος γεγράφθαι τοῦ βασιλέως, καὶ κυριωτέρας εἶναι τῶν γεγραμμένων πρότερον, διὰ τὸ Καίσαρα δεσπότην τῶν ὅλων καταλελεῖφθαι πρὸς τὴν κρίσιν τῶν ἐν αὐταῖς γεγραμμένων· μιμήσεσθαί τε οὐδαμῶς Καίσαρα τὴν ὕβριν αὐτῶν, οἳ τῆς Ἡρώδου παντοίως ἀπολαύσαντες παρ' ὃν ἔζη καιρὸν δυνάμεως, τὰ πάντα ἐπὶ ὕβριν γνώμης ἐπείγοιντο αὐτοῦ, οὐδ' αὐτῶν περὶ τὸν συγγενῆ τοιούτων γεγονότων. Οὔκουν Καίσαρά τε ἀνδρὸς ὑπ' αὐτῷ πεποιημένου τὰ πάντα καὶ φίλου καὶ συμμάχου καταλύσειν τὰς διαθήκας, ἐπὶ πίστει τῇ αὐτοῦ γεγραμμένας, οὐδὲ μιμήσεσθαι κακίαν τὴν ἐκείνων τὴν Καίσαρος ἀρετὴν καὶ πίστιν, πρὸς ἅπασαν τὴν οἰκουμένην ἀνενδοίαστον γενομένην, καὶ μανίαν καὶ λογισμοῦ ἔκστασιν καταχρίνειν ἀνδρὸς βασιλέως, υἱεῖ μὲν ἀγαθῷ τὴν διαδοχὴν καταλελοιπότος, πίστει δὲ τῇ αὐτοῦ προσπεφευγότος· οὔτε ἁμαρτάνειν Ἡρώδην ποτὲ περὶ κρίσιν τοῦ διαδόχου, σωφροσύνῃ κεχρημένον ἐπὶ τῇ Καίσαρος γνώμῃ τὰ πάντα ποιεῖσθαι.

7. Καὶ Νικόλαος μὲν τοιάδε διελθὼν, καταπαύει τὸν λόγον. Καῖσαρ δὲ Ἀρχέλαον προσπεσόντα αὐτῷ πρὸς τὰ γόνατα φιλοφρόνως ἀνίστη φάμενος ἀξιώτατον εἶναι τῆς βασιλείας.

homines verbo quidem in Archelaum patrasse hostilia, re ipsa autem in Cæsarem, uti pateat. Constat enim (inquit), quos ad vim ac injuriam prohibendam Archelaus miserat, occisos ab illis neque Deum neque fas dierum sanctissimorum reverentibus. Etsi sunt, quorum non puduit Antipatrum suscipere tutelam, sive ut odio in Archelaum suo morem gereret, sive quod jus et æquum omne aversetur. Certe qui adoriuntur alios, nihilque mali suspicantes injuriis lacessunt, hi sunt, qui nolentes cogunt sui tuendi causa ad arma recurrere. Tum reliquorum omnium, quæ objecta fuerant, causam assignavit iis ipsis, qui consilio erant accusatoribus. Nihil enim esse quod non illorum instinctu factum jam in injuriæ *tanquam ab Archelao commissæ* accusationem producatur : unde color quæratur injuriæ, quod non ipsis factum sit suasoribus. Neque ea per se esse improba, sed in odium Archelai ita referri, ut improba videantur. Tanto illos agi studio lædendi cognatum hominem de ipsorum parente bene meritum et ipsos omnibus amicitiæ officiis prosecutum. Testamentum a patre factum bene mentis compote, et haud dubie posteriores tabulas potiores esse prioribus, eoque magis, quod Cæsari omnium, quæ in iis scripta sint, plenissimum arbitrium relinquatur. Non timendum, ne horum iniquitatem Cæsar imitetur, qui Herodis, ex cujus viventis potentia fructus plurimos ceperint, nunc mortui voluntatem oppugnent, idque satis sibi conscii, neutiquam se de Herode ita meritos, ut Archelaus fuerit. Non eum esse Cæsarem, qui viri amici, bellorum socii, qui in omnibus ex Cæsare pendere semper voluerit, rescindat testamentum suæ commissum fidei. Multum ab horum malignitate abfuturam Cæsaris virtutem ac fidem toti humano generi testatissimas, neque id in eum cadere, ut non sanæ mentis pronuntiet regem, qui primum filio bono hereditatem reliquerit, deinde in hoc ipsius Cæsaris fidem imploraverit. Quando testamentum condens Herodes ita sapuerit, ut Cæsaris arbitratui cuncta submitteret, in herede quidem eligendo desipere non potuisse.

Hæc fere quum oratione percurrisset Nicolaus, finem dicendi facit. Cæsar autem Archelaum, qui se ad pedes ejus abjecerat, comiter allevavit, regno dignissimum esse dicens.

96.

Joseph. A. J. XVII, 11, 3 : Τοιαῦτα δὲ τῶν Ἰουδαίων εἰρηκότων, Νικόλαος τούς τε βασιλεῖς ἀπήλλασσε τῶν ἐγκλημάτων, Ἡρώδην μὲν, διὰ τὸ παρ' ὃν ἔζη χρόνον

96.

Quum autem Judæi ejusmodi orationem habuissent, Nicolaus reges de criminibus purgavit, Herodem quidem, quod nulla de re ab illis accusatus fuerit quamdiu viveret,

lens ter mille Judæos occideret. Post hæc Romam profectus præter alios etiam Nicolaum nostrum secum abduxit (Joseph. XVII, 9, 3). Eodem autem tempore Romam venit Antipas, alius Herodis filius, qui quum primo testamento hæres designatus esset, consiliis cedens amicorum (inter quos Ptolemæus frater Nicolai), successionem regni surripere Archelao moliebatur. Re ad Cæsarem delata, contra Archelaum verba facit Antipater, filius Salmones, quæ soror Herodis erat. Exprobrat autem adversario tum alia complura, tum illud maxime, quod in Judæos scelus commisisset, et quod antequam licuisset Cæsaris venia, arbitratu suo res administrasset. His expositis subjungit Josephus quæ nostro fragmento leguntur.

96. In antecedentibus Josephus narravit quomodo Judæorum legati apud Cæsarem de Herodis et Archelai sævitia conquesti petiverint ut suis sibi legibus vivendi sub Romanorum tutela detur potestas.

τυχεῖν ἀκατηγόρητον, οὐ γὰρ δεῖν τοὺς ἐγκαλεῖν ἔχοντας ἐπὶ μετρίοις καὶ παρὰ ζῶντος τιμωρίαν λαβεῖν δυναμένους ἐπὶ νεκρῷ κατηγορίαν συντιθέναι, τὰ δὲ ὑπ' Ἀρχελάου πραχθέντα ὕβρει τῇ ἐκείνων ἀντετίθει, οἳ ὀριγνώμενοι πραγμάτων παρὰ τοὺς νόμους, καὶ σφαγῆς ἄρξαντες τῶν κωλύειν ὑβρίζοντας προμηθουμένων, ἀμύνης γενομένης ἐγκαλοῖεν. Ἐνεκάλει δὲ νεωτεροποιίας αὐτοῖς καὶ τοῦ στασιάζειν ἡδονὴν ἀπαιδευσίαν τε τοῦ ἕπεσθαι δίκῃ καὶ νόμοις, ὑπὸ τοῦ θέλειν τὰ πάντα νικᾶν. Ταῦτα μὲν οὖν Νικόλαος.

neque fas esse ut qui apud æquos rerum judices accusare et de vivente pœnam sumere potuerint, mortuo accusationem conflarent; quæ vero ab Archelao acta essent, ad illorum improbitatem injuriasque referebat, qui quum res contra leges affectassent, et illorum cædes facere cœpissent, quibus curæ erat illos ab injuriis prohibere, nunc de injuriis vindicatis quererentur. Iisque objecit rerum novarum studium, quodque seditionibus delectarentur, ut qui justitiam colere legibusque parere nescirent, quod in omnibus vincere vellent. Et hæc quidem Nicolaus.

ΕΚ ΒΙΒΛΙΩΝ ΑΔΗΛΩΝ.

97.

Josephus Ant. Jud. I, 3 : Ἡσίοδός τε καὶ Ἑκαταῖος καὶ Ἑλλάνικος καὶ Ἀκουσίλαος καὶ πρὸς τούτοις Ἔφορος καὶ Νικόλαος ἱστοροῦσι τοὺς ἀρχαίους ζήσαντας ἔτη χίλια. Eadem Syncell. p. 43, A.

98.

Bekker. Anecd. Gr. p. 367, 24 : Ἀκολασία Θουκυδίδης ἔφη, ἀκολαστία δὲ Ἄλεξις, ἀκολαστότατα δὲ Ἀριστοτέλης, καὶ ἀκολαστότερα Νικόλαος.

E LIBRIS INCERTIS.

97.

Hesiodus, Hecatæus, Hellanicus, Acusilaus, nec non Ephorus ac Nicolaus veteres olim ad mille annos vitam produxisse aiunt.

98.

Ἀκολασία Thucydides dixit, ἀκολαστία vero Alexis, ἀκολαστότατα Aristoteles, et ἀκολαστότερα apud Nicolaum legitur.

ΒΙΟΣ ΚΑΙΣΑΡΟΣ.

99.

ΠΕΡΙ ΤΗΣ ΚΑΙΣΑΡΟΣ ΑΓΩΓΗΣ.

Exc. De virt. : Ὅτι εἰς τιμῆς ἀξίωσιν οὕτω (1) προσεῖπον οἱ ἄνθρωποι, ναοῖς τε καὶ θυσίαις γεραίρουσιν, ἀνά τε νήσους καὶ ἠπείρους διῃρημένοι, καὶ κατὰ πόλεις καὶ ἔθνη, τό τε μέγεθος αὐτοῦ τῆς ἀρετῆς καὶ τὴν εἰς σφᾶς εὐεργεσίαν ἀμειβόμενοι. Δυνάμεως γὰρ καὶ φρονήσεως εἰς τὰ πρῶτα ἀνελθὼν οὗτος ὁ ἀνὴρ, πλείστων μὲν ἦρξεν ἀνθρώπων τῶν διὰ μνήμης, μακροτάτους τε ὅρους ἐποιήσατο τῆς Ῥωμαίων δυναστείας, εἴς τε τὸ βεβαιότατον οὐ τὰ φῦλα μόνον καὶ Ἑλλήνων καὶ βαρβάρων, ἀλλὰ καὶ αὐτὰς τὰς διανοίας κατεστήσατο, τὸ μὲν πρῶτον σὺν ὅπλοις, μετὰ δὲ ταῦτα καὶ ἄνευ ὅπλων, ἐθελουσίους τε προσαγόμενος διὰ τὸ (2) μᾶλλον ἔτι ἔνδηλος γίνεσθαι τῇ φιλανθρωπίᾳ, ἔπεισεν ἑαυτοῦ ἀκροᾶσθαι, ὧν δὴ (3) πρότερον οὐδὲ ὀνόματα ἠπίσταντο οἱ ἄνθρωποι, οὐδέ τινος ὑπήκοοι ἐγένοντο διὰ μνήμης, ἡμερωσάμενος (4), ὁπόσοι ἐντὸς (5) Ῥήνου ποταμοῦ

VITA CÆSARIS.

99.

DE CÆSARIS INSTITUTIONE.

Huic viro cognomen *Augusti* in honoris testimonium imposuerunt, templisque eum et sacrificiis venerantur per insulas continentesque dispersi populi atque civitates, ut et virtutes ipsius maximas et collata in se beneficia rependant. Hic enim ille est, qui ad summum tam prudentiæ quam potentiæ culmen evectus, omnium quos memoria complectitur hominum latissime regnavit et longissimis terminis Romanum sepsit imperium, ac firmissime Græcorum barbarorumque non populos tantum sed animos etiam sibi adjunxit, primum quidem armis, mox vero etiam nulla usus vi, sed volentes lubentesque ad se pelliciens, quum humanitate magis etiam quam viribus inclaruisset, vel iis obsequium persuasit, quorum antea ne nomina quidem noveramus, quique nullius unquam per hominum memoriam imperio subditi fuerant : nam quot populi trans Rhenum

99. *Cod. Tur. fol.* 160, 1 *r.* — 162, 32 *v.* — I, 1. οὕτω] sc. Σεβαστόν. V. Sueton. Octav. 7; Dio Cass. LIII, 16. 18; Oros. VI, 20; Censorin. D. N. 21; Ovid. Fast. I, 587; Calend. Prænest. ap. Orell. Inscr. II, p. 346. 382; Feriale Cumanum in Museo Rhenan. tom. IV, p. 630; Monum. Ancyr. col. 18. — 2. διὰ τὸ μᾶλλον ἔτι] διὰ μᾶλλόν τι codex. Articulum addidit Valesius; τι in ἔτι mutarunt Orellius et Corayus, qui ita dedit : προσαγόμενος· διὰ δὲ τὸ μᾶλλον ἔτι κτλ. Pro ἔνδηλος fortasse ἔκδηλος fuisse idem suspicatur Corayus. — 3. δὴ] Coray., δὲ codex. — 4. ἡμερωσάμενος]

κατοικοῦσιν, ὑπέρ τε τὸν Ἰόνιον πόντον καὶ τὰ Ἰλλυριῶν γένη· Παννονίους αὐτοὺς καὶ Δάκας (6) καλοῦσιν. Ζήτει ἐν τῷ Περὶ ἀνδραγαθημάτων.

habitant et supra mare Ionium, et Illyricæ originis gentes, quos Pannonios et Dacas vocant, omnes pacavit. *Quære in Excerptis de rebus fortiter gestis.*

II. Περὶ δὴ τούτου τοῦ ἀνδρὸς φρονήσεώς τε καὶ ἀρετῆς ἰσχὺν δεῖξαι ὁπόσον δύναται, τὰ μὲν ἐκ τῆς πολιτείας ἥντινα ἐν τῇ πατρίδι ἐπολιτεύσατο, τὰ δὲ (1) κατὰ στρατηγίας μεγάλων πολέμων ἐγχωρίων τε καὶ ἀλλοεθνῶν, ἀγώνισμα μὲν ἀνθρώποις πρόκειται λέγειν καὶ γράφειν, ὡς ἂν εὐδοκιμοῖεν (2) ἐν καλοῖς ἔργοις. Καὐτὸς δ' ἀφηγήσομαι τὰ πεπραγμένα, ἐξ ὧν οἷόν τε γνῶναι σύμπασι τὴν ἀλήθειαν. Πρότερον δ' αὐτοῦ τό τε γένος διέξειμι καὶ τὴν φύσιν, τούς τε γεννητάς, ἀφ' ὧν ἦν, τήν τ' (3) ἐκ νηπίου τροφήν τε καὶ παίδευσιν, ᾗ χρησάμενος τοσόσδε ἐγένετο. Πατὴρ μὲν οὖν ἦν αὐτῷ Γάϊος Ὀκταούϊος, ἀνὴρ τῶν ἐκ τῆς συγκλήτου. Οἱ δ' αὐτοῦ πρόγονοι, κατά τε πλοῦτον καὶ ἐπιείκειαν ὀνομαστότατοι γενόμενοι (4), ὀρφανῷ ὄντι ἐκείνῳ τὰ χρήματα ἐλίποντο· [οἱ] καταστάντες δ' ἐπίτροποι ταῦτα διεφόρησαν· ὁ δὲ τῶν πρὸς αὐτοὺς δικαίων ἀποστάς, τοῖς περιλειφθεῖσιν ἠρκεῖτο.

II. Hic vir quantum præstiterit virtute et prudentia, quæ quum domi in administratione reipublicæ tum foris in difficillimis bellis et civilibus et externis eluxit, dictis scriptisque prosequi materia ingeniis proposita est eorum, qui celebrando præclara facta ipsi gloriam sibi parare cupiant. Ego vero res ejus gestas ita enarrabo, ut verum omnibus pateat. Primum igitur de genere ejus atque indole dicam, qui ejus parentes ac quæ a prima ætate fuerit institutio, cujus beneficio tantus postmodum vir evasit. Pater ei Octavius senatorii fuit ordinis, cui quum majores et opibus et æquitate nobiles impuberi adhuc rem reliquissent, et eam tutores dissipassent, ipse jus suum illis remittens, residuis contentus vixit.

III. Ὅτι Καῖσαρ περὶ ἐννέα ἔτη μάλιστα γεγονώς, θαῦμά τε οὐ μικρὸν παρέσχε Ῥωμαίοις, φύσεως ἀκρότητα δηλώσας ἐν τοιᾷδε ἡλικίᾳ, καὶ τοῖς ἀνδράσι πολὺς ἐγγίνεται θόρυβος ἐν πολλῷ ὁμίλῳ δημηγοροῦντι (1). Ἀποθανούσης δ' αὐτῷ τῆς τηθῆς, παρὰ τῇ μητρὶ ἐτρέφετο Ἀντίᾳ, καὶ τῷ ταύτης ἀνδρὶ Φιλίππῳ Λευκίῳ, ὃς ἦν ἀπόγονος τῶν τὸν Μακεδόνα Φίλιππον κεχειρωμένων (2). Παρὰ δὴ τῷ Φιλίππῳ ὁ Καῖσαρ, ὡς παρὰ πατρί, τρεφόμενος πολλὴν ὑπέφαινεν ἐλπίδα, ἤδη τε (3) ἀξιότιμος καὶ τοῖς ἥλιξιν ἐφαίνετο τοῖς εὐγενεστάτοις παισί· καὶ συνῄεσαν πρὸς αὐτὸν παμπληθεῖς, οὐκ ὀλίγοι δὲ καὶ τῶν νεανίσκων, οἷς τὸ πράττειν δι' ἐλπίδος ἦν. Προὔπεμπον δὲ αὐτὸν πάμπολλοι ὁσημέραι καὶ μειρακίσκοι καὶ ἄνδρες καὶ ἥλικες παῖδες, εἴτε ἐφ'

III. Annum ætatis circiter nonum agens Cæsar haud mediocri admirationi fuit Romanis, quippe qui in tantilla ætate egregiæ indolis specimina ederet, ita ut et ab adultæ ætatis viris orationem habens ad multitudinem maximo applausu acciperetur. Porro mortua avia (Julia) educatus est apud Atiam matrem et L. Philippum vitricum : qui quidem originem ab iis ducebat, qui Philippum Macedonem superaverant. Apud hunc velut alterum patrem educatus Cæsar maximam spem ostendebat, jamque tum ab æqualibus suis, pueris nobilissimis, colebatur. Adjungebant se ei plurimi, inter quos et adolescentes non pauci, quibus capessendæ propediem reipublicæ spes erat, ac quotidie maxima frequentia juvenum ac virorum et æqualium puerorum deducebatur, sive equitatum extra urbem prodiret,

---

In codice hæc vox legitur post ἄνθρωποι. Transposuerunt eam Valesius et Corayus. — 5. ἐντὸς] Vales.; ἐν τοῖς codex. — 6. Δάκας] Meminit hujus loci Bernhardyus ad Dionys. Perieg. 305, p. 593, de ratione disputans, qua Dacas a Getis Romani distinxerint.

II, 1. δὲ] omis. codex. — 2. εὐδοκιμοῖεν] e conj. Corayi; εὐδοκιμεῖν codex. — 3. τ'] om. codex. — 4. Cf. Sueton. Octav. c. 3 : *C. Octavius a principio ætatis et re et existimatione magna fuit... Amplis innutritus opibus, honores et adeptus est facile et egregie administravit.* Quæ de tutoribus ejus n. l. leguntur, aliunde non nota sunt. Articulum οἱ ante καταστάντες addidit Corayus.

III, 1. δημηγοροῦντι] « Intelligit sine dubio orationem funebrem, quam Augustus vixdum decennis habuit in rostris de laudibus aviæ Juliæ; de qua re sic Suetonius Octav. 8 : *Quadrimus patrem amisit, duodecimum annum agens aviam Juliam defunctam pro concione laudavit.* Lege *decimum annum agens* ex Damasceno nostro. Sic Tiberius novem natus annos defunctum patrem pro nostris laudavit, teste Suetonio. » VALESIUS. Ego Suetonii loco nihil mutandum esse censeo. Nam primum cum eo facit Quinctilianus XII, 6, 1 : *Cæsar Augustus duodecim natus annos aviam pro rostris laudavit.* Deinde satis sibi constat Suetonius pergens hunc in modum : *Quadriennio post, toga virili sumpta* (an. 49 a. C.), *militaribus donis triumpho Cæsaris Africano* (an 46 a. C.) *donatus est, quamquam expers belli propter ætatem* (cf. Nicol. c. 6). Anno vero 46 a. C. Octavius (natus die 23 Septembr. 63 a. C.) annos sedecim natus erat, adeo ut orationem habuisse debeat annos natus duodecim. Igitur si funebrem istam orationem Nicolaus quoque intellexit, quod addubitari vix potest, de anno quo defuncta sit Julia, aliter statuit aut adulandi causa sciens verum ignorare voluit, aut, quod malim, legendum : περὶ ἕνδεκα. — 2. « An potius Περσέα scribendum est? Etenim Q. Marcius L. F. Philippus bellum gessit cum Perseo Macedonum rege, et facilem victoriam Æmilio Paullo successori tradidit. » VALESIUS. At eundem Marcium Philippum jam Philippi regis temporibus in Macedoniam legatum esse constat ex Livio XXXIX, 48. XL, 2. 3. De nostro Philippo (L. Marcio L. f., Q. n., Philippo), qui Attiam viduam uxorem duxit, v. Dio XLV, 1; Vellejus II, 59, 3; Cicero Philipp. III, 6, 17; Appian. B. C. III, 10. 13; Plutarch. Cic. 44. Ovid. Fast. VI, 807. Pro *Atia* in Nicolai excerptis constanter scribitur Ἀντία, uno excepto loco, ubi : Ἀτία. — 3. τε] deest in cod.; addidit Valesius. Fort. fuit καὶ δή. — 4. προήει] Coray.; ἄστεως προσήει codex.

ἱππασίαν ἔξω τοῦ ἄστεος προήει (4), εἴτε παρὰ συγγενεῖς ἢ ἄλλους τινάς. Ἤσκει γὰρ καὶ τὴν ψυχὴν τοῖς καλλίστοις ἐπιτηδεύμασι, καὶ τὸ σῶμα ταῖς γενναίαις καὶ πολεμικαῖς μελέταις, καὶ τῶν διδασκόντων θᾶττον αὐτὸς τὴν μάθησιν ἐπὶ τῶν ἔργων ἀπεδείκνυτο, ὥστε ἀπὸ τοῦδε καὶ ἐν τῇ πατρίδι πολὺν ζῆλον ἐνέγκασθαι. Ἐφεστήκει δὲ αὐτῷ καὶ ἡ μήτηρ, καὶ ὁ ταύτης ἀνὴρ Φίλιππος, ἀνὰ πᾶσαν ἡμέραν πυνθανόμενοι παρὰ τῶν διδασκάλων τε καὶ ἐπιμελητῶν, οὓς παρακατέστησαν τῷ παιδὶ, ὅ τι πράξειε, καὶ ὅποι πορευθείη, ἢ ὅπως διημερεύσειε, τάς τε διατριβὰς μεθ' ὧν ποιήσαιτο.

IV. Ἐν δὲ τῷ κατασχόντι ταράχῳ τὴν πόλιν ὑπεκπέμπει ἥ τε μήτηρ Ἀντία καὶ Φίλιππος Καίσαρα εἴς τι τῶν πατρῴων χωρίων. Κατέβαινε δὲ εἰς τὴν ἀγορὰν περὶ ἔτη μάλιστα γεγονὼς τεσσαρεσκαίδεκα, ὥστε ἀποθέσθαι μὲν αὐτὸν ἤδη τὴν περιπόρφυρον ἐσθῆτα, ἀναλαβεῖν δὲ τὴν καθαρὰν, σύμβολον οὖσαν τῆς εἰς ἄνδρας ἐγγραφῆς (1). Περιβλεπόμενος δ' ὑπὸ παντὸς τοῦ δήμου διά τε εὐπρέπειαν (2) καὶ λαμπρότητα εὐγενείας, ἔθυε τοῖς θεοῖς, καὶ ἐνεγράφη εἰς τὴν ἱερωσύνην εἰς τὸν Λευκίου Δομιτίου τόπον τετελευτηκότος (3). Καὶ ὁ δῆμος μάλα προθύμως ἐχειροτόνησε. Καὶ ὁ μὲν ἅμα τῇ μεταλλαγῇ τῆς ἐσθῆτος καὶ τῇ καλλίστῃ τιμῇ κοσμηθεὶς ἔθυε. Καίπερ δὲ κατὰ νόμον εἰς ἄνδρας ἐγγεγραμμένον, διεκώλυεν ἡ μήτηρ ἔξω τῆς αὐλείου (4) θύρας χωρεῖν, πλὴν ὅπη καὶ πρότερον, ὅτε παῖς ἦν, ἐφοίτα, δίαιτάν τε τὴν αὐτὴν ἔχειν ἐπηνάγκαζε, κοιτάζεσθαί τε ἔνθα καὶ πρότερον ἐν τῷ αὐτῷ δωματίῳ. Νόμῳ τε μόνον ἀνὴρ ἦν, τὰ δ' ἄλλα παιδικῶς ἐπεστατεῖτο. Τῆς δὲ ἐσθῆτος οὐδοτιοῦν ἐξήλλαξεν, ἀλλ' ἀεὶ τὴν πάτριον ἀμπείχετο (5).

V. Ἐφοίτα δὲ καὶ εἰς τὰ ἱερὰ ἐν ταῖς νομίμοις ἡμέραις νύκτωρ διὰ τὴν προσοῦσαν αὐτῷ ὥραν, ἅτε δὴ καὶ (1) πολλὰς γυναῖκας ἐκμήνας εὐπρεπείᾳ καὶ λαμπρότητι γένους. Ἐπιβουλευόμενος δὲ παρ' αὐτῶν, οὐδαμῇ ἐφαίνετο ἁλωτὸς ὤν· ἀλλὰ τὰ μὲν ἡ μήτηρ ἀπήρυκεν αὐτοῦ φυλάττουσα καὶ οὐδαμόσε μεθιεῖσα, τὰ δὲ καὶ αὐτὸς ἤδη ἔννους ὢν, ἅτε εἰς τοὔμπροσθεν τῆς ἡλικίας προϊὼν (2). Ἐνστάσης δέ τινος ἑορτῆς Λατίνης, ὁπότε καὶ τοὺς ὑπάτους εἰς Ἄλβαν (3) τὸ ὄρος ἀναβαίνειν ἔδει, πατρίου θυσίας ἕνεκα, τοὺς δ' ἱερεῖς διαδόχους αὐτῶν τῆς δικαιοδοσίας εἶναι, καθίζει ἐπὶ τὸ βῆμα Καῖ-

sive ad propinquos aut alios quos viseret. Nam animum quidem optimis artibus, corpus vero generosis ac militaribus exercitationibus instruebat; et quæ didicerat facilius quam docentes ipsi in rem conferebat; quod vel maxime civitati eum admirabilem fecit. Enimvero eum sollicite observabat mater Attia cum Philippo vitrico; quotidie a magistris et custodibus, quos puero apposuerant, inquirentes studiose, quid rei egisset, quo esset profectus, qua ratione diem transegisset, quibuscum denique esset versatus.

IV. Post hæc bello civili urbem turbante in villam paternam subductus est a parentibus. Inde annos circiter quattuordecim natus in forum descendit, posita prætexta togam puram indutus, quod virilis tirocinii argumentum est; omniumque civium oculis in eum defixis, ob oris speciem atque generis nobilissimi splendorem diis sacrificavit : et in collegium pontificum adscriptus est in locum L. Domitii (*Ahenobarbi*), qui e vivis abierat : quod quidem populus suis suffragiis libentissime jussit. Ita simul cum virili toga maximo sacerdotio ornatus, diis sacra faciebat. Ceterum tametsi inter tirones relatus esset ex more ac legibus Romanorum, nihilominus mater ex vestibulo eum progredi vetabat, nisi quo antea prætextatus ventitare consueverat, eodemque cultu illum habebat, et in eodem quo prius cubiculo cubare cogebat, prorsus legibus duntaxat tiro, cetera prætextati instar arctius habebatur. Vestitum porro nunquam mutavit, sed perpetuo patria veste amictus fuit.

V. Legitimis diebus templa deorum adibat sed noctu, quum formæ decore ac splendore generis plurimas mulieres in amorem sui raperet; sæpe vero ab iis tentatus nullis unquam artibus cessit; sed partim matris sollicitudo, quæ eum custodiebat, neque evagari sinebat longius, partim ipse semet sua prudentia muniebat, quippe qui ætate in dies progrederetur. Porro quum Latinæ feriæ adessent (quibus consules sacrificii patrii causa in montem Albanum egredi mos est, jurisdictione interim sacerdotibus mandata,) Cæsar medio in foro posita curuli sella consedit. Quem quidem

IV. 1. Togam virilem sumpsit Augustus die 18 Octobr. an. 706 a. u., 48 a. C. (teste Feriali Cumano lin. 5.) paullo post pugnam Pharsalicam. Igitur natus tum erat Octavius annos quindecim. — 2. εὐπρέπειαν] e conj. Corayi; διά τε εὐγένειαν καὶ λ. εὐγενείας codex. — 3. Intellige L. Domitium, C. f., Ahenobarbum, qui in pugna Pharsalica cecidit. V. Sueton. Nero 3; Cicero Phill. II, 11. 27. 29. V, 17; Vellejus II, 59, 3 : *Pontificatusque sacerdotio puerum honoravit* (*Cæsar*). Ad sequentia : ὁ δῆμος... ἐχειροτόνησε v. Sueton. l. l. de jure sacerdotum creandorum a collegis ad populum translato. — 4. αὐλαίου] αἰλίου cod.; mox παῖς ὢν et νέμων pro νόμῳ codex; correxit Valesius. — 5. τὴν πάτριον] « Percrebuerat hic mos ætate Ciceronis, ut nobiles adolescentes, atque etiam senatores in hortis ac suburbanis externo uterentur cultu, ac pallium cum crepidis et mitella sumerent. Verba Ciceronis sunt in oratione pro Rabirio Posthumo : *Deliciarum causa et voluptatis non modo cives Romanos, sed et nobiles adolescentes et quosdam etiam senatores summo loco natos, non in hortis et suburbanis suis, sed Neapoli in celeberrimo oppido cum mitella sæpe videmus*, etc. Cf. Gellius N. A. XIII, 20. » VALESIUS.

V. 1. ἅτε δὴ] e conj. Corayi. Codex : ὥραν ἀντηδὲ καὶ πολλ. γ. ἐκμείνασα εὐπρ. Vocem καὶ, quam ejecit Coray., retinui. Aliorum conatus, quos Orellius affert, lubens omitto. — 2. προϊὼν] sic codex, non προσιών, quod Valesius dedit. — 3 Ἄλβαν] Ἀλβανόν edidit Valesius correcturus.

σαρ ἐν μέσῃ ἀγορᾷ. Προσῄεσαν δ' ἄπλετοι ἄνθρωποι δικαιοδοσίας χάριν, πολλοὶ δὲ καὶ μηδενὸς πράγματος χάριν, θεωρίας ἕνεκα τοῦ παιδός· ἀξιοθέατος γὰρ πᾶσιν ἦν, καὶ μάλιστα ἐν τῷ τότε σεμνότητα καὶ ἀξίωμα προσειληφώς.

VI. Καίσαρος δὲ ἤδη κεχειρωμένου μὲν τοὺς ἐν τῇ Εὐρώπῃ πολέμους (1), νενικηκότος δὲ καὶ περὶ Μακεδονίαν Πομπήϊον, ᾑρηκότος δ' Αἴγυπτον, ἐπαναπερῶντος δ' ἔκ τε Συρίας καὶ τοῦ Εὐξείνου πόντου, μέλλοντος δ' ἐπὶ Λιβύης χωρεῖν, ὡς τὰ λειπόμενα τοῦ ἐκεῖ μεταστάντος (2) πολέμου καθέλοι, βουλόμενος συστρατεύειν αὐτῷ ὁ νέος Καῖσαρ, ὡς καὶ πολεμικῶν (3) ἔργων ἔμπειρος εἴη, ἐπεὶ ᾔσθετο ἐναντιουμένην Ἀντίαν τὴν μητέρα, οὐδὲν ἀντειπὼν ἠρέμα εἶχε. Δῆλος δ' ἦν καὶ ὁ πρεσβύτερος Καῖσαρ ὑπ' εὐνοίας οὐδέπω βουλόμενος αὐτὸν στρατεύεσθαι, ὡς μὴ, τήν τε δίαιταν ἐν ἀσθενεῖ σώματι μεταβαλὼν καὶ ὅλην ἕξιν φαύλως διατεθείη. Διὰ μὲν δὴ ταῦτα τῆς στρατείας (4) παρελύετο.

VII. Ἐπεὶ δὲ κἀκεῖνον τὸν πόλεμον κατεργασάμενος Καῖσαρ ἐπανῆλθεν εἰς Ῥώμην, σφόδρα ὀλίγοις τῶν ὑποπεσόντων αἰχμαλώτων συγγνοὺς, διὰ τὸ τοῖς προτέροις αὐτοὺς μὴ σεσωφρονῆσθαι πολέμοις, συνηνέχθη τοιόνδε. Ἦν εἰς τὰ μάλιστα Καίσαρι τῷ νέῳ συνήθης καὶ φίλος Ἀγρίππας, ἐν ταὐτῷ τε παιδευθεὶς, καί τινα ἔχων ὑπερβολὴν ἑταιρείας. Τούτου ἀδελφὸς Κάτωνι συνῆν, κατά τε φιλίαν σπουδαζόμενος, καὶ τοῦ Λιβυκοῦ πολέμου κεκοινωνηκὼς, τότε δ' αἰχμάλωτος ᾑρημένος. Τοῦτον, οὐδέν πω (1) πρότερον αἰτήσας Καίσαρα, ἐβούλετο μὲν ἐξαιτεῖσθαι, ὑπὸ δὲ αἰδοῦς ὤκνει, καὶ ἅμα ὁρῶν αὐτὸν, ὡς διέκειτο πρὸς τοὺς ἐν ἐκείνῳ τῷ πολέμῳ ἑαλωκότας. Θαρρήσας δ' οὖν ποτὲ, ᾔτησε καὶ ἔτυχεν. Ἐφ' οἷς περιχαρὴς ἦν τῷ αὑτοῦ φίλῳ τὸν ἀδελφὸν ἀνασεσωκώς· ἐπῃνεῖτο δὲ καὶ ὑπὸ τῶν ἄλλων, εἰς οὐδὲν πρότερον (2) καταθέμενος τὴν αὑτοῦ σπουδὴν καὶ ἔντευξιν ἢ εἰς φίλου σωτηρίαν.

VIII. Ἐκ τούτου τὰς θριαμβικὰς ἦγε πομπὰς Καῖσαρ τοῦ κατὰ Λιβύην πολέμου, τῶν τε ἄλλων, οὓς ἐπολέμησε. Καὶ τὸν νέον Καίσαρα, υἱὸν ἤδη πεποιημένος (1), ὄντα δὲ τρόπον τινὰ καὶ φύσει διὰ τὸ ἐγγυτάτω τοῦ γένους εἶναι, ἐκέλευσε τῷ ἑαυτοῦ ἅρματι ἕπεσθαι, κόσμοις αὐτὸν στρατηγικοῖς ἀσκήσας, ὡς ἂν αὐτοῦ σύσκηνον ἐν πολέμῳ γεγονότα. Ὁμοίως δὲ καὶ ἐν ταῖς θυσίαις, καὶ ἐν ταῖς πρὸς τοὺς θεοὺς προσόδοις ἐγγύτατα ἵστη, τούς τε ἄλλους εἴκειν προσέταττεν αὐτῷ. Καὶ ὁ μὲν ἤδη τὰς αὐτοκρατορικὰς ἐφέρετο τιμὰς, αἳ δὴ μέγισται κατὰ τὸν Ῥωμαίων νόμον ἦσαν, καὶ ζηλωτὸς ἐν τῇ πατρίδι ἦν. Συνὼν δὲ ὁ παῖς αὐτῷ καὶ ἐν

plurimi jurisdictionis causa adierunt, multi causa duntaxat spectandi adolescentis confluxere, quippe omnium in se oculos convertebat, maxime eo in tempore, quum majestatem ac dignitatem quandam sibi adscivisset.

VI. Ceterum quum C. Julius Cæsar Europæa bella jam confecisset, ac Pompeium in Macedonia superasset, Ægyptoque esset potitus, tandemque ex Syria et Euxino reversus ponto trajicere in Africam pararet, ut reliquum belli in eam partem translati conficeret: Octavius, qui avunculum in eo bello comitari cupiebat, quo usum rei militaris colligeret, postquam Attiam matrem ab eo consilio abhorrere sensit, tum quidem quievit. Nam Cæsar quoque avunculus ut ejus amantissimus, nondum illum proficisci ad bellum velle videbatur, ne adolescens corpore infirmo, mutata repente ratione victus, morbum contraheret. His igitur causis expeditioni minime interfuit.

VII. Verum confecto hoc quoque bello quum Cæsar Romam rediisset atque ex captivis paucissimos venia prosequeretur, eo quod prioribus bellis minime admoniti fuissent, hujusmodi quid tum temporis evenit. Erat Agrippa singulari amicitia ac præcipua quadam sodalitate cum Octavio conjunctissimus, quippe qui a puero simul educatus fuisset. Hujus frater M. Catoni acceptissimus ac bello Africo comes, tunc inter captivos erat. Cui Octavius veniam quidem impetrare cupiebat, sed quum præ pudore (nondum enim ab avunculo quidquam petierat), tum etiam gnarus, quam infenso animo in cives eo bello captos esset Cæsar, identidem cunctabatur. Tandem vero, quum se ipse confirmasset, petiit et obtinuit; qua quidem re magnopere lætabatur, quod amico fratrem restituisset. Sed a ceteris quoque non mediocriter laudabatur, eo quod gratia atque ambitione sua primum ad salutem amici esset usus.

VIII. Exinde Cæsar ex bello Africo ac ceteris a se confectis bellis triumphum egit, et Octavium, quem sibi filium adoptaverat, quum ob cognationis vinculum pæne natura esset filius, currum suum prosequi jussit, ornatum donis militaribus, ac si in eo bello contubernalem habuisset. Pariterque in sacrificiis et quoties deorum templa adibat, juxta se proximum collocabat, utque ceteri ei concederent jubebat. Et jam C. Cæsar imperatoriis insignibus ornatus, qui honos Romæ maximus habetur, summo in honore apud cives erat. Ceterum Octavius, et in theatro et

---

VI, 1. πολέμους] fuisse videtur πολεμίους, monente Corayo et Bremio. — 2. μεταστάντος] sic codex, non καταστάντος ut editt. — 3. πολεμικῶν] editt., πολεμίων codex. — 4. στρατείας] Coray., στρατιᾶς codex.

VII, 1. οὐδέν πω] Coray., οὐδέπω codex. — 2. Post πρότερον in codice vacuum duodecim fere literarum spatium, at non lacunam, sed literas erasas indicans.

VIII, 1. Testamentum, quo Cæsar Octavium adoptavit, scriptum est die 13 Septembr. an. 709, teste Sueton. Cæs. 83. Tum vero jam peregerat Cæsar bellum Hispanicum, ad quod profectum esse Nicolaus decimo demum capite narrat. Aut igitur verba υἱὸν ἤδη πεποιημένος mutanda in υἱὸν ἤδη ποιησόμενος, aut excidit ἐν τῇ ἑαυτοῦ γνώμῃ vel tale quid. Hoc etiam suadent quæ infra cap. 13 leguntur, ubi de Cæsare ex Hispania reduce loquens Nicolaus ait : Ἔγνω

τοῖς θεάτροις (2) καὶ ἐν πότοις, ὁρῶν τε φιλανθρώπως ἑαυτῷ διαλεγόμενον οἷα τέκνῳ, καὶ μικρὸν ὅσον ἤδη τεθαρρηκὼς, πολλῶν αὐτοῦ δεομένων καὶ φίλων καὶ πολιτῶν αἰτεῖσθαι σφίσι παρὰ Καίσαρος, ὧν ἕκαστοι ἐν χρείᾳ ἦσαν, ἐπιτηρῶν εὐκαιρίας μετὰ πάσης αἰδοῦς ᾐτεῖτό τε καὶ κατώρθου, πλείστου τε ἄξιος πολλοῖς τῶν ἀναγκαίων ἐγένετο, φυλαττόμενος τὸ μήτε ἀκαίρως παρακαλεῖν, μήτ' ἐκείνῳ προσάντως (3). Καὶ ὁ μὲν οὐκ ὀλίγα ζώπυρα καὶ φιλανθρωπίας ἅμα καὶ φρονήσεως φυσικῆς ἀπεδείκνυτο.

IX. Βουλόμενος δ' αὐτὸς ὁ Καῖσαρ καὶ ἔμπειρον τοῦ ἀγωνοθετεῖν (1) ἐν ταῖς τοιαύταις χορηγίαις εἶναι, δυοῖν ὄντοιν θεάτροιν, τοῦ μὲν Ῥωμαϊκοῦ, ἐν ᾧ αὐτὸς παρὼν τὴν φροντίδα εἶχε, θατέρου δὲ Ἑλληνικοῦ, τούτου ἐπέτρεψεν ἐκείνῳ (2) τὴν ἀγωνοθεσίαν. Καὶ ὁ μὲν σπουδάζων ἐπιμέλειάν τε καὶ φιλανθρωπίαν ἀποδείξασθαι ἐν καυματώδεσι καὶ μακροτάταις ἡμέραις, οὐδαμοῦ τε ἀπιὼν, ἄχρι λύσειε τὴν θέαν, εἰς νόσον πίπτει, οἷα νέος καὶ πόνων ἀπείρατος. Χαλεπῶς δὲ διακειμένου, πάντες μὲν ἐν φόβῳ ἦσαν, ἀγωνιῶντες εἴ τι πείσεται τοιαύτη φύσις, μάλιστα δὲ πάντων (3) Καῖσαρ. Διὸ πᾶσαν ἡμέραν ἢ αὐτὸς παρὼν αὐτῷ εὐθυμίαν παρεῖχεν, ἢ φίλους πέμπων, ἰατρούς τε (4) ἀποστατεῖν οὐκ ἐῶν. Καί ποτε δειπνοῦντι ἤγγειλέ τις, ὡς ἔκλυτος εἴη καὶ χαλεπῶς ἔχοι· ὁ δὲ ἐκπηδήσας ἀνυπόδητος ἧκεν, ἔνθα ἐνοσηλεύετο, καὶ τῶν ἰατρῶν ἐδεῖτο ἐμπαθέστατα μεστὸς ὢν ἀγωνίας, καὶ αὐτὸς παρεκάθητο· ἀνακτησάμενος δ' αὐτὸν εὔθυμος ἐγένετο.

X. Ἐπεὶ δ' ἀνέσφηλεν ἐκ τῆς νόσου, διαπεφευγὼς μὲν τὸν κίνδυνον, ἀσθενῶς δ' ἔτι διακείμενος τὸ σῶμα, στρατεύειν μὲν ἔδει Καίσαρα, ἔνθα διενοεῖτο τὸ πρότερον ἐπάγεσθαι καὶ τὸν παῖδα· τότε δ' οὐχ οἷός τ' ἦν διὰ τὴν προσπεσοῦσαν νόσον. Καταλιπὼν δ' οὖν αὐτοῦ πολλοὺς ἐπιμελητὰς, ὡς δι' ἀκριβοῦς διαίτης φυλάττοιτο, καὶ ἐντολὰς δοὺς, εἰ ῥωσθείη, ἕπεσθαί οἱ, ᾤχετο ἐπὶ τὸν πόλεμον. Ὁ γὰρ Μάγνου Πομπηΐου πρεσβύτατος παῖς, μέγα στράτευμα ἀθροίσας ἐν ὀλίγῳ χρόνῳ παρὰ τὴν πάντων ἐλπίδα, διενοεῖτο ἐπαμῦναι (1) τῷ πατρὶ, καὶ τὴν ἐκείνου ἧτταν ἀναμαχέσασθαι, εἰ δύναιτο. Ὑπολειφθεὶς δ' ἐν τῇ Ῥώμῃ Καῖσαρ, πρῶτον μὲν (2) τοῦ σώματος ἐγκρατέστατα ἐπεμελήθη, καὶ ταχὺ ἀνερρώσθη· ἔπειτα δὲ τὴν ἔξοδον ἐκ τῆς πατρίδος ἐποιεῖτο ἐπὶ τὴν στρατιὰν κατὰ τὰς τοῦ θείου ἐντολάς· οὕτω γὰρ αὐτὸν ἐκάλει. Πολλῶν δ' αὐτῷ συνεκδημεῖν σπουδαζόντων, διὰ τὸ μέγεθος τῆς ἐν αὐτῷ ἐλπίδος, πάντας παρωσάμενος καὶ τὴν μητέρα αὐτὴν, τοὺς ὠκυτάτους τῶν οἰκετῶν καὶ ἐρρωμενεστάτους ἐκλεξάμενος, συνέτεινε τὴν πορείαν, καὶ ἀπίστῳ τάχει χρησάμενος διέδραμε

in conviviis assiduus illius comes, quum illum prorsus paterna benevolentia secum colloqui videret, jam paullisper animo erectior ac confirmatior, captata temporis opportunitate, verecunde apud avunculum intercedebat pro amicis ac civibus, qui ejus suffragio quidpiam obtinere a Cæsare volebant, nec difficile impetrabat; multisque adeo necessariorum maximo usui fuit, quum sollicite observaret, ne importune neve moleste avunculum interpellaret. Hæc tum et humanitatis et insitæ prudentiæ non obscura nec pauca specimina edebat.

IX. Sed quum C. Cæsar præbitionibus ludorum atque hujuscemodi editionibus adsuefacere illum vellet, duoque essent theatra, alterum Romanum, Græcum alterum: Romani quidem ipse curam sumpsit, Græci vero curationem Octavio delegavit. Qui quum operam daret impensius, suam ut industriam ac comitatem testificaretur, persideretque assidue usque ad finem spectaculi, idque maximo æstu ac diebus longissimis, tandem, utpote adolescens nondum assuetus labori, in morbum incidit; quo ingravescente cuncti timore pallebant, solliciti, ne quid ejusmodi indoles tristius pateretur: maxime autem omnium C. Cæsar sollicitus erat. Proinde quotidie aut ipsemet præsens adolescenti animum spemque addebat, aut amicos visendi causa mittebat, medicosque ab eo vetabat discedere. Forte quadam die cœnanti nunciatum a quopiam est, adolescentem deliquium pati ac pessime se habere; statimque, ut erat discalceatus, e lecto exsiliens, ad cubiculum, in quo æger curabatur, contendit, et pavens ac sollicitus medicos enixissime rogavit, ipse lecto adsedit, ac tandem recuperato puero magnopere est gavisus.

X. Porro quum Octavius morbi quidem discrimine liberatus, adhuc tamen infirmo corpore esset, Cæsar proficisci ad bellum in Hispaniam parabat, quo quidem puerum in contubernio suo deducere ante statuerat, sed ob conflatam ægritudinem haudquaquam poterat. Igitur appositis puero custodibus, qui accurata victus ratione illum regerent, datisque mandatis, quum vires collegisset, se ut sequeretur, ad bellum perrexit. Namque Cn. Pompeius Magni filius major natu, brevi temporis spatio præter omnium spem magnis copiis comparatis, vindicare patris necem in animo habebat, cladem que ejus, quantum in se esset, resarcire. Sed Romæ relictus Octavius primum quidem omni diligentia corpus curavit, viresque brevi recuperavit; postea vero statim ad iter se accinxit ex mandatis avunculi (sic enim eum vocabat). Quumque plurimi sese ei comites ambitiose offerrent ob maximam spem quam in se ostendebat, rejectis omnibus atque in his matre ipsa, selecto ex famulis robustissimo quoque ac velocissimo, iter acceleravit, atque incredibili celeritate longissima spatia permen-

μὲν οὖν καὶ πρότερον παῖδα ἀποδεῖξαι, δεδιὼς δὲ... συνέκρυψε τὴν γνώμην. Ἐν δὲ ταῖς διαθήκαις αὐτὸν υἱοῦται. — 2. συνὼν.. θεάτροις] Corayus. Codex : καὶ ἐν θεάτροις συνὼν δὲ ὁ παῖς. — 3. προσάντως] Citat locum Suidas : Προσάντως· ἐπίρρημα· « Μήτε ἀκαίρως παρακαλεῖν μήτε προσάντως. »

IX, 1. ἀγωνοθετεῖν] Vales.; ἀγωνοθέτην codex. — 2. τούτου... ἐκείνῳ] Vales.; τούτῳ.. ἐκείνου codex. — 3. Καῖσαρ] ὁ K. editt. contra codicis auctoritatem. — 4. τε] sic codex, δὲ editt. Mox codex : δείπνοντι.

X, 1. ἐπαμῦναι] Coray., ἐπεῖναι codex. Deinde εἰ δύναιτο Valesius pro ἢ δύνατο codicis. — 2. μὲν] e codice sup-

τὴν μακρὰν ὁδὸν (3), σύνεγγύς τε ἦν Καίσαρι, διαπεπολεμηκότι ἤδη τὸν σύμπαντα πόλεμον ἐν μησὶν ἑπτά.

XI. Ἀφικόμενος δ' εἰς Ταρρακῶνα ἀπιστίαν παρέσχεν, ὅπως ἀφίκοιτο ἐν τοσῷδε πολέμου ταράχῳ. Οὐχ εὑρὼν δὲ ἐνταῦθα Καίσαρα, πλείω πόνον καὶ κίνδυνον εἶχεν· ἀφίκετο δὲ εἰς Ἰβηρίαν πρὸς Καίσαρα περὶ πόλιν Καλπίαν (1). Καὶ ὁ μὲν οἷα τέκνον περιβαλὼν (2), διά τε τὸ νοσοῦντα καταλελοιπέναι καὶ ἐκ πολλῶν πολεμίων καὶ λῃστηρίων περισεσωσμένον ὁρᾶν ἀδοκήτως, ἠσπάζετο, καὶ οὐδαμῇ μεθίει, ὁμοδίαιτόν τε εἶχεν· ἐπῄνει δ' αὐτοῦ (3) καὶ τὴν ἐπιμέλειαν ἅμα καὶ σύντασιν (4), ὡς πρῶτος τῶν ἐκ τῆς Ῥώμης ἐξεληλυθότων ἧκεν. Ἐπιμελὲς δ' (5) ἐποιεῖτο πρὸς αὐτὸν διαλεγόμενος ὑπὲρ πολλῶν ἀνακρίνειν, ἀποπειρώμενος αὐτοῦ τῆς διανοίας. Ὁρῶν δὲ εὔστοχον καὶ εὐσύνετον καὶ βραχυλόγον, αὐτά τε ἀποκρινόμενον τὰ καιριώτατα, ἔστεργε καὶ ὑπερησπάζετο. Ἐκ τούτου πλεῖν ἔδει ἐπὶ Καρχηδόνος· προσταχθὲν δ' αὐτῷ ἐμβαίνειν εἰς τὴν αὐτὴν Καίσαρι ναῦν σὺν πέντε δούλοις, αὐτὸς ὑπὸ φιλοστοργίας καὶ τρεῖς ἑταίρους πρὸς τοῖς δούλοις ἐνεβίβασε· καὶ ἐδεδίει, μὴ τοῦτο γνοὺς Καῖσαρ ἐπιμέμψαιτο. Τοὐναντίον δ' ἐγένετο· ἥσθη γὰρ ἐκεῖνος ἐπὶ τῷ εἶναι φιλέταιρον, καὶ ἐπῄνεσεν, ὅτι ἀεὶ βούλεται παρεῖναι αὐτῷ τοὺς πάντων ἐπόπτας ἐσομένους ἄνδρας καὶ ἀρετῆς ἐπιμελουμένους, πρόνοιάν τε οὐ μικρὰν χρηστῆς δόξης ἐν τῇ πατρίδι ἤδη ποιοῖτο.

XII. Ἧκε δ' οὖν εἰς τὴν Καρχηδόνα Καῖσαρ, ὡς τοῖς χρῄζουσιν ἐντευξόμενος. Πολλοὶ δὲ συνεληλύθεσαν, οἱ μὲν δικαιοδοσίας χάριν περὶ ὧν εἶχον ἀμφιβόλων πρός τινας, οἱ δὲ οἰκονομίας πολιτικῆς, οἱ δ' ὅπως ἂν τὰ ἆθλα τῶν ἠνδραγαθημένων λάβοιεν· περὶ ὧν ἐνέτυχεν (1). Ἄλλοι τε ἡγεμόνες πλεῖστοι συνεληλύθεσαν. Προσφεύγουσι (2) τῷ Καίσαρι καὶ Ζακύνθιοι μεγάλα ἐγκλήματα ἔχοντες, καὶ δεόμενοι βοηθείας. Ὁ δὲ τούτων προὔστη τε, καὶ διαλεχθεὶς ἄριστα πρὸς Καίσαρα ἐν φανερῷ (3), τῶν τε αἰτιῶν αὐτοὺς ἀπήλλαξε, καὶ προὔπεμψεν ἐπ' οἴκου ἡδομένους τε καὶ πρὸς πάντας αὐτὸν ὑμνοῦντας, σωτῆρά τε ὀνομάζοντας (4). Ἐντεῦθεν πολλοὶ συνέρρεον προστασίας δεόμενοι, οἷς πλείστου ἄξιος γενόμενος, τῶν μὲν διέλυε τὰ ἐγκλήματα, οἷς δ' ᾐτεῖτο δωρεάς, οὓς δ' εἰς ἀρχὰς προῆγε. Πάντες τε (5) ἀνὰ στόμα εἶχον τήν τε (6) ἡμερότητα καὶ φιλανθρω-

sus, tandem haud procul castris avunculi pervenit, qui quidem septem mensibus bellum jam omne confecerat.

XI. Tarraconem ingressus, admiratione omnes perculit, quonam pacto in tanto bellorum tumultu advenisset. Nec tamen invento ibi avunculo, pluribus laboribus ac periculis conflictatus est, tandemque avunculum in Hispania assecutus est circa urbem Calpiam. At Cæsar, qui eum ægrotum domi reliquerat, quum salvum ex hostium ac latronum insidiis insperato videret, tanquam filium amplecti ac deosculari cœpit. Neque vero eum dimittebat usquam, sed assidue in contubernio habebat, laudabatque ejus industriam simul et festinationem, quod primus eorum, qui ab urbe profecti erant, affuisset, eumque de multis rebus sedulo interrogabat, quo ingenii ac judicii periculum faceret. Sed quum sagacem et sollertem ac modici sermonis eaque solum, quæ ad rem pertinent, respondentem deprehenderet, magis ac magis illum in dies amabat. Hinc quum Carthaginem navigandum esset, jussus in avunculi navem cum quinque famulis conscendere, tres præterea sodales secum adduxit. Ac verebatur quidem, ne ab avunculo factum resciente objurgaretur; sed longe aliter res cecidit, siquidem ea re delectatus Cæsar juvenem laudavit eo, quod sodales diligeret et virtuti ac bonis artibus deditos testes omnium factorum secum habere semper vellet, atque optimam sibi famam apud cives comparare multum studeret.

XII. Venerat Carthaginem (*Hispaniæ*) Cæsar eo, ut adeuntibus copiam sui præberet; ac permulti eo convenerant partim jurisdictionis causa ob privatas controversias, partim ob negotia publica; quidam, ut præmia virtutis ac præclare factorum acciperent: de his igitur aditus illis dabat. Multi præterea alii duces in eam urbem confluxerant. Tum Saguntini, qui maximis criminibus urgebantur et auxilio opus habebant, ad Octavium confugerunt; qui suscepta ipsorum causa quum palam apud Cæsarem prudenter disseruisset, eos impositis criminibus liberavit lætosque et præcones laudum suarum ac servatorem appellantes domum dimisit. Exinde complures patrocinii causa ad illum concurrere, quibus industriam suam approbavit; quippe alios calumniis et criminationibus liberabat, aliis præmia impetrabat, aliis magistratus; proinde erat in ore omnium

plevi. — 3. Cf. Suetonius Octav. 8 : *Profectum mox avunculum in Hispanias adversus Cn. Pompeji liberos, vix tum firmus a gravi valetudine, per infestas hostibus vias, paucissimis comitibus, naufragio etiam facto, subsecutus, magnopere demeruit, approbata cito etiam morum indole super itineris industriam.* Vellejus II, 29, 2 : (*Cæsar Octavium*) *dilexit ut suum, natumque annos XVII, Hispaniensis militiæ, adsecutum se, postea comitem habuit, nunquam aut alio usum hospitio quam suo, aut alio vectum vehiculo.* Cf. Dio Cass. XLIII, 41.

XI, 1. Καλπίαν] Strabo III, p. 140 Κάλπην dicit. Plura de his nominibus disputat Valesius ad h. l., quæ legere etiam est apud Holstenium ad Steph. Byz. v. Κάλπαι et Καρπηία. — 2. περιβαλὼν] Valesius; περιλαβὼν et mox νοστοῦντα pro νοσοῦντα, codex. — 3. αὐτοῦ] Valesius, αὐτόν codex. — 4. σύντασιν] Coray.; σύνεσιν codex. — 5. Particulam δὲ de suo addidit Valesius.

XII, 1. ἐνέτυχεν· ἄλλοι] Coray.; ἔτυχεν. ἄλλων codex. Οἱ δὲ περὶ ὧν ἔτυχεν ἄλλων ἄλλοι τε, κτλ. Vales. — 2. προσφεύγουσι] Valesius; προσφέρουσι cod. — 3. φανερῷ] Val.; φανεροῦ cod — 4. ὀνομάζοντας] Coray.; νομίζοντας cod. — 5. πάντες τε] πάντες τε τε cod. — 6. τήν τε... φιλανθρ.] Valesius; τής (sic) τε ἡμερότητα φιλανθρωπίαν. Possis etiam τήν τε τῆς ἡμερότητος φιλανθρωπίαν.

πίαν καὶ τὴν ἐν ταῖς ἐντεύξεσι φρόνησιν. Αὐτὸς μὴν Καῖσαρ εὐλα[βούμενος?] ***.

(Λείπουσι σελίδες δύο.)

100.

XIII. *** [ἀρ]γυροῦ κατὰ τὰ πάτρια, οὔτε μεθυσκομένοις νεανίσκοις παρεῖναι, οὔτε πλείω χρόνον συμποσίῳ παραγενέσθαι ἄχρις ἑσπέρας, οὐδὲ μέντοι δειπνεῖν πρὸ δεκάτης ὥρας, ἔξω Καίσαρος, ἢ Φιλίππου, ἢ τοῦ γήμαντος αὐτοῦ τὴν ἀδελφὴν Μαρκέλλου, ἀνδρὸς σωφρονεστάτου καὶ κατ' εὐγένειαν ἀρίστου Ῥωμαίων. Αἰδῶ δ', ἣν πρέπειν (1) ἄν τις τῇ τοιᾷδε ἡλικίᾳ ὑπολάβοι, διὰ τὸ ταῖς ἄλλαις ἀρεταῖς ἐν τῇ μετὰ ταύτην (2) τὴν χώραν ὑπὸ τῆς φύσεως ἀποδεδόσθαι, διαφανέστατα καὶ ἐν ἔργοις ἐδήλου ἐν τῷ βίῳ παντί. Διὰ τοῦτο καὶ μάλιστα Καῖσαρ αὐτὸν περὶ πολλοῦ ἐποιήσατο, καὶ οὐχ, ὥσπερ οἴονταί τινες, διὰ τὸ γένος μόνον. Ἔγνω μὲν οὖν καὶ πρότερον παῖδα ἀποδεῖξαι, δεδιὼς δὲ, μὴ ἐλπίδι τοσαύτης τύχης ἐπαρθεὶς, ὃ φιλεῖ τοῖς εὐδαιμόνως τρεφομένοις ἕπεσθαι, ἐκλάθοιτο ἀρετῆς καὶ ἐκδιαιτηθείη, συνέκρυψε τὴν γνώμην, ἐν δὲ ταῖς διαθήκαις αὐτὸν υἱοῦται, ἄπαις ὢν ἀρρένων παίδων, καὶ κληρονόμον ἀποδείκνυσι τῆς τύχης πάσης· τετάρτην δὲ μοῖραν τῶν χρημάτων τοῖς ἄλλοις διένειμε φίλοις τε καὶ ἀστοῖς, ὅπερ ὕστερον ἐγένετο δῆλον (3).

XIV. Ἐδεήθη δὲ συγχωρῆσαι αὐτῷ παρὰ τὴν μητέρα ἐλθεῖν εἰς τὴν πατρίδα, καὶ δόντος, ᾤχετο. Ὡς δ' ἧκεν οὐχ ἑκὰς Ῥώμης εἰς Ἰάνουκλον, ὑπήντησεν αὐτῷ σὺν πολλῷ πλήθει ἀνθρώπων ὁ λεγόμενος Γαΐου Μαρίου παῖς, σπουδάζων εἰς τὸ γένος ἐγγραφῆναι, καί τινας γυναῖκας προσειληφὼς τῶν Καίσαρος, αἳ ἐμαρτύρουν αὐτῷ τὴν εὐγένειαν. Οὔτε μὴν Ἀντίαν ἔπεισεν, οὔτε τὴν ταύτης ἀδελφὴν καταψεύσασθαι τοῦ σφετέρου οἴκου· προσήπτετο γὰρ τὸ γένος (1) τὸ Καίσαρός τε καὶ τὸ Μαρίου, τῷ γε μὴν νεανίσκῳ ἐκείνῳ οὐδὲν προσῆκον (2) ἦν. Ὃς τότε σὺν πολλῷ πλήθει ὑπαντιάσας ἐσπούδαζε προσλαβεῖν καὶ τὴν τοῦ νέου Καίσαρος γνώμην, εἰς τὴν τοῦ γένους ἐγγραφήν. Πολλὴ δ' ἐγένετο σπουδὴ καὶ τῶν συνόντων αὐτῷ πολιτῶν, πειθομένων εἶναι παῖδα Μαρίου. Καῖσαρ δ' ἐν ἀπορίᾳ δεινῇ γενόμενος ἐσκόπει, τί χρὴ ποιεῖν· τό τε γὰρ ἀσπάζεσθαι ὡς συγγενῆ, ὃν οὐκ ᾔδει, ὁπόθεν εἴη, οὐδ' ἡ μήτηρ αὐτῷ συνεμαρτύρει, χαλεπὸν ἦν, τό τε διωθεῖσθαι τὸν νεανίσκον καὶ τὸ σὺν αὐτῷ πλῆθος τῶν πολιτῶν, ἄλλως τε καὶ αἰδοῦς ὄντι μεστῷ, πολλὴν δυσχέρειαν εἶχεν. Ἀποκρίνεται γοῦν, ἠρέμα διωσάμενος

eximia ejus mansuetudo atque humanitas et in congressibus prudentia. Porro ipse Cæsar *cavens* ***.

(Desunt duæ paginæ.)

100.

XIII. *** argenti ex more majorum : neve adolescentum compotationibus interesset; ne convivium usque ad vesperam produceret; neve ante horam decimam cœnaret, nisi forte apud Cæsarem aut Philippum aut Marcellum, qui sororem ipsius in matrimonio habebat, virum modestia ac nobilitate præstantissimum. Jam verecundiam, quæ huic maxime ætati convenire videtur (quoniam natura ceteras virtutes hujus asseclas esse voluit), semper præ se tulit, factisque ipsis coluit, quoad vixit. Ea præcipue causa Cæsari acceptus fuit, non ob nudam sanguinis propinquitatem, ut quidam existimant. Ac jamdudum quidem Cæsar eum adoptare decreverat. Sed veritus ne, spe tantæ fortunæ elatus, quod adolescentibus in summa felicitate educatis usu venire solet, corrumperetur, neve ab instituto virtutis tramite deflecteret, consilium suum occultavit; ac testamento ipse masculæ prolis expers eum in familiam nomenque adscivit, heredemque omnium bonorum instituit, quadrante duntaxat amicis ac civibus relicto, uti postea apparuit.

XIV. Tunc temporis Octavius ab avunculo petiit, sibi ut visendæ matris copiam faceret : quo protinus impetrato Romam profectus est. Ad urbem quum esset in monte Janiculo, occurrit ei nescio quis magna plebis frequentia stipatus, qui se C. Marii filium ferebat, eamque in familiam adscribi ambibat. Idemque aliquot matronas Cæsaris necessarias sibi adjunxerat, quæ de suis natalibus testarentur; sed neque Attiam, neque ejus sororem inducere potuerat, ut decus familiæ suæ mendacio proderent; quippe Marii ac Cæsaris familiæ erant arctissima necessitudine conjunctæ, quibus se juvenis ille prorsus alienus impudentissime inserebat. Igitur ille cum frequenti turba Octavio tum obviam factus, ejus quoque auctoritatem elicere ad generis sui confirmationem studebat : nec minore studio eum secuta plebs instabat, pro certo habens, illum C. Marii filium esse. At Octavius, quid sibi agendum esset, incertus hærebat animo : nam et osculari eum hominem, quem neque ipse, quis et unde esset, sciebat, neque mater agnoscebat, molestum videbatur; ex alia parte juvenem cum tanta civium multitudine aspernari, homini præsertim verecundo erat gravissimum. Tandem hujusmodi responso placide

Fr. 100. *Cod. Tur. fol.* 163; 1 *r.* — 163, 25 *vso.*

XIII, 1. πρέπειν] Val. πρέπει cod. — 2. ταύτην] Val. ταῦτα cod. — 3. Cf. Sueton. Cæs. 83.

XIV. 1. τὸ γένος τὸ] Valesius, τὸ γένος τοῦ γένος τὸ cod. «. Herophilus equarius medicus C. Marium septies consulem avum sibi vendicando ita se extulit, ut veteranorum quam plures et muncipia splendida collegiaque fere omnia patronum eum adoptarent. Quin etiam quum C. Cæsar, Cn. Pompeio adolescente in Hispania oppresso, populum in hortos suos admisisset, proximo intercolumnio pæne pari studio frequentiæ salutatus est. Ceterum decreto Cæsaris extra Italiam relegatus, post ejus necem in urbem rediit et consilium interficiendi senatus cepit, quo nomine damnatus a senatu in carcere strangulatus est, ut scribit Valerius Max. IX, 15. In Epitome T. Livii CXVI et apud Arrianum B.

αὐτῷ δὲ ἄμεινον εἶναι, τοσούτων ἐχθρῶν ἐφεστώτων, ἐν φίλῃ πόλει τὰ ἐσόμενα καραδοκεῖν. Ὁ δὲ βουλόμενος παρὼν τοῖς πραττομένοις καιροφυλακεῖν, οὐ παρέλυε τὴν γνώμην, ἀλλ' ἀναγκαῖον ἔφη εἶναι ἀποπλεῖν· Ἀπολλωνιάτας δὲ τότε (3) ἐπῄνεσε, καὶ παρελθὼν εἰς τὴν ἀρχὴν, ἐλευθερίαν τε αὐτοῖς καὶ ἀτέλειαν ἄλλας τε οὐκ ὀλίγας χάριτας ἐπιδοὺς, καὶ εὐδαίμονα τὴν πόλιν ἐν τοῖς μάλιστα ποιήσας. Τότε δὲ μετὰ δακρύων αὐτὸν ὁ πᾶς δῆμος ἀποσπώμενον προὔπεμψε, θαυμάζων τὸ ἐν τῇ παρεπιδημίᾳ κόσμιον καὶ σῶφρον, καὶ ἅμα οἰκτείρων τὴν τύχην. Ἦλθον δ' ὡς αὐτὸν ἐκ τῆς στρατιᾶς οὐκ ὀλίγοι ἱππεῖς τε καὶ πεζοὶ, χιλίαρχοί τε καὶ ἑκατοντάρχαι (4) ἄλλοι τε πάμπολλοι θεραπείας χάριν, οἱ δὲ [καὶ] κατ' ἰδίας χρείας· οἳ τότε παρῄνουν ἐπὶ τὰ ὅπλα χωρεῖν, καὶ αὐτοὶ ὑπισχνοῦντο συστρατεύσειν τε καὶ ἄλλους προσποιήσειν ἐπεξιόντας τὸν Καίσαρος θάνατον. Ὁ δ' ἐπαινέσας αὐτοὺς, οὐδὲν δεῖν ἔφη ἐν τῷ παρόντι· ὅταν μέντοι καλῇ ἐπὶ τὴν τιμωρίαν, ἠξίου ἑτοίμους εἶναι. Οἱ δ' ἐπείθοντο. Καῖσαρ δ' ἀνήχθη τοῖς ἐπιτυχοῦσι πλοίοις, χειμῶνος ἔτι ὄντος σφαλερώτατα, καὶ διαβαλὼν τὸν Ἰόνιον πόντον, ἴσχει τῆς Καλαβρίας τὴν ἔγγιστα ἄκραν, ἔνθα οὐδέν πω σαφὲς διήγγελτο (5) τοῖς ἐνοικοῦσι [περὶ] τοῦ ἐν Ῥώμῃ νεωτερισμοῦ. Ἐκβὰς οὖν ταύτῃ πεζὸς ὥδευεν ἐπὶ Λουπίας (6). Καὶ ὡς ἀφίκετο, ἐντυγχάνει τοῖς ἐν Ῥώμῃ θαπτομένῳ Καίσαρι *, οἳ ἀπήγγελλον τά τε ἄλλα καὶ ὡς ἐν ταῖς διαθήκαις ὡς υἱὸς εἴη Καίσαρος (7) ἐγγεγραμμένος, καὶ τρία μέρη τῶν χρημάτων, τὸ δὲ τέταρτον τοῖς ἄλλοις εἴη δεδομένον, ἐξ οὗ καὶ τῷ δήμῳ δοίη κατ' ἄνδρα ε' καὶ ο' δραχμὰς (8), ἐπισκήψειε δὲ καὶ Ἀντίᾳ τῇ μητρὶ τοῦ παιδὸς τῆς ἑαυτοῦ ταφῆς ἐπιμεληθῆναι, ὅπως τε ὁ ὄχλος βιασάμενος ἐν μέσῃ ἀγορᾷ αὐτὸν καύσειέ τε καὶ θάψειε· τοὺς δὲ περὶ Βροῦτον καὶ Κάσσιον σφαγεῖς κατειληφότας τὸ Καπιτώλιον φρουρεῖν, τούς τε δούλους καλεῖν ἐπ' ἐλευθερίᾳ συμμάχους· τῇ τε πρώτῃ ἡμέρᾳ καὶ δευτέρᾳ, καταπεπληγμένων (9) ἔτι τῶν Καίσαρος φίλων, πολλοὺς αὐτοῖς προσέχειν, ἐπεὶ δ' οἱ ἐκ τῶν περιοικίδων πόλεων κληροῦχοι, οὓς ἐκεῖνος κατῴκισέ τε καὶ ταῖς πόλεσιν ἐγκατέστησεν, ἧκον παμπληθεῖς ὡς τοὺς περὶ Λέπιδον τὸν ἱππάρχην καὶ Ἀντώνιον τὸν συνύπατον Καίσαρος, ἐπεξιέναι (10) αὐτοῦ τὸν φόνον ὑπισχνουμένους, σκεδασθῆναι τοὺς πολλούς· ἐκείνους δὲ μονωθέντας μονομάχους τινὰς ἀθροίζειν καὶ ἄλλους, οἷς ἦν ἀκήρυκτος ἔχθρα πρὸς Καίσαρα, οἵ τε τῆς (11) ἐπιβουλῆς ἐκοινώνουν. Καὶ τούτους μέντοι ὀλίγον ὕστερον καταβῆναι πάντας ἐκ τοῦ Καπιτωλίου πίστεις λαβόντας παρὰ Ἀντωνίου

cebant, si, tot inimicis instantibus, in amica urbe Cæsar eventus rerum exspectaret. Ille autem quum præsens vellet tempora rerum observare, non mutavit sententiam, sed necessario sibi proficiscendum esse dixit. Apolloniatas vero et tunc collaudavit, et postea regno potitus libertatem iis et immunitatem aliasque haud paucas gratias concedens felicem quammaxime urbem reddidit. Tunc cum lacrimis populus universus ægre discedentem deduxit, admirans quam per commorationem ostendisset modestiam et moderationem, simulque lugens ejus fortunam. Convenerunt eum ex exercitu non pauci equites peditesque, tribuni et centuriones, et alii quamplurimi ministerii causa, nonnulli etiam privatim: qui arma capessere hortabantur, et ipsi pollicebantur semet expeditioni adjuncturos esse aliisque persuasuros, qui secum necem Cæsaris ulciscerentur. Octavius autem collaudans eos, nihil in præsenti indigere aiebat, verum quando vocaret ipsos ad vindictam, ut parati essent rogabat. Quibus illi acquieverunt. Tum Cæsar navibus, quæ ad manum erant, in altum evectus hiemis adhuc tempestate periculosissima, trajecto mare Ionio, in proximum Calabriæ appulit promontorium, ubi nihildum certius incolis de urbis rebus novis nuntiatum erat. Egressus ibi pedestri itinere Lupiam contendit. Quo quum advenerat, reperit qui funeri Cæsaris interfuerant. Hi et reliqua nuntiarunt et quomodo in testamenti tabulis pro filio a Cæsare adoptatus et heres scriptus ex dodrante, reliqua opum pars aliis esset legata, ex qua etiam plebi urbanæ trecenos viritim sestertios destinasset; et quomodo Atiæ, matri Octavii, funeris sui curam demandasset; quomodo populus vi adhibita in medio foro corpus Cæsaris concremasset et funere honorasset. Præterea percussores, Bruti et Cassii socios, narrabant Capitolium occupasse, servosque, promissa libertate, advocasse; ac prima die et secunda, perterritis adhuc Cæsaris amicis, multos illis se adjunxisse; ubi vero ex vicinis agris coloni, quos ibi habitatum missos Cæsar urbibus imposuerat, tota multitudine ad Lepidum, magistrum equitum, et Antonium, Cæsaris in consulatu collegam, venissent, cædem ejus se ulturos pollicentes: plurimos esse dissipatos; conjuratos vero sociis destitutos congregasse gladiatores nonnullos aliosque quibus implacabilis esset in Cæsarem inimicitia, et qui insidiarum participes fuissent. Mox tamen hos quoque omnes e Capitolio descendisse, quum fidem iis dedisset Antonius, qui magna jam

commemorandus erat Apollodorus, de quo Suetonius Aug. 89: *Magistro dicendi usus Apollodoro Pergameno, quem jam grandem natu Apolloniam quoque secum ab urbe juvenis adhuc eduxerat.* — 2. φίλῃ] φύλῃ cod. — 3. τότε] scrib. videtur καὶ τότε, nisi in seqq. pro ποιήσας fuit ἐποίησε. — 4. ἑκατοντάρχαι] ἑκατοντάρχοι codex; ne potius ἑκατόνταρχοι scriberemus, alii Nicolai loci movebant. Mox addidi καί. — 5. διήγγελτο] διηγγέλλετο codex. — 6. Λουπίας] λύππας codex. Λουπίας habet Appian. B. C. III, 10; idemque oppido nomen ap. Pausan. VI, 19, 9 (Λουπίας φησὶ κειμένην Βρεντησίου τε μεταξὺ καὶ Ὑδροῦντος μεταβεβληκέναι τὸ ὄνομα, Σύβαριν οὖσαν τὸ ἀρχαῖον), Ptolem. III, 1; Strabo VI, p. 282. Mox post v. Καίσαρι lacunam notavi; excidit παροῦσι vel simile quid. — 7. Καίσαρος] vel Καίσαρι; Καίσαρ codex. — 8. ε' καὶ ο' δρ.] sic etiam Appian. II, 143. — 9. καταπεπληγμένων] καταπεπλημένων codex. — 10. ἐπεξιέναι] ἐπεξεῖναι codex. — 11. οἵ τε τῆς] addidi part. τε.

δύναμιν ἤδη μεγάλην ἔχοντος καὶ διαμεθιέντος ἐν τῷ παρόντι τὴν ὑπὲρ Καίσαρος ἐπέξοδον· ὃ κἀκείνοις αἴτιον ἐγένετο τοῦ ἀσφαλῶς ἐκ τῆς Ῥώμης ὑπεξελθεῖν (12) ἐς Ἄντιον· πολιορκηθῆναι δ' αὐτῶν ὑπὸ τοῦ δήμου καὶ τὰς οἰκίας, ἡγεμόνος μηδενὸς ἐφεστῶτος, ἀλλ' αὐτοῦ τοῦ πλήθους ὑπὸ τῆς περὶ Καίσαρα εὐνοίας δυσχεραίνοντος τὸν φόνον (13), καὶ μάλιστα ἐπειδὴ τήν τε ἐσθῆτα εἶδεν ᾑμαγμένην καὶ τὸ σῶμα νεοσφαγὲς ἐκκομιζόμενον εἰς ταφὴν, ὅτε καὶ βιασάμενος θάψειεν αὐτὸ ἐν μέσῃ ἀγορᾷ.

XVIII. Ταῦτα ὡς ἤκουσε Καῖσαρ ὁ νέος εἴς τε δάκρυα καὶ οἶκτον ὑπὸ μνήμης τἀνδρὸς καὶ φιλοστοργίας ἐρρύη, καινότερόν τε τὸ πένθος ἐποίει. Παυσάμενος δέ ποτε ἀνέμενεν ἕτερα γράμματα παρὰ τῆς μητρὸς καὶ τῶν ἐν Ῥώμῃ φίλων, καίπερ οὐκ ἀπιστῶν τοῖς τὰ γινόμενα ἀπηγγελκόσιν· οὐ γὰρ ἑώρα διότι ἂν πλάσαιντο τὰ ψεύδη. Καὶ μετὰ ταῦτα ἀπῆρεν εἰς Βρεντέσιον· ἔγνω γὰρ οὐδένα ἐνόντα τῶν ἐχθρῶν αὐτόθι, πρότερον δ' ὑπιδόμενος (1) μὴ ὑπό του φρουροῖτο ἡ πόλις, οὐκ εἰκῆ τὸν πλοῦν ἐκ τοῦ πέραν ἀπηύθυνεν (2). Ἧκε δ' αὐτῷ καὶ παρὰ τῆς μητρὸς ἐπιστολὴ ἐν ᾗ ἐγέγραπτο δέησις ἰσχυρὰ, ὡς τάχιστα ἀφικέσθαι καὶ ἑαυτὸν ἐκείνῃ τε ἀποδοῦναι καὶ τῷ σύμπαντι οἴκῳ, ὡς μήτις ἐπ' αὐτὸν ἔξωθεν ἐπιβουλὴ συσταίη παῖδα Καίσαρος ἀναδεδειγμένον. Ἐδήλου δ' ὅμοια τοῖς πρότερον ἠγγελμένοις, καὶ ὡς ἐπὶ τοὺς περὶ Βροῦτον καὶ Κάσσιον ἐξήγερται ὁ πᾶς (3) δῆμος δυσανασχετῶν ἃ δράσειεν. Ἀπέστειλε δ' αὐτῷ καὶ ὁ πατρῳὸς Φίλιππος, δεόμενος μὴ προσελθεῖν τῇ Καίσαρος κληρονομίᾳ, φυλάξασθαι δὲ καὶ αὐτὸ τοὔνομα, δι' ἃ πάθοι κεῖνος, ζῆν δ' ἀπραγμόνως καὶ ἀσφαλῶς (4). Ὁ δὲ Καῖσαρ ᾔδει μὲν ὑπ' εὐνοίας ταῦτα παραινοῦντα, ἐγίνωσκε δὲ τἀναντία, μεγάλα ἐπινοῶν ἤδη καὶ φρονήματος μεστὸς ὢν, ποιούμενος δὲ ἴδια πόνον καὶ κίνδυνον καὶ (5) ἀνδρῶν ἀπέχθειαν, οἷς οὐκ ἔμελλεν ἀρεστὸς φανεῖσθαι [καὶ] τοσοῦδε ὀνόματος καὶ ἀρχῆς παραχωρήσειν ὅτῳ οὖν, ἄλλως τε καὶ τῆς πατρίδος συμπροθυμουμένης καὶ ἐπὶ τὰς πατρῴους τιμὰς καλούσης αὐτὸν ἐκ τοῦ δικαιοτάτου· καὶ γὰρ φύσει καὶ νόμῳ τὰς ἀρχὰς αὐτῷ προσήκειν, ἄγχιστα τοῦ (*) γένους ὄντι καὶ ὑπ' αὐτοῦ κείνου παιδὶ τεθειμένῳ· καὶ τὸ ἐπεξελθεῖν δ' αὐτῷ καὶ τιμωρῆσαι τοιαῦτα πεπονθότι πάντων εἶναι δικαιότατον. Ὁ μὲν δὴ ταῦτα ἐφρόνει τε καὶ τὸν Φίλιππον γράφων ἀνεδίδασκεν οὐ μάλα πειθόμενον. Ἀντία δὲ ἡ μήτηρ τὸ μὲν εὐκλεὲς τῆς τύχης καὶ τὸ μέγεθος τῆς δυναστείας ἔχαιρεν ὁρῶσα περιεληλυθὸς (6) τῷ ἑαυτῆς παιδὶ, εἰδυῖα δὲ μεστὸν τὸ πρᾶγμα φόβων τε καὶ κινδύνων, καὶ

militum vi instructus, in præsentia ultionem Cæsaris non fuisset persecuturus. Quare illis securis urbe egredi Antiumque se conferre licuisset. Ceterum domus eorum a populo obsessas esse, non sub duce aliquo, sed a sola multitudine ob suam erga Cæsarem benevolentiam cædem ejus ægre ferente, idque tum maxime, quum vestem ejus sanguine inquinatam et corpus recens necati, dum ad sepulturam efferretur, conspexisset : quo tempore, vi adhibita, illud in medio foro funere honorassent.

XVIII. Quibus auditis Cæsar junior memoria hujus viri et amore in lacrimas et lamentationem erumpens luctum renovavit. Quo demum sedato, alteras a matre et ab amicis, qui Romæ erant, literas exspectabat; quamquam non diffidebat iis qui res gestas ei nuntiaverant. Nihil enim videbat cur mendacia illi finxissent. Post hæc profectus est Brundusium. Jam enim noverat nullum ibi inesse hostem. Prius vero suspicatus ne occupata urbs ab hostium aliquo teneretur, non temere ex Apolloniæ litore cursum huc dirigere voluerat. Tum allatæ sunt a matre literæ, in quibus enixe precabatur, ut ocius Romam veniens ipsi et familiæ universæ se restitueret, ne foris insidiis, utpote Cæsaris filius adoptivus, appeteretur. Præterea scripsit eadem quæ ipse jam compererat, et quomodo contra Brutum et Cassium populus universus facinus eorum graviter ferens consurgeret. Philippus quoque vitricus literas misit, petens ne Cæsaris adiret hereditatem atque ipsum etiam nomen caveret, propter ea quæ iste perpessus esset; sed ut a publicis se negotiis abstinens vitam degeret securam. Verum Cæsar quamvis nosset benevolentia ductum hæc Philippum suadere, contraria tamen decrevit, magna jam moliens fiduciæque plenus, atque propria sibi faciens laborem et periculum et adversariorum inimicitiam, quibus minime gratus videri neque cuiquam tanto cedere nomine et imperio volebat, præsertim adjuvante ipsum favore civium et ad capessendos vocante honores paternos, idque justissime; nam et natura et lege istas dignitates ad se pertinere censebat, quum genere Cæsari proximus esset, ab eoque ipso in filii locum adoptatus; denique ulcisci tanta perpessum pœnasque pro eo repetere omnium esse æquissimum. Hæc cogitabat de iisque Philippum literis edocebat minime illum assentientem. Atia mater gaudebat quidem tantæ fortunæ gloriam imperiique magnitudinem ad filium suum devenire videns, simul vero rem metus et periculi plenam esse intelligens et quæ Cæsar avunculus passus esset con-

— 12. ὑπεξελθεῖν] ἐπεξελθεῖν codex. — 13. φόνον] φθόνον codex.

XVIII. 1. δ' ὑπιδόμενος] scripsi; codex δ' ἐπειδόμενος. De eadem re sic Appian. III, 10 : Διέπλει τὸν Ἰόνιον, οὐκ ἐς τὸ Βρεντέσιον (οὔπω γάρ τινα τοῦ ἐκεῖθι στρατοῦ πεῖραν εἰληφὼς, πάντα ἐφυλάττετο), ἀλλ' εἰς ἑτέραν... πόλιν... ᾗ ὄνομα Λουπίαι. — 2. ἀπηύθυνεν] ἀπήνθανεν codex. — 3. πᾶς] παῖς codex. — 4. Ejusdem argumenti epistolam habes ap: Appian. III, 10, nisi quod eam Apolloniæ, non in Italia Octavius accepit. Cf. Vellej. II, 60 : *Non placebat Atiæ matri et Philippo vitrico, adiri nomen invidiosæ fortunæ Cæsaris; sed adserebant salutaria reipublicæ terrarumque orbis fata conditorem servatoremque Romani nominis. Sprevit itaque cœlestis animus humana consilia, et cum periculo potius summa, quam tuto humilia proposuit sequi, maluitque avunculo et Cæsari de se quam vitrico credere, dictitans nefas esse, quo nomine Cæsari dignus esset visus, semet ipsum videri indignum.* Quæ ex ipso Nicolao ducta esse diceres. — 5. καὶ] ἢ codex. Mox addidi καί. — * ἀγχιστάτῳ cod. — 6. περιεληλυθὸς] περιεληλυθότος cod.

ἅμα ἑωρακυῖα Καίσαρα τὸν ἑαυτῆς θεῖον οἷα πάθοι, οὐ πάνυ προσίετο πάλιν· ἐῴκει δὲ μεταξὺ ἀμφοτέρων εἶναι τῶν γνωμῶν, τῆς τε τοῦ ἀνδρὸς Φιλίππου καὶ τοῦ υἱέος. Καὶ ἡ μὲν διὰ τοῦτο ἐν φροντίσι μυρίαις ἦν, τοτὲ μὲν ἀνιωμένη, ἐπειδὰν τοὺς ἠρτημένους ἀριθμῆται κινδύνους τῶν συμπάντων ἄρχειν ἀξιοῦντι, τοτὲ δ' ἐπαιρομένη, ἐπειδὰν τὸ μέγεθος τῆς ἐξουσίας τε καὶ τιμῆς λογίζηται. Διὸ ἀποτρέπειν μὲν τὸν παῖδα οὐκ ἐτόλμα μεγάλοις ἐγχειροῦντα καὶ ἐπὶ δικαίαν ἄμυναν ὡρμημένον, οὐ μὴν δὴ οὐδὲ συμπαρορμᾶν διὰ τὸ ἄδηλον τοῦ δαίμονος· συνεχώρει δ' ὅμως τοὔνομα ἔχειν τὸ Καίσαρος, καὶ αὐτὴ πρώτη συνέπαινος ἦν. Πάντων δὲ τῶν φίλων καὶ περὶ τοῦδε ὁ Καῖσαρ πυθόμενος ἃ ἐφρόνουν, οὐδὲν μελλήσας τύχῃ ἀγαθῇ καὶ ἐπ' εὐφήμῳ κληδόνι δέχεται τοὔνομά τε καὶ τὴν υἱοθεσίαν, ἣ καὶ αὐτῷ (7) καὶ πᾶσιν ἀνθρώποις ἀρχὴ ἀγαθῶν ἦν, πολὺ δὲ μάλιστα τῇ πατρίδι καὶ σύμπαντι τῷ Ῥωμαίων γένει. Ἔπεμψε δὲ παραχρῆμα καὶ ἐπὶ τὰς ἐν τῇ Ἀσίᾳ παρασκευὰς καὶ τὰ χρήματα ἃ προὔπεμψε Καῖσαρ πρότερον ἐπὶ τὸν Παρθικὸν πόλεμον. Καὶ ἐπειδὴ ἐκομίσθη, καὶ σὺν αὐτοῖς ὁ ἐτήσιος φόρος τῶν ἐν Ἀσίᾳ ἐθνῶν, ἀρκούμενος Καῖσαρ τοῖς πατρῴοις, τὰ δημόσια εἰς τὸ ταμιεῖον τῆς πόλεως ἀπέπεμψε. Παρῄνουν δὲ καὶ τότε αὐτῷ τῶν φίλων ἔνιοι ἃ (8) καὶ ἐν Ἀπολλωνίᾳ, χωρεῖν ἐπὶ τὰς ἀποικίας τοῦ πατρὸς καὶ τὰ στρατεύματα συγκροτεῖν, κἀκείνους εἰς τὴν ὑπὲρ αὐτοῦ ἔξοδον (9) ἄλλως τε καὶ τοῦ ὀνόματος μεγάλου **. Ἥδιστα γὰρ καὶ τοὺς στρατιώτας ἡγουμένου τοῦ Καίσαρος υἱέος ἀκολουθήσειν τε καὶ πάντα δράσειν· θαυμαστὴ γάρ τις αὐτοῖς πίστις τε καὶ εὔνοια ὑπῆρχε πρὸς ἐκεῖνον καὶ μνήμη ὧν συγκατειργάσαντο (10) ζῶντι, πόθος τε ἐπὶ τοῦ ἐκείνου ὀνόματος συναγωνίζειν ἣν αὐτοὶ ἐκείνῳ πρότερον περιέθεσαν (11) ἀρχήν. Ἀλλὰ τῶνδε μὲν οὐδέπω ὁ καιρὸς ἐφαίνετο εἶναι· ἐσπούδαζε δὲ (12) νομίμως τὰς πατρίους ἀρχὰς μετιὼν γνώμῃ συγκλήτου μὴ λαβεῖν δόξαν φιλοτιμουμένου μᾶλλόν περ ἢ νομίμου. Διὸ τῶν φίλων τοῖς πρεσβυτάτοις τε καὶ ἐμπειρίᾳ προὔχουσι μάλιστα ἐπείθετο (13), ἀπό τε Βρεντεσίου ὥρμησεν ἐπὶ Ῥώμης.

XIX. Ἐπιζητεῖ δὲ τοὐντεῦθεν ὁ λόγος ὅπως συστήσειαν τὴν ἐπιβουλὴν οἱ σφαγεῖς ἐπὶ Καίσαρα, καὶ ὡς τὸ σύμπαν κατειργάσαντο, τά τε μετὰ (1) ταῦτα πραχθέντα, κινηθέντων τῶν ὅλων. Διέξειμι οὖν αὐτήν τε πρῶτον καθ' ὅ τι (2) ἐγένετο καὶ ὅπως, τάς τε αἰτίας ὑφ' ὧν συστᾶσα τοσόνδε ἐπεξῆλθεν· ἔπειτα δὲ περὶ τοῦ ἑτέρου Καίσαρος, οὗ ἕνεκα ὅδε ὁ λόγος ὥρμηται, ὅπως τε παρῆλθεν εἰς τὴν ἀρχήν, καὶ ἐπειδὴ ἀντ' ἐκείνου κατέστη, ὅπως ἔργα πολέμου καὶ εἰρήνης ἀπεδείξατο. Ἦρξαν μὲν οὖν τῆς ἐπιβουλῆς ἄνδρες τὸ μὲν πρῶτον ὀλίγοι, μετὰ δὲ ταῦτα πολλοὶ καὶ ὅσοι οὔτε πρότερον

spicata, rursus haud libenter admodum hoc admittebat, et videbatur inter utramque fluctuare sententiam mariti atque filii. Sic illa innumeris curis discruciabatur, modo dolore affecta, quando pericula enumeraret de summo imperio contendenti imminentia, modo gaudio elata, quando potentiæ honorisque reputaret magnitudinem. Quare avertere quidem filium non audebat res magnas aggredientem justamque ultionem molientem, verumtamen neque etiam incitare eum, quod incerta sit fortuna, sustinebat. Concessit tamen ut nomen Cæsaris assumeret, imo prima ipsa hoc collaudavit. Cæsar vero postquam de his quoque omnes amicos, quid sentirent, consuluerat, nihil moratus bona fortuna faustoque omine nomen Cæsaris et adoptionem adiit : quod tum ipsi tum omnibus hominibus bonorum erat initium, præ ceteris autem patriæ et Romanorum populo universo. Ac confestim in Asiam misit ad apparatus et pecunias, quas Cæsar ad bellum Parthicum præmiserat. Quibus reportatis una cum tributo annuo populorum Asiaticorum, Cæsar, paternis opibus contentus, bona publica in fiscum Romam perferenda curavit. Ceterum tunc quoque amicorum nonnulli suadebant, quod jam Apolloniæ suaserant, ut in veteranorum colonias a patre deductas se conferret, milites ibi convocaret, eosque ad expeditionem pro ipso suscipiendam tum aliis modis tum magni Cæsaris nominis recordatione excitaret; nam lubentissime exercitum etiam filium Cæsaris ducem secuturum et imperata omnia facturum esse. Etenim mira quædam apud illos fides vigebat et benevolentia erga Cæsarem, et memoria rerum quæ cum vivente peregerant, et desiderium sub hujus nominis auspiciis una cum filio decertandi imperium, quod ipsi olim patri attribuerant. At horum nondum tempus esse videbatur. Porro legitime honores paternos petens sententiâ senatus non famam ambitiosi hominis potius quam legibus obtemperantis ferre studebat. Quare amicis ætate provectioribus et peritia pollentibus obsecutus Brundusio Romam sese contulit.

XIX. In sequentibus narratio nostra exponet quomodo conflata in Cæsarem percussorum conjuratio, et tota res peracta sit, et quænam deinceps gesta sint, concussa tota republica. Primum igitur ipsam persequar conjurationem, quem ad finem et quomodo facta sit, causasque dicam de quibus conflata in tantum evaserit; deinde vero de altero Cæsare loquar, cujus causa hanc narrationem institui, quo modo scilicet ad regnum pervenerit, et in illius locum subsecutus quænam bello et pace gesserit. Conjuratio initio conflata a paucis est; postea autem multi ejus participes

— 7. αὐτῷ] αὐτὸς cod. In antecedentibus codex ἐπευφήμῳ κλήδωνι. — 8. φίλων ἔνιοι ἃ καὶ] φίλων οἱ καὶ codex. — 9. ἔξοδον] malim διέξοδον, ut supra. Deinde post μεγάλου lacunam notavi. Supplere possis τῇ μνήμῃ ἐποτρύνειν. Fort. erat : συγκροτεῖν τὰ ἐν ἐκείναις... ἄλλως τε καὶ τῇ τοῦ ὀνόματος μεγαλειότητι. — 10. συγκατειργάσαντο] συγκατειργάσατο codex. — 11. περιέθεσαν] περέθεσαν codex. — 12. Supplevi part. δὲ. — 13. ἐπείθετο] ἐπίθετο codex.

XIX. 1. τά τε μετὰ] τάτε με μετὰ cod. — 2. καθ' ὅτι] καθότι cod.

ἐπὶ ἡγεμόνα μνημονεύονται συστῆναι. Φασὶ γὰρ τοὺς μετασχόντας τοῦ λόγου γενέσθαι ὑπὲρ π′ (3)· ἐν οἷς μέγιστον ἠδύνατο Δέκμος (4) τε Βροῦτος, φίλος ἐς τὰ μάλιστα ὢν Καίσαρι, καὶ Γάϊος Κάσσιός τε καὶ Μάρκος Βροῦτος, οὐδενὸς ἧττον παρὰ Ῥωμαίοις τότε ἐπαινούμενος· πάντες δὲ πρότερον ἀντιπόλεμοί τε ἦσαν καὶ τὰ Πομπηίου ηὖξον (*)· ἐκείνου δὲ ἡττηθέντος, γενόμενοι ὑπὸ Καίσαρι, τὸ ἀπ' αὐτοῦ εἰρηνικὸν (5) βίον εἶχον· οὐδὲ, καίπερ Καίσαρος φιλανθρώπως προσαγομένου ἕκαστον (6), ἐν τῇ διανοίᾳ τὸ δύσελπι αὐτῶν ἀφῃροῦντο· ἀμνησίκακος [γὰρ] ἦν (7) τὸ ἦθος πρὸς τοὺς κρατηθέντας διά τινα πραότητα. Καρπούμενοι δὴ τὸ ἀπ' ἐκείνου ἀνύποπτον, κατεχρήσαντο αὐτῷ εἰς τὸ μᾶλλόν τι λανθάνειν ἐπιβουλεύοντες ἐπαγωγοῖς τε λόγοις καὶ ἔργοις προσποιήτοις. Αἰτίαι δ' αὐτοὺς ἐνῆγον ἐπιχειρεῖν τἀνδρὶ οὐκ ἀπὸ μικρῶν διαφόρων ἰδίᾳ τε ἑκάστοις καὶ κοινῇ πᾶσι γεγονυῖαι. Οἱ μὲν γὰρ ἐλπίδος τι ἔχοντες, εἰ ἐκεῖνον ἐκποδὼν ποιήσαιντο, αὐτοὶ ἡγεμόνες ἀντ' ἐκείνου ἔσεσθαι, τὴν ἐπιβουλὴν συνίστασαν, οἱ δὲ ὑπὸ ὀργῆς ὧν πάθοιεν παρὰ τὸν πόλεμον, οἰκείων αὐτοῖς ἀπολωλότων ἢ τὰ χρήματα ἀφῃρημένοι ἢ ἀρχὰς ἐν τῇ πόλει, ἐνεπικραίνοντο, καὶ τὸ ὀργιζόμενον ὑποκρυπτόμενοι τοῦ εὐπρεποῦς τι μετεποιοῦντο, ὡς δυσχεραίνοιεν τὴν ἑνὸς ἀρχὴν, ζητοῖεν δὲ κατ' ἰσονομίαν πολιτεύεσθαι. Ἄλλα δὲ ἄλλοις αἴτια συνενεχθέντα ὑφ' ὧν ἔτυχε προφάσεων τὸ μὲν πρῶτον αὐτοὺς τοὺς δυνατωτάτους συνέστησεν, ἔπειτα πολὺ πλείους προσήγετο, τοὺς μὲν αὐτεπαγγέλτους (8) κατ' ἴδια ἐγκλήματα, τοὺς δὲ κατὰ σύμπραξιν ἑτέροις ἐκ τῆς πάλαι φιλίας πολὺ τὸ πιστὸν ὑποφαίνοντας καὶ κατὰ τοῦτο προσηταιρισμένους. Ἦσαν δέ τινες οἱ κατ' οὐδέτερον, ἀλλὰ τῇ τε ἀξιώσει τῶν ἀνδρῶν συνεπιδιδόντες τὴν γνώμην, καὶ ἐκ τῆς πάλαι δημοκρατίας ἀχθόμενοι τῇ ἑνὸς ἰσχύι, ἄσμενοί τε (ἂν), εἰ καὶ μὴ αὐτοὶ ἄρξαι τοῦ πράγματος, ἀλλ' ἑτέρου γε ἄρξαντος συλλαβέσθαι τότ' ἀγαπητῶς μετὰ τοιούτων ἀνδρῶν, εἰ (9) καί τι δέοι παθεῖν οὐκ ὀκνοῦντες. Πολλὰ δ' ἐξώτρυνε καὶ ἡ ἐκ παλαιοῦ Βρούτοις ὑποῦσα εὔκλεια (10) τῶν προγόνων τοὺς ἀπὸ Ῥωμύλου βασιλεῖς (11) τῆς Ῥώμης καταλελυκότων καὶ δημοκρατίαν πρῶτον καταστησαμένων. Οἵ τε φίλοι πρότερον ὄντες τῷ Καίσαρι οὐκέθ' ὁμοίως εὖνοι ἦσαν, εἰς ἴσον ἑαυτοῖς ὁρῶντες τιμωμένους τοὺς πάλαι μὲν πολεμίους, ὑπ' ἐκείνου δὲ σωθέντας. Οὐ μὴν οὐδὲ αὐτοῖς ἐκείνοις τὸ εὔνουν ὑπῆρχεν, ἀλλ' ἐπίπροσθεν τῆς χάριτος γινόμενον τὸ ἀρχαῖον μῖσος οὐχ ὧν εὖ ἔπαθον σωθέντες μνήμην ἐνεποίει, ἀλλ' ὧν ἀπεστερήθησαν ἀγαθῶν κρατηθέντες ἐννοούμενοι παρωξύνοντο (12). Πολλοὶ δὲ καὶ αὐτῷ ἤχθοντο τὸ δι' ἐκείνου σεσῶσθαι, καίτοι γε ἀνονείδιστα αὐτοὺς

facti, et quot antea nunquam in ducem conjurasse memorantur. Nam supra octoginta fuisse dicunt, inter quos principes erant Decimus Brutus, Cæsaris ex intimis amicis, et C. Cassius et M. Brutus, gratia tunc apud Romanos nemini inferior. Hi omnes antea adversarii fuerant et Pompeii partibus addicti. Quo debellato, quum in Cæsaris potestatem venissent, in præsens quietem agebant; neque vero, quamquam humanitate et gratia singulos conciliare sibi Cæsar studebat, malam spem animis expellebant. Et quum immemor injuriarum erga victos esset ingenita lenitate, illi in rem suam convertentes quod nihil Cæsar ipsos suspectaret, abusi eo sunt, ut tanto facilius laterent insidiantes verbis blandis factisque simulatis. Caussæ vero ad manum viro admovendam eos induxerunt diversissimæ privatim singulos et communiter omnes. Nonnulli quod sperabant, si Cæsarem removissent, ipsos ejus loco imperio potituros esse, insidias parabant; alii ira propter ea quæ per bellum passi essent, necessariis orbati, et opibus et muneribus, quibus in urbe functi erant, spoliati, exacerbabantur, sed iram hanc celantes, speciosius aliquid præ se ferebant, aientes graviter se ferre unius viri imperium, atque hoc agere, ut ex juris æquabilitate respublica regeretur. Aliæ denique aliis causæ erant ex obvio quoque prætextu repetitæ; quæ initio quidem nonnisi principes conjurationis jungebant, deinde vero multo plures adducebant, partim sponte sua venientes ob privatas criminationes, partim societate sua aliis vetustæ amicitiæ firmissimam fidem testaturos et propter hoc se conjuratis adjungentes. Erant etiam nonnulli, qui neutro horum, sed dignitate illorum virorum moti suffragabantur iis, atque veteris status popularis memores ægre ferebant unius viri potentiam, et quamquam ipsi rem non suscepturi fuissent, tamen ubi alius eam aggressus esset, tum alacres se adjungere properabant cum ejusmodi viris, etiamsi pati aliquid deberent, haud cunctantes. Multum vero excitabat etiam quæ ex antiquo tempore Brutis erat nobilis fama majorum, qui reges post Romulum Romanis imperantes everterant, primumque populare regimen instituerant. Porro pristini Cæsaris amici non ejusdem amplius benevolentiæ erant, quod pari apud eum honore esse videbant eos, qui hostes olim fuerant et a Cæsare servati. Verum ne his ipsis quidem sincera erat benevolentia, sed offuscans gratiam vetus odium non quæ in servatos Cæsar contulisset beneficiorum memoriam infigebat, sed quæ victi bona amisissent recordantes exstimulabat. Multi etiam eo infensi erant, quod salutem suam Cæsari deberent, quamquam ne minimo quidem probro ab eo

— 3. ὑπὲρ π′] Conspiratum est a *sexaginta amplius*, Sueton. Cæs. 80. — 4. Δέκμος] sic etiam ap. Appianum libri pro Δέκιμος. — * ηὔξων cod. — 5. ὑπὸ Καίσαρι... βίον] ὑπὸ καίρος τὸ ἀπ' αὐτοῦ (ὑπὸ Καίσαρι ἐς τὸ παραυτίκα?) εἰρην βίον εἶχον (εἰρήνην ἦγον?) codex. — 6. οὐδὲ γὰρ ἄλλως φιλανθρώπως προσαγομένου ἑκάστου codex. — 7. ἀμνησίκακος γὰρ ἦν] μνησίκακος ὤν. Mutato. ὢν in ἦν, addidi particulam γάρ. — 8. αὐτεπαγγ.] ἀντεπαγγ. codex. — 9 εἰ καὶ] fortasse ante εἰ excidit alterum καί. — 10. εὔκλεια] εὔκλει codex. — 11. βασιλεῖς] βασίλεως codex. — 12. εὐνοουμένους codex. Fort. præstat εὐνοουμένους παρώξυνε.

ἅμα ἑωρακυῖα Καίσαρα τὸν ἑαυτῆς θεῖον οἷα πάθοι, οὐ πάνυ προσίετο πάλιν· ᾤκει δὲ μεταξὺ ἀμφοτέρων εἶναι τῶν γνωμῶν, τῆς τε τοῦ ἀνδρὸς Φιλίππου καὶ τοῦ υἱέος. Καὶ ἡ μὲν διὰ τοῦτο ἐν φροντίσι μυρίαις ἦν, τοτὲ μὲν ἀνιωμένη, ἐπειδὰν τοὺς ἠρτημένους ἀριθμῆται κινδύνους τῶν συμπάντων ἄρχειν ἀξιοῦντι, τοτὲ δ' ἐπαιρομένη, ἐπειδὰν τὸ μέγεθος τῆς ἐξουσίας τε καὶ τιμῆς λογίζηται. Διὸ ἀποτρέπειν μὲν τὸν παῖδα οὐκ ἐτόλμα μεγάλοις ἐγχειροῦντα καὶ ἐπὶ δικαίαν ἄμυναν ὡρμημένον, οὐ μὴν δὴ οὐδὲ συμπαρορμᾶν διὰ τὸ ἄδηλον τοῦ δαίμονος· συνεχώρει δ' ὅμως τοὔνομα ἔχειν τὸ Καίσαρος, καὶ αὐτὴ πρώτη συνέπαινος ἦν. Πάντων δὲ τῶν φίλων καὶ περὶ τοῦδε ὁ Καῖσαρ πυθόμενος ἃ ἐφρόνουν, οὐδὲν μελλήσας τύχῃ ἀγαθῇ καὶ ἐπ' εὐφήμῳ κληδόνι δέχεται τοὔνομά τε καὶ τὴν υἱοθεσίαν, ἣ καὶ αὐτῷ (7) καὶ πᾶσιν ἀνθρώποις ἀρχὴ ἀγαθῶν ἦν, πολὺ δὲ μάλιστα τῇ πατρίδι καὶ σύμπαντι τῷ Ῥωμαίων γένει. Ἔπεμψε δὲ παραχρῆμα καὶ ἐπὶ τὰς ἐν τῇ Ἀσίᾳ παρασκευὰς καὶ τὰ χρήματα ἃ προὔπεμψε Καῖσαρ πρότερον ἐπὶ τὸν Παρθικὸν πόλεμον. Καὶ ἐπειδὴ ἐκομίσθη, καὶ σὺν αὐτοῖς ὁ ἐτήσιος φόρος τῶν ἐν Ἀσίᾳ ἐθνῶν, ἀρκούμενος Καῖσαρ τοῖς πατρῴοις, τὰ δημόσια εἰς τὸ ταμιεῖον τῆς πόλεως ἀπέπεμψε. Παρῄνουν δὲ καὶ τότε αὐτῷ τῶν φίλων ἔνιοι ἃ (8) καὶ ἐν Ἀπολλωνίᾳ, χωρεῖν ἐπὶ τὰς ἀποικίας τοῦ πατρὸς καὶ τὰ στρατεύματα συγκροτεῖν, κἀκείνους εἰς τὴν ὑπὲρ αὐτοῦ ἔξοδον (9) ἄλλως τε καὶ τοῦ ὀνόματος μεγάλου **. Ἥδιστα γὰρ καὶ τοὺς στρατιώτας ἡγουμένου τοῦ Καίσαρος υἱέος ἀκολουθήσειν τε καὶ πάντα δράσειν· θαυμαστὴ γάρ τις αὐτοῖς πίστις τε καὶ εὔνοια ὑπῆρχε πρὸς ἐκεῖνον καὶ μνήμη ὧν συγκατειργάσαντο (10) ζῶντι, πόθος τε ἐπὶ τοῦ ἐκείνου ὀνόματος συναγωνίζειν ἣν αὐτοὶ ἐκείνῳ πρότερον περιέθεσαν (11) ἀρχήν. Ἀλλὰ τῶνδε μὲν οὐδέπω ὁ καιρὸς ἐφαίνετο εἶναι· ἐσπούδαζε δὲ (12) νομίμως τὰς πατρίους ἀρχὰς μετιὼν γνώμῃ συγκλήτου μὴ λαβεῖν δόξαν φιλοτιμουμένου μᾶλλόν περ ἢ νομίμου. Διὸ τῶν φίλων τοῖς πρεσβυτάτοις τε καὶ ἐμπειρίᾳ προὔχουσι μάλιστα ἐπείθετο (13), ἀπό τε Βρεντεσίου ὥρμησεν ἐπὶ Ῥώμης.

XIX. Ἐπιζητεῖ δὲ τοὐντεῦθεν ὁ λόγος ὅπως συστήσειαν τὴν ἐπιβουλὴν οἱ σφαγεῖς ἐπὶ Καίσαρα, καὶ ὡς τὸ σύμπαν κατειργάσαντο, τά τε μετὰ (1) ταῦτα πραχθέντα, κινηθέντων τῶν ὅλων. Διέξειμι οὖν αὐτήν τε πρῶτον καθ' ὅ τι (2) ἐγένετο καὶ ὅπως, τάς τε αἰτίας ὑφ' ὧν συστᾶσα τοσόνδε ἐπεξῆλθεν· ἔπειτα δὲ περὶ τοῦ ἑτέρου Καίσαρος, οὗ ἕνεκα ὅδε ὁ λόγος ὥρμηται, ὅπως τε παρῆλθεν εἰς τὴν ἀρχήν, καὶ ἐπειδὴ ἀντ' ἐκείνου κατέστη, ὅπως ἔργα πολέμου καὶ εἰρήνης ἀπεδείξατο. Ἦρξαν μὲν οὖν τῆς ἐπιβουλῆς ἄνδρες τὸ μὲν πρῶτον ὀλίγοι, μετὰ δὲ ταῦτα πολλοὶ καὶ ὅσοι οὔτε πρότερον

spicata, rursus haud libenter admodum hoc admittebat, et videbatur inter utramque fluctuare sententiam mariti atque filii. Sic illa innumeris curis discruciabatur, modo dolore affecta, quando pericula enumeraret de summo imperio contendenti imminentia, modo gaudio elata, quando potentiæ honorisque reputaret magnitudinem. Quare avertere quidem filium non audebat res magnas aggredientem justamque ultionem molientem, verumtamen neque etiam incitare eum, quod incerta sit fortuna, sustinebat. Concessit tamen ut nomen Cæsaris assumeret, imo prima ipsa hoc collaudavit. Cæsar vero postquam de his quoque omnes amicos, quid sentirent, consuluerat, nihil moratus bona fortuna faustoque omine nomen Cæsaris et adoptionem adiit : quod tum ipsi tum omnibus hominibus bonorum erat initium, præ ceteris autem patriæ et Romanorum populo universo. Ac confestim in Asiam misit ad apparatus et pecunias, quæ Cæsar ad bellum Parthicum præmiserat. Quibus reportatis una cum tributo annuo populorum Asiaticorum, Cæsar, paternis opibus contentus, bona publica in fiscum Romam perferenda curavit. Ceterum tunc quoque amicorum nonnulli suadebant, quod jam Apolloniæ suaserant, ut in veteranorum colonias a patre deductas se conferret, milites ibi convocaret, eosque ad expeditionem pro ipso suscipiendam tum aliis modis tum magni Cæsaris nominis recordatione excitaret; nam lubentissime exercitum etiam filium Cæsaris ducem secuturum et imperata omnia facturum esse. Etenim mira quædam apud illos fides vigebat et benevolentia erga Cæsarem, et memoria rerum quæ cum vivente peregerant, et desiderium sub hujus nominis auspiciis una cum filio decertandi imperium, quod ipsi olim patri attribuerant. At horum nondum tempus esse videbatur. Porro legitime honores paternos petens sententiâ senatus non famam ambitiosi hominis potius quam legibus obtemperantis ferre studebat. Quare amicis ætate provectioribus et peritia pollentibus obsecutus Brundusio Romam sese contulit.

XIX. In sequentibus narratio nostra exponet quomodo conflata in Cæsarem percussorum conjuratio, et tota res peracta sit, et quænam deinceps gesta sint, concussa tota republica. Primum igitur ipsam persequar conjurationem, quem ad finem et quomodo facta sit, causasque dicam de quibus conflata in tantum evaserit; deinde vero de altero Cæsare loquar, cujus causa hanc narrationem institui, quo modo scilicet ad regnum pervenerit, et in illius locum subsecutus quænam bello et pace gesserit. Conjuratio initio conflata a paucis est; postea autem multi ejus participes

— 7. αὐτῷ] αὐτὸς cod. In antecedentibus codex ἐπευφήμῳ κλήδωνι. — 8. φίλων ἔνιοι ἃ καὶ] φίλων οἱ καὶ codex. — 9. ἔξοδον] malim διέξοδον, ut supra. Deinde post μεγάλου lacunam notavi. Supplere possis τῇ μνήμῃ ἐποτρύνειν. Fort. erat : συγκροτεῖν τὰ ἐν ἐκείναις... ἄλλως τε καὶ τῇ τοῦ ὀνόματος μεγαλειότητι. — 10. συγκατειργάσαντο] συγκατειργάσατο codex. — 11. περιέθεσαν] περέθεσαν codex. — 12. Supplevi part. δὲ. — 13. ἐπείθετο] ἐπίθετο codex.

XIX. 1. τά τε μετὰ] τάτε με μετὰ cod. — 2. καθ' ὅτι] καθότι cod.

ἐπὶ ἡγεμόνα μνημονεύονται συστῆναι. Φασὶ γὰρ τοὺς μετασχόντας τοῦ λόγου γενέσθαι ὑπὲρ π' (3)· ἐν οἷς μέγιστον ἠδύνατο Δέκμος (4) τε Βροῦτος, φίλος ἐς τὰ μάλιστα ὢν Καίσαρι, καὶ Γάϊος Κάσσιός τε καὶ Μάρκος Βροῦτος, οὐδενὸς ἧττον παρὰ Ῥωμαίοις τότε ἐπαινούμενος· πάντες δὲ πρότερον ἀντιπόλεμοί τε ἦσαν καὶ τὰ Πομπηίου ηὖξον (*)· ἐκείνου δὲ ἡττηθέντος, γενόμενοι ὑπὸ Καίσαρι, τὸ ἀπ' αὐτοῦ εἰρηνικὸν (5) βίον εἶχον· οὐδὲ, καίπερ Καίσαρος φιλανθρώπως προσαγομένου ἕκαστον (6), ἐν τῇ διανοίᾳ τὸ δύσελπι αὐτῶν ἀφῃροῦντο· ἀμνησίκακος [γὰρ] ἦν (7) τὸ ἦθος πρὸς τοὺς κρατηθέντας διά τινα πραότητα. Καρπούμενοι δὴ τὸ ἀπ' ἐκείνου ἀνύποπτον, κατεχρήσαντο αὐτῷ εἰς τὸ μᾶλλόν τι λανθάνειν ἐπιβουλεύοντες ἐπαγωγοῖς τε λόγοις καὶ ἔργοις προσποιήτοις. Αἰτίαι δ' αὐτοὺς ἐνῆγον ἐπιχειρεῖν τἀνδρὶ οὐκ ἀπὸ μικρῶν διαφόρων ἰδίᾳ τε ἑκάστοις καὶ κοινῇ πᾶσι γεγονυῖαι. Οἱ μὲν γὰρ ἐλπίδος τι ἔχοντες, εἰ ἐκεῖνον ἐκποδὼν ποιήσαιντο, αὐτοὶ ἡγεμόνες ἀντ' ἐκείνου ἔσεσθαι, τὴν ἐπιβουλὴν συνίστασαν, οἱ δὲ ὑπὸ ὀργῆς ὧν πάθοιεν παρὰ τὸν πόλεμον, οἰκείων αὐτοῖς ἀπολωλότων ἢ τὰ χρήματα ἀφῃρημένοι ἢ ἀρχὰς ἐν τῇ πόλει, ἐνεπικραίνοντο, καὶ τὸ ὀργιζόμενον ὑποκρυπτόμενοι τοῦ εὐπρεποῦς τι μετεποιοῦντο, ὡς δυσχεραίνοιεν τὴν ἑνὸς ἀρχὴν, ζητοῖεν δὲ κατ' ἰσονομίαν πολιτεύεσθαι. Ἄλλα δὲ ἄλλοις αἴτια συνενεχθέντα ὑφ' ὧν ἔτυχε προφάσεων τὸ μὲν πρῶτον αὐτοὺς τοὺς δυνατωτάτους συνέστησεν, ἔπειτα πολὺ πλείους προσήγετο, τοὺς μὲν αὐτεπαγγέλτους (8) κατ' ἴδια ἐγκλήματα, τοὺς δὲ κατὰ σύμπραξιν ἑτέροις ἐκ τῆς πάλαι φιλίας πολὺ τὸ πιστὸν ὑποφαίνοντας καὶ κατὰ τοῦτο προσηταιρισμένους. Ἦσαν δέ τινες οἱ κατ' οὐδέτερον, ἀλλὰ τῇ τε ἀξιώσει τῶν ἀνδρῶν συνεπιδιδόντες τὴν γνώμην, καὶ ἐκ τῆς πάλαι δημοκρατίας ἀχθόμενοι τῇ ἑνὸς ἰσχύϊ, ἄσμενοί τε (ἂν), εἰ καὶ μὴ αὐτοὶ ἄρξαι τοῦ πράγματος, ἀλλ' ἑτέρου γε ἄρξαντος συλλαβέσθαι τότ' ἀγαπητῶς μετὰ τοιούτων ἀνδρῶν, εἰ (9) καί τι δέοι παθεῖν οὐκ ὀκνοῦντες. Πολλὰ δ' ἐξώτρυνε καὶ ἡ ἐκ παλαιοῦ Βρούτοις ὑποῦσα εὔκλεια (10) τῶν προγόνων τοὺς ἀπὸ Ῥωμύλου βασιλεῖς (11) τῆς Ῥώμης καταλελυκότων καὶ δημοκρατίαν πρῶτον καταστησαμένων. Οἵ τε φίλοι πρότερον ὄντες τῷ Καίσαρι οὐκέθ' ὁμοίως εὖνοι ἦσαν, εἰς ἴσον ἑαυτοῖς ὁρῶντες τιμωμένους τοὺς πάλαι μὲν πολεμίους, ὑπ' ἐκείνου δὲ σωθέντας. Οὐ μὴν οὐδὲ αὐτοῖς ἐκείνοις τὸ εὔνουν ὑπῆρχεν, ἀλλ' ἐπίπροσθεν τῆς χάριτος γινόμενον τὸ ἀρχαῖον μῖσος οὐχ ὧν εὖ ἔπαθον σωθέντες μνήμην ἐνεποίει, ἀλλ' ὧν ἀπεστερήθησαν ἀγαθῶν κρατηθέντες ἐννοούμενοι παρωξύνοντο (12). Πολλοὶ δὲ καὶ αὐτῷ ἤχθοντο τὸ δι' ἐκείνου σεσῶσθαι, καίτοι γε ἀνονείδιστα αὐτοὺς

facti, et quot antea nunquam in ducem conjurasse memorantur. Nam supra octoginta fuisse dicunt, inter quos principes erant Decimus Brutus, Cæsaris ex intimis amicis, et C. Cassius et M. Brutus, gratia tunc apud Romanos nemini inferior. Hi omnes antea adversarii fuerant et Pompeii partibus addicti. Quo debellato, quum in Cæsaris potestatem venissent, in præsens quietem agebant; neque vero, quamquam humanitate et gratia singulos conciliare sibi Cæsar studebat, malam spem animis expellebant. Et quum immemor injuriarum erga victos esset ingenita lenitate, illi in rem suam convertentes quod nihil Cæsar ipsos suspectaret, abusi eo sunt, ut tanto facilius laterent insidiantes verbis blandis factisque simulatis. Causæ vero ad manum viro admovendam eos induxerunt diversissimæ privatim singulos et communiter omnes. Nonnulli quod sperabant, si Cæsarem removissent, ipsos ejus loco imperio potituros esse, insidias parabant; alii ira propter ea quæ per bellum passi essent, necessariis orbati, et opibus et muneribus, quibus in urbe functi erant, spoliati, exacerbabantur, sed iram hanc celantes, speciosius aliquid præ se ferebant, aientes graviter se ferre unius viri imperium, atque hoc agere, ut ex juris æquabilitate respublica regeretur. Aliæ denique aliis causæ erant ex obvio quoque prætextu repetitæ; quæ initio quidem nonnisi principes conjurationis jungebant, deinde vero multo plures adducebant, partim sponte sua venientes ob privatas criminationes, partim societate sua aliis vetustæ amicitiæ firmissimam fidem testaturos et propter hoc se conjuratis adjungentes. Erant etiam nonnulli, qui neutro horum, sed dignitate illorum virorum moti suffragabantur iis, atque veteris status popularis memores ægre ferebant unius viri potentiam, et quamquam ipsi rem non suscepturi fuissent, tamen ubi alius eam aggressus esset, tum alacres se adjungere properabant cum ejusmodi viris, etiamsi pati aliquid deberent, haud cunctantes. Multum vero excitabat etiam quæ ex antiquo tempore Brutis erat nobilis fama majorum, qui reges post Romulum Romanis imperantes everterant, primumque populare regimen instituerant. Porro pristini Cæsaris amici non ejusdem amplius benevolentiæ erant, quod pari apud eum honore esse videbant eos, qui hostes olim fuerant et a Cæsare servati. Verum ne his ipsis quidem sincera erat benevolentia, sed offuscans gratiam vetus odium non quæ in servatos Cæsar contulisset beneficiorum memoriam infigebat, sed quæ victi bona amisissent recordantes exstimulabat. Multi etiam eo infensi erant, quod salutem suam Cæsari deberent, quamquam ne minimo quidem probro ab eo

— 3. ὑπὲρ π'] Conspiratum est a *sexaginta amplius*, Sueton. Cæs. 80. — 4. Δέκμος] sic etiam ap. Appianum libri pro Δέκιμος. — * ἠόξων cod. — 5. ὑπὸ Καίσαρι... βίον] ὑπὸ καίρος τὰ ἀπ' αὐτοῦ (ὑπὸ Καίσαρι ἐς τὸ παραυτίκα?) εἰρην βίον εἶχον (εἰρήνην ἦγον?) codex. — 6. οὐδὲ γὰρ ἄλλως φιλανθρώπως προσαγομένου ἑκάστου codex. — 7. ἀμνησίκακος γὰρ ἦν] μνησίκακος ὢν. Mutato. ὢν in ἦν, addidi particulam γὰρ. — 8. αὐτεπαγγ.] ἀντεπαγγ. codex. — 9 εἰ καὶ] fortasse ante εἰ excidit alterum καὶ. — 10. εὔκλεια] εὔκλει codex. — 11. βασιλεῖς] βασίλεως codex. — 12. εὐνοουμένους codex. Fort. præstat εὐνοουμένους παρώξυνε.

πάντα πεποιηκότι· ἀλλ' ὅμως αὐτὸ τὸ ἐν χάριτος μέρει λαβεῖν τάδ' ἃ (13) κατὰ πολλὴν εὐμάρειαν κρατοῦσιν ὑπῆρχε, σφόδρα ἐν τῇ διανοίᾳ ἐνὸν ἐλύπει. Καὶ μὲν δὴ κἀκεῖνα τὰ ἔθη αὐτῶν διάφορα ἤδη ἦν, τῶν τε συστρατευομένων πάλιν ἐν ἰδιωτῶν (14) μοίρᾳ τῶν τε ἡγεμόνων καὶ οὐ τιμῆς μεταποιουμένων· τὸ μὲν ὅτι συγκατελέλεκτο (15) εἰς τὸ ἀρχαῖον στρατιωτικὸν τὸ πολέμῳ ἁλοῦν, καὶ τοὺς ἴσους μισθοὺς ἔφερεν. Ἤχθοντο οὖν οἱ φίλοι ἐν ἴσῳ τιμώμενοι τοῖς ὑπ' αὐτῶν αἰχμαλώτοις γενομένοις, ἔστι δ' ὑφ' ὧν καὶ παρωθούμενοι τιμῆς. Πολλοῖς δὲ καὶ τὸ εὖ πάσχειν ὑπ' αὐτοῦ διαφερόντως ἀνιαρὸν ἦν κατά τε χρημάτων δόσεις καὶ ἀρχῶν συντάξεις, ὡς μόνου δυναμένου τοῦτο ποιεῖν, τῶν δὲ ἄλλων πάντων ἐν οὐδενὸς μοίρᾳ παρεωσμένων. Αὐτός τε ἐκεῖνος ἐπὶ πολλαῖς καὶ καλαῖς νίκαις ἀγαλλόμενος οὐκ ἀπεικότως, πλέον τε ἢ ἄνθρωπος ἀξιῶν ἤδη εἶναι, τοῖς μὲν πολλοῖς ἐθαυμάζετο, τοῖς δὲ μεγάλοις καὶ δυναστείας μεταποιουμένοις ἐπαχθὴς ἐδόκει εἶναι. Παντοδαπὰ οὖν συνέστη φῦλα ἐπ' αὐτὸν ἀνδρῶν μεγάλων, μικρῶν, φίλων, πολεμίων, στρατιωτῶν, πολιτικῶν, ἑκάστων προφάσεις ἰδίας εἰς τὸ ἔργον ὑποτιμωμένων (16) καὶ ἀπὸ τῶν οἰκείων ἐγκλημάτων ἐμπιστευόντων καὶ ταῖς παρὰ τῶν ἄλλων κατηγορίαις. Ἕκαστός τε (17) ἕκαστον συνιστάμενον παρώξυνον (18), καὶ τὸ εἰς ἀλλήλους βέβαιον ἐκ τῶν ἰδίᾳ ὑπόντων πρὸς αὐτὸν (19) ἐγκλημάτων παρείχοντο. Δι' ὃ καὶ τοσούτων γενομένων τῶν συστάντων, οὐδεὶς ἐτόλμησε καταμηνῦσαι τὴν πρᾶξιν. Φασὶ δέ τινες ὀλίγον πρὸ τοῦ θανάτου γραμματίδιον (20) αὐτῷ ὑπό του δεδόσθαι μηνύον τὴν ἐπιβουλήν· ὃ μετὰ χεῖρας ἔχων πρὶν ἀναγνῶναι ἀπεσφάγη· μετὰ δὲ ἀποθανόντος ἀνευρέθη ἐν τοῖς ἄλλοις γραμματιδίοις.

XX. Ταῦτα μὲν οὖν ὕστερον ἐγνώσθη· τότε δὲ [ἄλλαις] ἐπ' ἄλλαις (1) τιμαῖς αὐτῷ ψηφιζομέναις τῶν μὲν χαρίζεσθαι βουλομένων, ἐνίων δὲ μετὰ ἐνέδρας δεχομένων τὰς ὑπερβεβλημένας καὶ εἰς ἅπαντας ἐκφερόντων, ὡς ἂν φθόνος ὁμοῦ [καὶ] (2) ὑποψία ἐγγένοιτο ἐπαχθής, ὅδε ἅτε ἁπλοῦς ὢν τὸ ἦθος καὶ ἄπειρος πολιτικῆς τέχνης διὰ τὰς ἐκδήμους (3) στρατείας, ἡλίσκετο ῥᾳδίως τούτοις, ἐκ τοῦ εἰκότος οἰόμενος γίνεσθαι τοὺς ἐπαίνους θαυμαζόντων αὐτὸν μᾶλλόν περ ἢ ἐπιβουλευόντων. Μάλιστα δὲ τῶν ἐψηφισμένων ἐλύπει τοὺς ἐν τέλει τὸ καὶ τῶν ἀρχῶν ἄκυρον γενέσθαι τῆς καταστάσεως τὸν δῆμον, ἐκείνῳ δ' αὐτὰς ἀποδίδοσθαι οἷς βούλοιτο διδόναι, ὥσπερ τὸ δόγμα ἐκέλευεν οὐ πρὸ πολλοῦ κεκυρωμένον. Παντοδαπαὶ δὲ καὶ ἐν τῷ ὁμίλῳ λογοποιίαι διεφέροντο, ἄλλων ἄλλα διεξιόντων. Οἱ μὲν γὰρ ἔφασκον βασίλειον αὐτῷ ἐγνωκέναι συμπάσης γῆς καὶ θαλάττης Αἴγυπτον ἀποδεικνύναι, ἔνθα βασιλίδα Κλεοπάτραν αὐτοῦ τεκεῖν

affecti essent; at nihilominus illud ipsum, quod beneficii loco accepissent, quibus victores summa cum commoditate frui potuissent, cogitationi inhærens contristabat. His porro jam diverso modo hostiliter affectis ii accedebant, qui expeditionum socii fuerant vel gregarii vel ducum munere fungentes, neque ad honores promovebantur, querentes illi, quod bello capti in veteres legiones cooptarentur et eadem mererentur stipendia. Graviter igitur amici ferebant, eodem se loco esse cum iis, quos ipsi in captivitatem redegissent, et a nonnullis eorum vel deturbari gradu honoris. Multos etiam accepta ab eo beneficia sive pecuniæ largitione sive munerum collatione mœrore afficiebant, quod solus ille hoc facere posset, ac reliqui omnes ut nullius momenti negligerentur. Denique ipse Cæsar multis ac præclaris victoriis se efferens haud immerito et plus se quam mortalem jam esse existimans, apud multitudinem quidem cum admiratione suspiciebatur, optimatibus vero et imperia ambientibus molestus esse videbatur. Sic multiplex in eum coorta est turba virorum magnorum, parvorum, amicorum, inimicorum, militarium, civilium, qui suos quisque prætextus ad rem afferebant, et ob proprias criminationes etiam aliorum fidebant accusationibus. Singulique singulos convenientes exstimulabant, fidemque mutuam ex iis quæ privatim unicuique erant criminibus præbebant. Atque ita factum est, ut in tanto conjuratorum numero nemo rem deferre auderet. Quamquam nonnulli narrant paullo ante necem ei libellum insidiarum indicem a quodam traditum esse, quem manu tenens, antequam legisset, interfectus est, quemque deinde ad mortuum inter reliquos codicillos repererunt.

XX. Hæc igitur postea demum innotuerunt. Tum vero quum aliis super aliis honoribus ei decernendis alii gratificari vellent, nonnulli autem insidiose insignes illos honores adeo admitterent, ut eos tamquam immodicos in vulgus efferrent, atque sic invidiam simul et suspicionem excitarent: Cæsar, utpote simplex indole et civilium machinationum ob expeditiones peregrinas parum peritus, facile iis circumventus est, ex æquo putans laudationes illas esse admirantium potius quam insidiantium. Omnium maxime vero inter decreta viros muneribus publicis fungentes illud offendit, quo etiam jus creandorum magistratuum populo ademptum, atque Cæsari data potestas est magistratus constituendi quoscumque vellet, sicuti senatus consulto paullo ante sancito jubebatur. Præterea varii apud plebem sermones ficti circumferebantur, aliis alia persequentibus commenta. Sic nonnulli dicebant statuisse eum regiam terræ universæ marisque in Ægyptum transferre, ubi Cleopatra

— 13. τάδ' ἃ] τάθ' ἃ codex. — 14. πάλαι ἐν ἰδίῳ τῶν codex. — 15. συγκατελέλεκτο] συγκατέτεκτο codex. In seqq. pro συντάξεις codex συμπράξεις. — 16. ὑποτιμωμένων] ὑπό τινος μένων codex. — 17. ἕκαστός τε] ἑκαστότε codex. — 18. παρώξυνον] παρωξύνων codex. — 19. αὐτὸν] αὐτῶν codex. — 20. De eadem re cf. Appian. II, 116; Sueton. Cæs. c. 81; Dio Cass. 44, 18; Vellejus II, 57; Florus IV, 2, 94; Plutarch. Cæsar. 65, 1, p. 881 ed. Didot.

XX. 1. Supplevi v. ἄλλαις uncis inclusam. — 2. καὶ] supplevi particulam sæpius a scriba nostro neglectam; nisi forte scribi malis φθόνος ὁμοῦ ὑποψίᾳ ἐγγένοιτο. — 3. ἐκδήμους στρατείας] εὐδήμους στρατιὰς cod.

παῖδα Κῦρον (4) φοιτήσασαν εἰς εὐνήν· ὅπερ αὐτὸς ἤλεγξεν ἐν ταῖς διαθήκαις ψεῦδος ὄν. Οἱ δ' ἐν Ἰλίῳ τοῦτο ἔφασαν αὐτὸν μέλλειν καθίστασθαι, διὰ τὴν παλαιὰν πρὸς τὸ Δαρδανιδῶν γένος συγγένειαν. Γενόμενον δέ τι καὶ τόσον παρώξυνε τὰ μάλιστα τοὺς ἐπ' αὐτὸν συνεστῶτας. Ἦν αὐτῷ χρυσοῦς ἀνδριὰς, ὥσπερ ἐψήφιστο, ἐπὶ τῶν ἐμβόλων (5). Τούτου διάδημα ὤφθη περὶ τῇ κεφαλῇ κείμενον· ὑπόπτως δὲ πάνυ πρὸς αὐτὸν ἔχουσι Ῥωμαῖοι, δουλείας οἰόμενοι εἶναι σύμβολον· ἐπελθόντες δὲ τῶν δημάρχων Λεύκιος καὶ Γάϊος ἐκέλευσάν τινι τῶν ὑπηρετῶν ἀναβάντι καθελεῖν (6) αὐτὸ καὶ ῥῖψαι. Τοῦτο γενόμενον Καῖσαρ ὡς ᾔσθετο, καλέσας τὴν σύγκλητον εἰς τὸ τῆς Ὁμονοίας ἱερὸν κατηγόρησε τῶν δημάρχων, φάσκων αὐτοὺς εἶναι τοὺς περιθέντας κρύφα τὸ διάδημα, ὅπως ἂν ἐν φανερῷ αὐτὸν ὑβρίσειαν καὶ δοκοῖεν ἀνδραγαθίζεσθαι ἐπὶ τῇ ἐκείνου ἀτιμίᾳ, ὡς οὐκέτι (7) βουλῆς οὔτ' αὐτοῦ ἐπιστρεφόμενοι· μείζονός τε γνώμης καὶ ἐπιβουλῆς εἶναι αὐτοῖς τὸ δρασθὲν, εἴ πως δύναιντο εἰς τὸ πλῆθος αὐτὸν διαβαλόντες ὡς ἂν δυναστείας παρανόμου ἐρῶντα (8) καὶ αὐτοὶ ἐξάρχοντες νεωτεροποιίας ἀποκτεῖναι. Ταῦτα εἰπὼν, συνδόξαν τῇ συγκλήτῳ, ἤλασεν (9) αὐτοὺς φυγάδας. Καὶ οἱ μὲν ᾤχοντο φεύγοντες, ἕτεροι δ' ἀντ' αὐτῶν δήμαρχοι ἐγένοντο· ὁ δὲ δῆμος ἐβόα βασιλέα τε αὐτὸν εἶναι καὶ ἀναδεῖσθαι μηδὲν ἔτι μέλλοντα, ἐπεὶ καὶ ἡ Τύχη αὐτὸν ἀνέδησεν (10). Ὁ δὲ πᾶν ἂν ἔφη χαρισάμενος τῷ δήμῳ διὰ τὴν πρὸς αὐτὸν εὔνοιαν τοῦτο [δ'] οὔποτε δώσειν, καὶ συγγνώμην ᾐτεῖτο εἰ ἀντιλέγει σώζων τὰ πάτρια· βούλεσθαι γὰρ τὴν ὕπατον ἀρχὴν ἔχειν νομίμως ἢ βασιλείαν παρανόμως.

XXI. Τοιαῦτα (1) μὲν δὴ τότε ἐλέγετο· μετὰ δὲ ταῦτα ἑορτὴ ἐν τῇ Ῥώμῃ ἐγένετο χειμῶνος, Λουπερκάλια (2) καλεῖται, ἐν ᾗ γηραιοί τε ὁμοῦ πομπεύουσι καὶ νέοι, γυμνοὶ, ἀληλιμμένοι (3) τε καὶ διεζωσμένοι, τούς τε ὑπαντῶντας κατακερτομοῦντες καὶ τύπτοντες αἰγείαις (4) δοραῖς. Τότε δὲ ἐνστάσης, ἡγεμὼν ᾑρέθη Μάρκος Ἀντώνιος· καὶ προῄει διὰ τῆς ἀγορᾶς, ὥσπερ ἔθος ἦν, συνείπετο δὲ αὐτῷ καὶ ἄλλος ὄχλος. Καθημένῳ δὲ Καίσαρι ἐπὶ τῶν ἐμβόλων λεγομένων ἐπὶ χρυσοῦ θρόνου, καὶ ἱμάτιον ἁλουργὲς ἀμπεχομένῳ, πρῶτον Λικίνιος δάφνινον ἔχων στέφανον, ἐντὸς δὲ διάδημα περιφαινόμενον (5), προσέρχεται (ἦν γὰρ ὑψηλὸς ὁ τόπος ἐφ' οὗ Καῖσαρ ἐδημηγόρει, βασταχθεὶς ὑπὸ τῶν συναρ-

regina Cyrum filium Cæsari peperisset. Quod ipse testamento suo tamquam mendacium redarguit. Alii in Ilio sedem regni constituturum ferebant propter cognationem inde ab antiquo cum Dardanidis sibi intercedentem. Præterea hocce adversarios exasperabat quammaxime. Erat ei statua aurea ex populi decreto in rostris dedicata. Huic quondam diadema impositum conspexerunt; idque Romani vehementer suspectabant, servitutis esse signum censentes. Et advenientes tribuni Lucius *Cæselius Flavius* et Caius *Epidius Marullus*, unum ex ministris jubent adscendere detractumque diadema projicere. Quod quum comperisset Cæsar, convocato in Concordiæ templum senatu, tribunos accusavit, ab ipsis dicens diadema impositum esse, quo palam se contumelia afficerent et viros strenuos se ostenderent, nihil amplius neque senatus neque suam ipsius auctoritatem curantes. Altioris consilii et insidiarum huic facto subesse indicium, si quando possent se populi in invidiam ductum, utpote illegitimæ dominationis appetentem, ipsi rerum novarum auctores interficere. Quibus dictis senatu suffragante, exilio eos mulctavit. Illis igitur solum vertentibus alii tribuni substituti sunt. Populus vero acclamans jubebat Cæsarem regem esse, et diademate caput cingere nihil morari, quandoquidem ipsa Fortuna statuam ejus redimivisset. Ille autem declaravit omnia se populo gratificantem ob ejus in ipsum benevolentiam, hoc tamen nunquam concessurum esse; atque veniam petivit, si obloqueretur mores servaturus patrios; nam malle se consulare munus habere ex legum præscripto, quam regium imperium legum adeptum contemptu.

XXI. Ac tunc quidem talia dicebantur. Post hæc festum Romæ celebrabatur hiemis tempestate, Lupercalia vocant, in quo pompam ducunt seniores simul et juniores, nudi, uncti et præcincti, obviosque jocis lacessentes ac pellibus verberantes caprinis. Hoc igitur instante festo, dux pompæ creatus erat Marcus Antonius. Procedebat ille per forum, uti mos erat, multa comitante plebe. Tum ad Cæsarem sedentem pro rostris in sella aurea et amictum toga purpurea, primum Licinius lauream tenens coronam, cui insertum diadema conspiciebatur, adscendit (erat enim editior locus, in quo Cæsar concionari solebat, a collegis elatus),

— 4. Κῦρον] Corruptum nomen videtur ex Καισαρίωνα, ut apud reliquos scriptores Cleopatræ e Cæsare filius appellatur. Dio Cass. 47, 31 : Ἥ τε Κλεοπάτρα... τὸν υἱὸν, ὃν Πτολεμαῖον μὲν ὠνόμαζεν, ἐπλάττετο δὲ ἐκ τοῦ Καίσαρος τετοκέναι, καὶ διὰ τοῦτο Καισαρίωνα προσηγόρευε κτλ. Cf. Sueton. Cæsar. 52; Plutarch. Cæsar. 49; Anton. 54, 71; Dio 51, 6. De reliquis cf. Sueton. Cæs. 79 : *Quin etiam valida fama percrebuit migraturum Alexandriam vel Ilium, translatis simul opibus imperii, exhaustaque Italia delectibus et procuratione urbis amicis permissa.* — 5. De hac historia ab aliis paullo aliter narrata v. Appian. II, 108; Plutarch. Cæsar. 61, 3; Dio Cass. 44, 4 et 9; Livius Epit. 116; Sueton. 79; Vellej. II, 68; Zonaras X, 11. — 6. καθελεῖν] καθαιλεῖν codex. — 7. ὡς οὐκέτι βουλῆς] ὥστε οὔτ' ἐκ βουλῆς codex. — 8. ἐρῶντα] Dübnerus; εὑρόντα codex. — 9. ἤλασεν] ἤλασαν codex. — 10. ἀνέδησεν] ἐνέδωκεν codex. Deinde codex ὁ δὲ πᾶν ἀνέφηνε χαρ. ...τοῦτο οὔποτε.

XXI. 1. τοιαῦτα] τὰ αὐτὰ codex. — 2. Λουπερκάλια] λουπερχία codex. Ea quæ in seqq. narrantur, brevius et paullo aliter relata habes ap. Appian. II, 109; Plutarch. Cæsar. 61, Antonio 12; Dion. 44, 11; Sueton. 79; cf. Cicero Philipp. III, 5; V, 14; II, 34. — 3. ἀληλιμμένοι] ἀληλειμέναι codex. — 4. αἰγείαις] αἰγίαις cod.; λασίοις σκύτεσι Plutarch. ll. ll. — 5. ἐντὸς.. περιφαινόμενον] στεφάνῳ δάφνης περιπεπλεγμένον Plutarch. Cæs. 61, 2. διάδημα δάφνης

χόντων) καὶ (6) κατέθηκεν αὐτοῦ πρὸ τῶν ποδῶν τὸ διάδημα. Βοῶντος δὲ τοῦ δήμου, ἐπὶ τὴν κεφαλὴν τίθεται· καὶ ἐπὶ τοῦτον Λέπιδον καλοῦντος τὸν ἵππαρχην, ὁ μὲν ὤκνει· ἐν τούτῳ δὲ Κάσσιος Λογγῖνος, εἷς τῶν ἐπιβουλευόντων, ὡς δῆθεν εὔνους ὤν, ἵνα καὶ λανθάνειν μᾶλλον δύναιτο, ὑποφθὰς ἀνείλετο τὸ διάδημα καὶ ἐπὶ τὰ γόνατα αὐτοῦ ἔθηκε. Συνῆν δὲ καὶ Πόπλιος Κάσκας (7). Καίσαρος δὲ διωθουμένου καὶ τοῦ δήμου βοῶντος, ταχὺ προσδραμὼν Ἀντώνιος γυμνὸς ἀληλιμμένος (8), ὥσπερ ἐπόμπευεν, ἐπὶ τὴν κεφαλὴν ἐπιτίθησι. Καῖσαρ δὲ ἀνελόμενος αὐτὸ εἰς τὸν ὄχλον ἔρριψε. Καὶ οἱ μὲν τελευταῖοι ἐκρότησαν ἐπὶ τούτῳ, οἱ δὲ πλησίον ἐβόων δέχεσθαι καὶ μὴ διωθεῖσθαι τὴν τοῦ δήμου χάριν. Ἄλλοι γὰρ ἄλλην γνώμην περὶ τῶν δρωμένων εἶχον· οἱ μὲν γὰρ ἐδυσχέραινον, ἅτε δυναστείας δήλωσιν (9) μείζονος ἢ κατὰ δημοκρατίαν· οἱ δὲ χαρίζεσθαι οἰόμενοι συνέπραττον· οἱ δὲ οὐκ ἔξω τῆς γνώμης αὐτοῦ διεθρόουν τοῦτο Ἀντώνιον (10) πεποιηκέναι· πολλοῖς δ' ἦν καὶ βουλομένοις βασιλέα αὐτὸν ἀναμφιλόγως γενέσθαι. Παντοδαπαὶ μὲν φῆμαι ἐν τῷ ὁμίλῳ ἦσαν. Τὸ δ' οὖν δεύτερον Ἀντωνίου ἐπιτιθέντος, ὁ δῆμος ἐβόησε « Χαῖρε βασιλεῦ » τῆς ἑαυτοῦ γλώττης. Ὁ δὲ οὐ δεχόμενος (11) ἐκέλευσεν εἰς τὸ τοῦ Καπιτωλίου Διὸς ἱερὸν ἀποφέρειν αὐτό· ἐκείνῳ γὰρ μᾶλλον ἁρμόττειν. Καὶ πάλιν ἐκρότησαν οἱ αὐτοί, ὥσπερ καὶ πάλαι. Λέγεται δὲ καὶ ἕτερος λόγος, ὡς ταῦτα ἔπραττεν Ἀντώνιος ἐκείνῳ μέν, ὥς γε ᾤετο, χαρίζεσθαι βουλόμενος, αὐτῷ δὲ ἐλπίδα μνώμενος εἰ γένοιτο ποιητὸς υἱός. Τελευταῖον δὲ ἀσπασάμενος Καίσαρα δίδωσι τῶν παρεστώτων τισὶν ἐπιθεῖναι αὐτὸ ἐπὶ τὴν κεφαλὴν τοῦ πλησίον ἀνδριάντος Καίσαρος· οἱ δὲ ἐπέθεσαν. Ἐν δ' οὖν τοῖς τότε (12) οὐδενὸς ἧττον καὶ τόδε πραχθὲν ἤγειρε θᾶττον τοὺς ἐπιβουλεύοντας, πίστιν ἐν ὀφθαλμοῖς μείζω παρασχὸν τῶνδ' ἃ (13) δι' ὑποψίας εἶχον.

XXII. Κίννας δὲ μετ' οὐ πολὺ στρατηγῶν Καίσαρα παραιτησάμενος δόγμα ἐκύρωσεν κατιέναι τοὺς ἀπελαθέντας δημάρχους καί, ὥσπερ βούλεται ὁ δῆμος, πεπαυμένους τῆς ἀρχῆς ἰδιώτας εἶναι τῶν κοινῶν μὴ εἰργομένους (τῆς ἀρχῆς) (1). Καῖσαρ δὲ οὐ διεκώλυε τὴν κάθοδον· καὶ οἱ μὲν κατῄεσαν (2). Ἀρχαιρεσίαι δ' ἦσαν ἐνιαύσιοι, ὑπὸ Καίσαρος ἀγόμεναι· αὐτὸς γὰρ εἶχε τὴν τούτων ἐξουσίαν, ὥσπερ ἐκέλευσε τὸ δόγμα· καὶ δὴ ἀποδείκνυσι εἰς τὸ ἐπιὸν ὑπάτους Οὐίβιον Πάνσαν (3), καὶ Αὖλον Ἵρτιον· εἰς δὲ τρίτον ἔτος Δέκμον (4) Βροῦτον, ἕνα τῶν ἐπιβούλων, καὶ Μουνάτιον Πλάγκον (5). Κατόπιν δὲ τούτου καὶ ἕτερον ἐπράχθη, ὃ

et ante pedes ejus diadema deposuit; dein clamante populo, in caput ponit. Contra hunc Cæsar Lepidum advocat magistrum equitum. Is vero moras nectebat. Interea Cassius Longinus, conjuratorum unus, bene se affectum simulans, quo lateret tanto facilius, detraxit diadema et in genua reposuit. Una cum eo erat etiam Publius Casca. Cæsare autem rejiciente diadema, populoque plaudente, confestim accurrens Antonius nudus unctus, sicuti erat in pompa, rursus imponit capiti. Tum detractum Cæsar in populum projecit. Ac postremi quidem ob id plausum ediderunt, sed propius adstantes clamabant, ut acciperet neque rejiceret donum populi. Etenim alii aliter de his sentiebant. Pars ægre id ferebant, ut imperii signum majoris quam popularis status admitteret; pars gratificari volentes rem comprobabant. Alii haud absque ipsius Cæsaris sententia Antonium hoc fecisse dictitabant. Multis etiam haud invitum erat Cæsarem sine controversia regium tenere imperium. Tam varii inter multitudinem rumores spargebantur. Porro quum iterum Antonius diadema capiti Cæsaris admoveret, clamare populus : *Salve rex*. Ille vero recusans diadema Jovi in Capitolium mitti jussit, huic magis id convenire dicens. Ad quæ denuo iidem plaudebant, sicuti antea. Ceterum alius quoque de his sermo fertur, ex quo Antonius illa fecit Cæsari quidem, uti sperabat, gratificaturus, sibi autem spem fovens, si forte pro filio ab eo adoptaretur. Postremo Cæsarem amplexus adstantibus quibusdam diadema tradidit, qui statuæ Cæsaris proximæ imponerent. Idque illos fecisse aiunt. Inter ea igitur quæ tunc evenerunt, etiam hoc inprimis conjuratos ad maturanda destinata consilia incitavit, quum majorem fidem eorum quæ suspicabantur ob oculos poneret.

XXII. Haud multo post prætor *L. Cornelius* Cinna, Cæsare precibus placato, decretum scribi curavit, quo pulsis tribunis permissum est, ut in patriam redirent, et ex populi voluntate, adempta potestate tribunicia, privati essent, sed a republica capessenda non arcerentur. Itaque, non refragante Cæsare, Romam tribuni redierunt. Mox Cæsar comitia annua magistratibus creandis habet (nam horum quoque ex decreto penes ipsum potestas erat), et in annum sequentem consules designat C. Vibium Pansam et A. Hirtium, in tertium annum Decimum Brutum, e conjuratis unum, et Munatium Plancum. Post hæc aliud accidit, quod vehementer conjuratos excitavit. Etenim fo-

στεφάνῳ περιελίξας Ἀντώνιος Plut. Anton. 12, 1. — 6. καὶ] particulam de meo addidi. — 7. Κάσκας] κασικὰς codex h. l. et infra. — 8. ἀληλιμμένος] ἀληλειμένος, codex. — 9. δήλωσιν] δήλωσι codex. — 10. Ἀντώνιον] ἀντωνίου codex. — 11. οὐ δέχομενος] οὐδ' ἐχόμενος cod. — 12. τοῖς τότε] supplevi τοῖς. — 13. παρασχὸν τῶνδ' ἃ] παραχόντων ὃ codex.

XXII. 1. τῆς ἀρχῆς] inclusi, ut abundantia, et probabiliter ex antecedentibus male repetita. — 2. κατῄεσαν] Aliter Appian. II, 122, ubi Cassius et Brutus post mortem Cæsaris tribunos illos ex exilio revocandos esse censent. Sueton. c. 80 : *Post remotos Cæsetium et Marullum tribunos, reperta sunt proximis comitiis complura suffragia consules eos declarantium...* Quod item de absentibus intelligendum esse videtur. — 3. Οὐίβιον Πάνσαν] ὀρβιον πάνα codex. — 4. Δέκμον] δέγμον codex. — 5. Πλάγκον] πλάγκτον codex.

σφόδρα ἤγειρε τοὺς συνεστῶτας. Ἀγορὰν κατεσκεύαζε μεγάλην καὶ ἀξιοπρεπῆ ἐν Ῥώμῃ, καὶ τοὺς τεχνίτας ἀθροίσας τὰ ἔργα εἰς τὴν κατασκευὴν διεπίπρασκεν. Ἐν τούτῳ δὲ αὐτῷ προσῆλθον (6) οἱ Ῥωμαῖοι ἄριστοι τιμὰς φέροντες, ἅστινας τότε ἐψηφίσαντο ἐν κοινῷ. Τούτων δ' ἡγεῖτο μὲν ὁ ὕπατος, συνάρχων τότε αὐτῷ ὤν, κομίζων τὰ ἐψηφισμένα· ῥαβδοφόροι τε προῄεσαν ἔνθεν καὶ ἔνθεν τὸν ὄχλον ἀνείργοντες· συνῄεσαν δὲ τῷ ὑπάτῳ οἵ τε στρατηγοὶ καὶ δήμαρχοι καὶ ταμίαι καὶ ἄλλαι πᾶσαι ἀρχαί· μετὰ δὲ ἡ σύγκλητος ἐν κόσμῳ εἵπετο καὶ ὁ λαὸς (7) ἄπειρος τὸ πλῆθος καὶ ὅσος οὐχ ἄλλος· πολλὴ δὲ ἥ τε ἔκπληξις ἦν καὶ τὸ ἀξίωμα τῶν πρώτων, εἰς οὓς τὰ συμπάντων ἀνήρτητο κράτη, θαυμαζόντων ἄλλον κρείττω. Ὁ δὲ προσιόντων ἐκάθητο καὶ διὰ τὸ τοῖς ἐκ πλαγίου ὁμιλεῖν οὔτ' ἐπιστρέψας πρὸς αὐτοὺς τὸ πρόσωπον οὔτε προσέχων, ἀλλ' ὁμοίως διοικῶν ἃ ἐν χερσὶν εἶχεν, εἰς ὃ τῶν πλησίον φίλων τις (8) εἶπεν, Ὅρα τοὺς ἐξ ἐναντίας προσιόντας· καὶ τότε ἀποθέμενος τὰ γραμματίδια ἐπεστράφη (9), καὶ περὶ ὧν ἦλθον ἤκουε. Συνόντες οὖν αὐτοῖς οἱ ἐπιβουλεύοντες τὸ γεγονὸς (10) καὶ τοὺς ἄλλους τῆς πρὸς αὐτὸν δυσμενείας ἀνέπλησαν καὶ αὐτοὺς ἤδη ἀχθομένους· ὤργων τότε καὶ οἱ ἐπὶ ὀλέθρῳ τῶν συμπάντων, μή τί γε ἐπ' ἐλευθερίᾳ ἐπιχειρεῖν τῷ ἀνδρὶ [βουλόμενοι] (11), καὶ προσεδόκων χειρώσασθαι αὐτὸν ἀνίκητον παντάπασι δοκοῦντα εἶναι· δυσὶ γὰρ καὶ τριακοσίαις μάχαις ἐδόκει συμβαλὼν εἰς ἐκεῖνον τὸν χρόνον ἔν τε Ἀσίᾳ καὶ Εὐρώπῃ (12) οὔποθ' ἡττῆσθαι. Μόνος δὲ πολλάκις ἐξιὼν καὶ φαινόμενος αὐτοῖς ἐλπίδα ἐνεδίδου τοῦ ἐπιβουλῇ ἁλώσιμος εἶναι· ἐμηχανῶντό τε, εἴ πως παραλύσειαν αὐτοῦ τὴν ἀμφὶ τὸ (13) σῶμα φυλακήν, λόγῳ τε κηλοῦντες ὡς χρεὼν εἴη ἱερὸν αὐτὸν πρὸς πάντων νομίζεσθαι πατέρα τε καλεῖσθαι τῆς πόλεως, καὶ ψηφίσματα περὶ τούτων γράφοντες, εἴ πως ἐκεῖνος τούτοις παραχθεὶς τῷ ὄντι πιστεύσειεν ὑπ' αὐτῶν στέργεσθαι, καὶ τοὺς δορυφόρους ἀπολύσειεν, οἰόμενος τῇ πάντων εὐνοίᾳ φυλάττεσθαι. Ὅπερ γενόμενον πολλὴν αὐτοῖς εἰς τὸ ἔργον ῥᾳστώνην παρέσχε.

XXIII. Συνῄεσαν δ' ἐν φανερῷ μὲν οὔποτε βουλευσόμενοι, λάθρα δὲ κατ' ὀλίγους εἰς τὰς ἀλλήλων οἰκίας· καὶ πολλὰ μέν, ὥσπερ εἰκὸς ἦν, ἐλέχθη τε αὐτοῖς καὶ ἐκινήθη, σκοπουμένοις τοσόνδε ἔργον ὅπως τε ἐπιθήσωνται καὶ ὅποι. Τινὲς μὲν οὖν εἰσέφερον διὰ τῆς ἱερᾶς καλουμένης ὁδοῦ ἰόντι ἐγχειρεῖν· ἐφοίτα γὰρ πολλάκις ἐκείνῃ· ἄλλοι δ' ἐν ταῖς ἀρχαιρεσίαις, ἐν αἷς αὐτὸν ἔδει καθιστάντα ἐν τῷ πρὸ τῆς πόλεως πεδίῳ τὰς ἀρχὰς διιέναι τινὰ γέφυραν, διακληρωσάμενοι τὸ ἔργον ὅπως

rum amplum splendidumque Romæ ædificans Cæsar opifices convocaverat, iisque opera facienda elocabat. Dum his occupatur, accedunt principes Romanorum, decreta afferentes honorum, quos tunc communi consensu in senatu ei detulerant. Agmen ducebat *Antonius* consul, Cæsaris collega, manu tenens decreta; præibant lictores hinc inde plebem arcentes; consulem comitabantur prætores et tribuni et quæstores et reliqui omnes magistratus; sequebatur senatus decore incedens, et deinceps immensa numero multitudo et quanta nulla usquam alia. Stupendus erat splendor dignitasque primorum, qui quum summam totius imperii tenerent ipsi alium admirabantur præstantiorem. Accedentibus illis, Cæsar sedebat, et cum iis qui obliqui adstabant colloquens ideoque faciem ab advenientibus aversam habens, quæ in manu erant negotia tractare pergebat, usque dum ex amicis quidam diceret: « Specta ex adverso accedentes. » Tum positis libellis ad illos se convertit, et de iis quorum causa venerant dedit aditum. Quibus quum interessent conjurati, ob casum illum etiam reliquos suo in Cæsarem odio implebant vel ipsos jam male affectos. Animis tunc ardebant vel ii, qui ad perniciem reipublicæ, non ad recuperandam libertatem manum viro injicere moliebantur, opportunitatemque exspectabant, qua domare possent eum qui insuperabilis esse omnibus videbatur: nam trecentis ac duobus prœliis, quæ ad illud temporis in Asia et Europa commiserat, nunquam cladem tulisse putabatur. Jam quum solus sæpe exiret et conspiciendum se ipsis præberet, spes erat fore, ut insidiis circumveniretur. Nihilominus machinabantur si qua ratione corporis custodiam amovere possent, verbis eum demulcentes, quasi sacrosanctus ab omnibus censeri et pater patriæ appellari deberet, atque decreta in hanc sententiam scribentes, num forte his seductus et revera se ab ipsis amari confidens omniumque benevolentia satis se custoditum putans satellites dimitteret. Quo demum facto, multa iis exsequendi consilia præbebatur facilitas.

XXIII. Ad deliberandum palam coitabant nunquam, sed clanculum bini vel terni in suas invicem domus. Ubi multa, ut consentaneum, dicta motaque sunt circumspicientibus tantam rem qua ratione et quo loco aggrederentur. Nonnulli igitur proponebant, ut invaderent per viam sacram euntem; sæpius enim illic transibat. Aliis placuit ut in comitiis magistratuum creandorum causa habendis, ubi Cæsari in campo ante urbem sito magistratus constituturo pons transeundus esset, ita rem peragerent, ut, divisis partibus,

— 6. Eandem historiam paullo aliter narrant Appian. II, 107; Sueton. Cæs. 78; Liv. Epit. 116.; Plut. Cæs. 60, 2; Dio Cass. 44, 8. — 7. λαὸς] πᾶς cod. Mox πολλοὶ cod. — 8. τις] C. Trebatius sec. Sueton. c. 68. — 9. Minus facete excusare Cæsarem student illi qui dicunt eum non assurrexisse ὅτι τῆς κοιλίας ἀκρατὴς ὑπὸ διαρροίας ἐγεγόνει, Dio Cass. 44, 8. Aliam excusationem affert Plutarch. Cæsar. 60, 2. — 10. Verti quasi scriptum esset διὰ τὸ γεγονός. A verbo ἐπιβουλεύοντες accusativus τὸ γεγονὸς pendere nequit; suspicari autem licet verba συνόντες οὖν αὐτοῖς corrupta esse, scriptoremque dixisse: διασύροντες οὖν αὐτοὶ οἱ ἐπιβ. τὸ γεγονὸς vel συκοφαντοῦντες δ' οἱ ἐπιβ. κτλ. vel ejusmodi quid. Mox codex ὤργουν. — 11. βουλόμενοι] inserui; si nolis, scribe ἐπιχειροῦντες. — 12. Ἀσίᾳ καὶ Εὐρώπῃ] Ἀσίαν Εὐρώπῃ codex. — 13. τὸ] τοῦ codex.

οἱ μὲν ὤσειαν αὐτὸν ἀπὸ τῆς γεφύρας, οἱ δὲ ἐπιδραμόντες κτείνειαν (1)· ἄλλοι δὲ ὅταν θέαι μονομάχων ἄγωνται· ὑπόγυοι δ' ἦσαν· ἔνθα καὶ ὅπλα ὁρᾶσθαι παρεσκευασμένα ἐπὶ τὴν πρᾶξιν ἀνύποπτον ἦν διὰ τὸν ἀγῶνα. Οἱ πλεῖστοι δὲ παρῄνουν ἐν τῇ βουλῇ συνεδρεύοντα κτείνειν, ἡνίκα μόνος αὐτὸς ἔμελλεν ἔσεσθαι· οὐ γὰρ συνεισίασιν οἱ μὴ μετέχοντες αὐτῆς, πολλοὶ δ' οἱ ἐπιβουλεύοντες ὑπὸ τοῖς ἱματίοις ἔχοντες ἐγχειρίδια. Καὶ ἐκράτει ἥδε ἡ γνώμη. Συνέλαβε δὲ καὶ τύχη τις εἰς τοῦτο, ποιήσασα ἡμέραν ῥητὴν αὐτὸν ὁρίσαι εἰς ἣν (2) συνίασιν οἱ ἐκ τοῦ συνεδρίου βουλευσόμενοι περὶ ὧν αὐτὸς ἔμελλεν εἰσοίσειν. Ἐπεὶ δὲ ἐνέστη ἡ κυρία ἡμέρα, συνῄεσαν παρεσκευασμένοι τοῖς πᾶσιν. Ἐγίνετο δὲ αὐτοῖς ἡ σύνοδος εἰς τὴν Πομπηίου στοάν, ἔνθα ἑκάστοτε (3) συνελέγοντο. Τῷ δ' ἄρα ὁ δαίμων διεδείκνυε τὰ ἐνθάδε (4) ὁποῖα εἴη, ὡς πάντα ἀστάθμητα καὶ τῆς τύχης ἥττω, εἰς τὸ τοῦ ἐχθροῦ αὐτὸν ὑπάγων χωρίον, ἐν ᾧ ἔμελλε πρὸ τοῦ ἐκείνου ἀνδριάντος νεκρὸς κείσεσθαι, καὶ οὗ ζῶντος περιεγένετο, τούτου τεθνεῶτος πρὸς τῷ εἰδώλῳ ἀποσφάττεσθαι. Ἰσχυρότερον δέ τι καὶ ἡ μοῖρα, εἰ δή τις ἐπέστη τούτοις. Οἵ τε (5) γὰρ φίλοι ἐκείνης τῆς ἡμέρας ἐκώλυον, διά τινας φήμας οἰωνιζόμενοι, πορεύεσθαι εἰς τὸ βουλευτήριον· ἰατροί τε διὰ νόσον σκοτώδη (6) ἑκάστοτε συμβαίνουσαν αὐτῷ καὶ τότε προσπεσοῦσαν· ἥ τε γυνὴ πάντων μάλιστα, Καλπουρνία ὄνομα, διά τινας ὄψεις ἐνυπνίων δειματωθεῖσα (7), ἐνέφυ τε αὐτῷ καὶ οὐκ ἔφη ἐάσειν ἐκείνης ἐξιέναι τῆς ἡμέρας. Παραστὰς δὲ Βροῦτος, εἷς τῶν ἐπιβουλευόντων, ἐν δὲ τοῖς μάλιστα φίλοις τότε νομιζόμενος, « Τί σὺ λέγεις, εἶπεν, ὦ Καῖσαρ; Καὶ σὺ ὁ τηλικόσδε, γυναικὸς ἐνυπνίοις καὶ ἀνδρῶν ματαίων κληδόσι (8) προσσχών, ὑβρίσεις (9) τὴν σε τιμήσασαν σύγκλητον, ἣν αὐτὸς συνεκάλεσας, οὐκ ἐξιών; Ἀλλ' οὐχ, ἥν γέ μοι πείθῃ, ἀλλὰ ῥίψας τὰ τούτων ὀνειροπολήματα πορεύσῃ· κάθηται γὰρ ἐξ ἑωθινοῦ σὲ περιμένουσα. » Καὶ ὃς ἐπείσθη τε καὶ ἐξῆλθεν.

XXIV. Ἐν τούτῳ οἱ μὲν σφαγεῖς ηὐτρεπίζοντο, τάττοντες αὑτοὺς οἱ μὲν εἰς πλησίον αὐτοῦ καθέδρας, οἱ δὲ ἐξ ἐναντίας, οἱ δὲ κατόπισθεν. Οἱ δὲ ἱερεῖς θύματα προσέφερον πρὸ τῆς εἰς τὸ βουλευτήριον εἰσόδου θυσομένῳ τὴν ὑστάτην θυσίαν ἐκείνην. Καὶ δῆλον ὡς οὐκ ἐκαλλιέρει. Δυσθυτοῦντες δ' οἱ μάντεις ἕτερα ἐφ' ἑτέροις θύματα ὑπήλλαττον, εἴ τι αὐτοῖς ἄμεινον ὧν (1) ἐσημαίνετο φανείη· τελευτῶντες δὲ χαλεπῶς τὰχ θεῶν ὁρᾶν ἔφασαν,

alii de ponte eum detruderent, alii incurrentes jacentem confoderent. Nonnulli tempus quo ludi gladiatorum celebrarentur destinabant. Qui quidem tunc erant proximi, in iisque armorum apparatus conspici suspicione carebat. Plurimi autem suadebant, ut in senatu trucidarent, quando solus futurus esset : nam in curiam nonnisi senatores admitti, quorum multi forent conjurationis socii pugiones sub veste gestantes. Atque hæc sententia prævaluit. Ceterum etiam fortuna quædam adjuvavit, quæ effecit, ut ipse Cæsar diem definitam indiceret, qua senatores de rebus ab ipso proponendis deliberaturi essent. Ubi aderat dies indicata, omnibus rebus instructi conveniunt in Pompeii porticum, in quam interdum convocabantur. Unde numen testatum fecit quænam rerum humanarum sit indoles et natura, quam instabilia sint omnia et fortunæ arbitrio obnoxia : siquidem Cæsarem in inimici domum induxit, uti mox ad statuam ejus jaceret cadaver, et quo vivo superior fuerat, ejus mortui ad simulacrum jugularetur. At potentius quiddam sane fatum est, quandoquidem vis fati cujusdam in his debet agnosci. Nam et amici eum prohibebant, ex ominibus quibusdam male augurantes, quominus illa die in curiam se conferret; et medici propter vertigines, quibus, quum sæpius laboraret, etiam tunc correptus est; et ipsa denique Calpurnia uxor, quæ visis nocturnis territa, omnium maxime inhæsit ei amplexa, neque admissuram sese dixit, ut foras illa die prodirét. Tum vero adstans Brutus, ex conjuratis unus, Cæsarique ex intimis, uti putabant, amicis, « Quid tu dicis, inquit, Cæsar? Num tu vir tantus, mulieris ad somnia futiliumque hominum vaticinia attendens, senatum, qui honoribus te ornavit quemque ipse tu convocasti, contumelią eo, quod domi manes, afficies? Minime vero, mihi siquidem auscultes; imo, missis nugis istis somniorum, in curiam proficisceris, ubi a mane inde exspectans te senatus considet. » His ille persuasus exiit.

XXIV. Interim percussores ita se disposuerunt, ut alii juxta sellam Cæsaris considerent, alii ex adverso, alii a tergo. Aruspices vero victimas attulerunt pro introitu in curiam sacra hæc facturo ultima. Ac manifestum erat eum non litare. Infausta reperientes exta vates cum aliis alias hostias permutabant, si forte meliora iis, quæ prioribus portendebantur, apparerent. Postremo infesta esse signa deorum declararunt; vindicem quendam aientes occulta-

XXIII. 1. Cf. Sueton. Cæs. 80 : *Qui primum cunctati, utrum illum in campo, per comitia tribus ad suffragia vocantem, partibus divisis e ponte dejicerent atque exceptum trucidarent; an in sacra via vel in aditu theatri adorirentur, postquam aditus Idibus Martiis in Pompeii curiam editus est, facile tempus et locum prætulerunt.* — 2. ἣν] τὴν codex. — 3. ἑκάστοτε] ἑκάστοτε pro *interdum* etiam infra occurrit. Quamquam l. l. omissum esse aliquod putari possit, quibus illud ἑκάστοτε definiebatur. Appian. B. C. II, 115 : Θέαι δ' ἦσαν ἐν τῷ Πομπηίου θεάτρῳ, καὶ βουλευτήριον ἔμελλε τῶν τις περὶ αὐτὸ οἴκος ἔσεσθαι, εἰωθὸς ἐπὶ ταῖς θέαις ὧδε γίγνεσθαι. De loco cf. etiam codex Med. in Dion. Cass. 44, 17 : ἐκεῖ γάρ που (ad theatrum Pompeii) ἐν οἰκήματί τινι τοῦ περιστώου συνεδρεύειν ἔμελλον, ad quem locum Gronovius : « Videtur locus ita ædificatus fuisse, ut ex area columnis circumsepta ad aliquod quadrati latus discedentes in curiam Pompeiam intrarent. » — 4. τὰ ἐνθάδε] Dübner.; τὰ ἔθη codex. — 5. οἵ τε] οὔτε codex. — 6. νόσον σκοτώδη] Hujus morbi meminit Plutarch. Cæsar. 60, 2, ubi eo excusare studet Cæsarem senatui decreta afferenti non surgentem. — 7. δειματωθεῖσα] δειγματωθεῖσα codex. — 8. κληδῶσι codex. — 9. ὑβρίσεις] ὑβρισεῖε codex.

XXIV. 1. ὧν] ὃν codex. In anteced. nota vocem δυσθυτέω, et in sqq. v. δίοπτον.

καί τινα ἀλάστορα ἐν τοῖς ἱεροῖς ἐγκεχρυμμένον δίοπτον εἶναι. Ὁ δὲ ἀχθεσθεὶς ἀπεστράφη πρὸς δυόμενον τὸν ἥλιον· καὶ οἱ μάντεις πολὺ μᾶλλον τοῦτο οἰωνίσαντο. Παρόντες δὲ οἱ φονεῖς (2) ἥσθησαν ἐπὶ τούτοις. Ὁ δὲ Καῖσαρ, πολὺ μάλιστα τῶν φίλων δεομένων ἀναβαλέσθαι τὸν σύλλογον ἐκείνης τῆς ἡμέρας διὰ τὰ λεγόμενα ὑπὸ τῶν μάντεων, ἐκέλευσε (3) καὶ δὴ τοῦτο δρᾶν. Ταχὺ δ' οἱ ὑπηρέται αὐτῷ ἐπέστησαν καλοῦντες καὶ λέγοντες ὅτι πλήρης ἡ βουλὴ εἴη. Καὶ ὁ μὲν εἰς τοὺς φίλους διέβλεψεν. Ὁ δὲ Βροῦτος αὐτῷ πάλιν παραστάς, « Ἴθι, ὦ ἀγαθέ, ἔφη, τοῖς λήροις τούτων χαίρειν φράσας, καὶ ἃ Καίσαρί τε καὶ τῇ τοσαύτῃ ἀρχῇ διοικεῖν πρέπει, μὴ ἀναβάλλου, αἴσιον οἰωνὸν τὴν σεαυτοῦ ἀρετὴν ποιούμενος. » Καὶ ὁ μὲν ταῦτα παραπείθων, ὁμοῦ τῆς δεξιᾶς λαβόμενος (ἐγγὺς δ' ἦν καὶ τὸ συνέδριον) ἦγεν αὐτόν. Ὁ δὲ εἵπετο σιωπῇ. Εἰσιόντα δὲ αὐτὸν ὡς εἶδεν ἡ σύγκλητος, ὑπανέστη εἰς τιμῆς ἀξίωσιν. Οἱ δὲ μέλλοντες ἐγχειρήσειν περὶ αὐτὸν ἦσαν. Πρῶτος δὲ πάντων ἐπ' αὐτὸν καθίετο (4) Τύλλιος Κίμβρος (5), ᾧ ἔφευγεν ἀδελφὸς ἐληλαμένος ὑπὸ Καίσαρος. Ἐν προσχήματι δὴ τοῦ ἀντιβολεῖν αὐτὸν λιπαρῶς ὑπὲρ τοῦ ἀδελφοῦ προσελθὼν ἥπτετο τῆς ἀναβολῆς, καί τι θρασύτερον εἴσω τὰς χεῖρας ἔχοντος ἐδόκει δρᾶν, ἐκώλυέ τε, εἰ βούλοιτο ἀνίστασθαι καὶ ταῖς χερσὶ χρῆσθαι· ὀργιζομένου δ' ἐπιστρεφῶς ἐκείνου, ἔργου εἴχοντο οἱ ἄνδρες, ταχὺ δὲ πάντες γυμνώσαντες τὰ ἐγχειρίδια, ἐπ' αὐτὸν ὥρμησαν. Καὶ πρῶτος μὲν Σερουίλιος Κάσκας (6) κατὰ τὸν ἀριστερὸν ὦμον ὀρθῷ τῷ ξίφει παίει μικρὸν ὑπὲρ τὴν κλεῖν, εὐθύνων ἐπ' αὐτήν, ταραττόμενος δὲ οὐκ ἠδυνήθη (7). Καῖσαρ δ' ἀνέστη (8) ὡς ἀμυνόμενος ἐπ' αὐτόν· καὶ ὃς τὸν ἀδελφὸν βοᾷ Ἑλλάδι γλώττῃ ὑπὸ θορύβου. Ὁ δ' ὑπακούσας ἐρείδει τὸ ξίφος κατὰ τῆς πλευρᾶς. Μικρὸν δὲ Κάσσιος ὑποφθὰς εἰς τὸ πρόσωπον ἐγκαρσίαν αὐτῷ πληγὴν δίδωσι· Δέκμος δὲ Βροῦτος ὑπὸ ταῖς λαγόσι διαμπερὲς παίει. Κάσσιος δὲ Λογγῖνος ἑτέραν ἐπεκδοῦναι πληγὴν σπεύδων, τοῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τῆς Μάρκου Βρούτου χειρός. Μινούκιος (9) δὲ καὶ αὐτὸς τύπτων Καίσαρα, παίει Ῥούβριον εἰς τὸν μηρόν. Ἐῴκεσάν τε μαχομένοις ἐπ' αὐτῷ. Πίπτει δὲ ὑπὸ πλήθους τραυμάτων πρὸ τοῦ Πομπηΐου ἀνδριάντος. Καὶ οὐδεὶς ἔτι λοιπὸν ἦν ὃς οὐχὶ νεκρὸν κείμενον ἔπαιεν, ὅπως ἂν καὶ αὐτὸς (10) δοκοίη τοῦ ἔργου συνῆφθαι, εἰς ὃ ε' καὶ λ' (11) λαβὼν τραύματα ἀπέπνευσεν.

XXV. Κραυγὴ δὲ μυρία ἐφέρετο, τῶν μὲν ἐκ τοῦ συνεδρίου φυγόντων μετ' ἐκπλήξεως, ὅσοι μὴ μετεῖχον τοῦ βουλεύματος, καὶ οἰομένων αὐτίκα καὶ ἐπὶ σφᾶς τὸ δεινὸν ἥξειν, τῶν δ' ἔξω Καίσαρι συνόντων (1) πάσης οἰο-

tum in extis victimarum esse perspicuum. Quod ægre ferens Cæsar quum ad occidentem se solem averteret, hoc ipsum multo magis ominosum esse vates augurabantur. Percussores præsentes his lætabantur. Cæsar, enixe rogantibus amicis ut conventum in aliam diem differret, tandem etiam facere hoc volebat. Sed eodem tempore accedentes apparitores in curiam, quæ plena jam esset, invocant. Hæsitabundus Cæsar oculos in amicos defigit. At iterum adstans Brutus, « Age, inquit, o bone, nugas istas valere jubeas; quæ Cæsarem tantumque decent imperium, ea tractare ne differas; faustum augurium tuam tibi habe virtutem. » Idque persuadens, dextra ejus apprehensa, in curiam, quæ in propinquo erat, abduxit. Ille sequebatur taciturnus. Ingredientem ubi conspexit senatus, in honorem ejus assurrexit. Jam manum illaturi undique circumstabant. Primus ad eum prodiit Tullius Cimber, cujus fratrem Cæsar exilio multaverat. Is igitur quasi pro fratre obtestaturus instanter, propius accedit, togamque apprehendens audacius aliquid quam pro viro intra vestem manus continente facere videbatur, atque sic impediebat Cæsarem, quominus, si vellet, de sede assurgeret et manibus uti posset. Illo autem severiorem in modum irascente, aggredientes rem conjurati illico omnes in eum strictis gladiolis irruerunt. Primus Servilius Casca recto ferro humerum sinistrum ferit paullo supra jugulum, in quod direxerat ictum, sed præ perturbatione aberrans non tetigit. Surrexit Cæsar defensurus se; Casca vero fratrem vocat lingua græca clamans ob tumultum. Audiens ille ferrum infigit lateri. Paullulum antevertens eum Cassius in faciem infligit ictum transversum. Decimus Brutus inguen perfodit penitus. Cassius Longinus alterum addere ictum properans aberrat, manumque tangit Marci Bruti. Minutius *Basilus* item Cæsarem petens Rubrium *Rufum* in femore sauciat. Certantium de eo præbebant spectaculum. Tandem vulnerum multitudine concidit ad statuam Pompeii; nec jam quisquam relinquebatur, quin exanimi jacentique ictum ingereret, ut ipse quoque particeps facinoris fuisse videretur, usque dum ille triginta quinque confectus vulneribus animam efflasset.

XXV. Clamor edebatur ingens partim ab iis qui conspirationis non conscii terrore perculsi e curia se proripiebant, et jamjam in ipsos quoque tempestatem istam irruituram opinabantur, partim ab iis qui Cæsarem comitati foras

— 2. φονεῖς] φρονεῖς cod. — 3. ἐκέλευσε] fuisse videtur ἐθέλησε. — 4. καθίετο] καθείη codex. Fortasse præstat κατῄει. — 5. Κίμβρος] κίμαρος codex. Τύλλιος Κίμβρος Plutarch. Cæsar. 66, 2. Τίλλιος Κίμβρος Appian. II, 117. Alii aliter, quos vide ap. Sturz. ad Dio Cass. 44, not. 98. — 6. μὲν Σερουίλιος Κάσκας] μὲν χίλων κασικὰς codex. — 7. Cf. Appian. II, 117 : Κάσκας δ' ἐφεστὼς ὑπὲρ κεφαλῆς, ἐπὶ τὴν σφαγὴν ἤρεισε πρῶτος· παρολισθὼν δὲ ἐνέτεμε τὸ στῆθος. Plutarch. 66, 2 : πρῶτος δὲ Κάσκας ξίφει παίει παρὰ τὸν αὐχένα πληγὴν οὐ θανατηφόρον οὐδὲ βαρεῖαν, ἀλλ', ὡς εἰκός, ἐν ἀρχῇ τολμήματος μεγάλου ταραχθείς. — 8. ἀνέστη] ἀνέστει cod. — 9. Μινούκιος] μαυνίκιος codex. — 10. αὐτὸς] οὗτος cod. — 11. ε' καὶ λ'] reliqui scriptores 23 vulnera memorant.

XXV. 1. Appian. II, 118 : Αἱ πλέονες ἀρχαὶ καὶ πολὺς ὅμιλος ἄλλος ἀστῶν καὶ ξένων καὶ πολὺς θεράπων καὶ ἐξελεύθερος

μένων εἶναι τῆς βουλῆς τὸ ἔργον καὶ στράτευμα μέγα (2) εἶναι τὸ ἐπὶ τοῦτο ἐληλυθὸς, τῶν δ' ἄλλων ὑπ' ἀγνοίας τοῦ γεγονότος πρὸς τὸ ἐξαπιναῖον τοῦ θορύβου καὶ τὰ ἐν ὄψει δρώμενα (ταχὺ γὰρ οἱ σφαγεῖς τὰ ἐγχειρίδια ᾑμαγμένα ἔχοντες * (3)) δειματουμένων τε καὶ δρόμῳ φερομένων. Πάντα δ' ἦν φευγόντων πλέα μετὰ κραυγῆς. Ἐξανέστη δὲ καὶ ὁ δῆμος οὐδενὶ σὺν κόσμῳ φεύγων ἐκ τοῦ θεάτρου (ἐτύγχανε γὰρ θεώμενος μονομαχίας), τὸ μὲν πραχθὲν βεβαίως οὐκ εἰδὼς, ὑπὸ δὲ τῆς πάντοθεν βοῆς ταραττόμενος. Οἱ μὲν γὰρ ἔφασαν τὴν σύγκλητον ὑπὸ τῶν μονομάχων σφάττεσθαι, οἱ δὲ Καίσαρος ἀποσφαγέντος τὴν στρατιὰν ἐφ' ἁρπαγὴν τῆς πόλεως τετράφθαι, ἄλλοι δὲ ἄλλα ὑπελάμβανον. Ἀκοῦσαι δ' οὐδὲν ἦν σαφές· ἄκριτος γάρ τις ἐπεῖχε τάραχος εἰς ὃ τοὺς σφαγέας εἶδον, καὶ Μάρκον Βροῦτον παύοντα τὸν θόρυβον καὶ θαρρεῖν παρακελευόμενον, ὡς οὐδενὸς κακοῦ γεγονότος· ἡ δὲ σύμπασα διάνοια ἦν, καὶ τὰ λόγῳ κομπαζόμενα τοῖς σφαγεῦσιν (4), ὡς τύραννον κτείνειαν. Ἐγένοντο δ' ἐν αὐτοῖς λόγοι, ὡς χρὴ καὶ ἄλλους ἀναιρεῖν, οἳ ἔμελλον σφίσιν ἐναντίως ἔσεσθαι καὶ περὶ τῆς ἀρχῆς αὖθις ἀγωνιεῖσθαι· οὓς ἐπισχεῖν φασὶ Μάρκον Βροῦτον, οὐ δίκαιον λέγοντα εἶναι, πρὸς οὓς ἐμφανῆ μὴ ὑπέστη (5) ἐγκλήματα, τούτους δι' ὑποψίας ἀποφανοῦς ἀποσφάττειν. Καὶ ἐνίκα ταῦτα. Ἐξαΐξαντες δὴ τοὐντεῦθεν οἱ σφαγεῖς ἔφευγον θέοντες διὰ τῆς ἀγορᾶς εἰς τὸ Καπιτώλιον, γυμνὰ ἔχοντες τὰ ξίφη, ὑπὲρ κοινῆς ἐλευθερίας ταῦτα βοῶντες εἰργάσθαι. Εἵπετο δ' αὐτοῖς πολὺς μονομάχων καὶ οἰκετῶν ὄχλος, ἐπ' αὐτὸ τοῦτο εὐτρεπής. Διαδρομαὶ δ' εὐρεῖαι ἦσαν ἔν τε ταῖς ὁδοῖς καὶ κατ' ἀγορὰν, διεξελθόντος ἤδη τοῦ λόγου εἰς τὸ πλῆθος, ὅτι σφαγείη Καῖσαρ· ἐῴκει τε ἡ πόλις ἁλισκομένῃ. Ἀναβάντες δὲ εἰς τὸ Καπιτώλιον καὶ διανειμάμενοι τὸ χωρίον ἐν κύκλῳ ἐφρούρουν, δεδοικότες, μὴ τὸ Καίσαρος στρατιωτικὸν αὐτοῖς ἐπίοι.

XXVI. Ὁ δὲ νεκρὸς ἐκεῖ (1) ἔκειτο ἔνθα ἔπεσεν ἀτίμως πεφυρμένος αἵματι, ἀνδρὸς ἐλάσαντος μὲν πρὸς ἑσπέραν ἄχρι Βρεττανῶν τε καὶ Ὠκεανοῦ, διανοουμένου δ' ἐλαύνειν πρὸς ἕω ἐπὶ τὰ Πάρθων ἀρχεῖα καὶ Ἰνδῶν, ὡς ἂν, κἀκείνων ὑπηκόων γενομένων, εἰς μίαν ἀρχὴν κεφαλαιωθείη γῆς πάσης καὶ θαλάττης τὰ κράτη· τότε δ' οὖν ἔκειτο, μηδενὸς τολμῶντος ὑπομένειν (2) καὶ τὸν νεκρὸν ἀναιρεῖσθαι. Οἱ μὲν γὰρ παρόντες ἐπεφεύγεσαν, οἱ δ' ἔξω ὄντες τῶν φίλων ἐκρύπτοντο ἐν ταῖς οἰκίαις· οἱ δ' ἐξῄεσαν μεταμφιεννύμενοι εἴς τε τοὺς ἀγροὺς καὶ τὰ σύνεγγυς χωρία. Παρέστη δ' αὐτῷ τῶν φίλων οὐδεὶς, πολλῶν ὄντων, οὔτε σφαττομένῳ οὔτε μετὰ ταῦτα, ὅτι μὴ Σαβῖνος Καλουίσιος καὶ Κηνσωρῖνος. Οὗτοι δὲ ἐπιφερομένων τῶν περὶ Βροῦτον καὶ

erant, et commune totius senatus facinus esse magnumque exercitum ad hoc convenisse putabant; partim a reliquis rei ignaris et ob repentinum tumultum atque propter ea quæ suis oculis conspiciebant (nam statim percussores cruentos pugiones manu tenentes *in publicum prodierunt*) metu attonitis et huc illuc discurrentibus. Omnia repleta erant fuga ac vociferatione. Exsurrexit etiam populus tumultuanter e theatro prorumpens (nam ludos gladiatorum tum spectabat), de re acta nondum certior factus, sed auditis undique clamoribus perterrefactus: alii dicebant senatum a gladiatoribus trucidari, alii exercitum, occiso Cæsare, ad urbem diripiendam se convertisse; alii alia credebant. Accuratius quid comperire non licebat. Anceps obtinebat terror donec percussores conspiciunt et Marcum Brutum sedantem tumultus, bonoque animo esse jubentem: nihil enim accidisse funestum. Summa mens vero eorum quæ ille dicebat et reliqui percussores orationibus gloriabantur, hæc erat, tyrannum ab ipsis interfectum esse. Ceterum sermones inter eos facti sunt de reliquis quoque interficiendis qui adversaturi ipsis et de imperio rursus certaturi essent. Quod suadentes M. Brutus inhibuisse fertur, haud justum esse dicens in quos manifestæ criminationes non suppeterent, eos obscuræ suspicionis causa occidere. Eaque sententia pervicit. Deinde e curia prosilientes percussores cursim fugerunt per forum in Capitolium, nudos tenentes pugiones, pro communi omnium libertate clamantes hæc se perpetrasse. Sequebatur eos multa gladiatorum servorumque turba ad hoc ipsum instructa. Discursatio ingens in viis et foro erat, percrebrescente jam in vulgus sermone de Cæsare trucidato. Ab hoste captam urbem fuisse diceres. Isti vero in Capitolium egressi, partibus divisis, circumcirca locum custodiebant, metuentes ne milites Cæsaris se adorirentur.

XXVI. Interea corpus occisi jacebat ubi ceciderat, fœde inquinatum cruore, viri illius qui occidentem versus ad Britannos usque et Oceanum penetraverat, qui orientem versus ad Parthorum et Indorum regias expeditionem destinaverat, ut his quoque subactis in unum caput terræ universæ marisque imperia conjungerentur. Tunc vero jacebat, nullo manere apud eum audente et tollere mortuum. Nam qui cum eo fuerant in curia, fuga se proripuerant; quos foris habebat amicos, ii in domibus occultabant se, vel mutata veste urbem relinquentes in agros et propinquos locos sese subducebant. Ex tot amicis nemo ei adstabat neque dum jugulabatur neque postea, præter Sabinum Calvisium et Censorinum; sed hi quoque postquam irruentibus Bruti Cas-

αὐτὸν ἐπὶ τὸ βουλευτήριον ἐκ τῆς οἰκίας παρεπεπόμφεισαν. — 2. μέγα] μέγαν cod. — 3. ἔχοντες] Lacunam notavi. Plutarch. Cæs. 67, 2: Οἱ δὲ περὶ Βροῦτον, ὥσπερ ἦσαν ἔτι θερμοὶ τῷ φόνῳ, γυμνὰ τὰ ξίφη δεικνύντες ἅμα πάντες ἀπὸ τοῦ βουλευτηρίου ἐχώρουν εἰς τὸ Καπιτώλιον κτλ. Appian. II, 119: Οἱ δὲ σφαγεῖς... τὰ ἱμάτια ταῖς λαιαῖς ὥσπερ ἀσπίδας περιπλεξάμενοι, καὶ τὰ ξίφη μετὰ τοῦ αἵματος ἔχοντες, ἐβοηδρόμουν βασιλέα καὶ τύραννον ἀνελεῖν. Cf. infra. — 4. τοῖς σφαγεῦσιν] τοῖς φαγεῦσιν cod. — 5. ὑπέστη] ὑπέστην cod.

XXVI. 1. ἐκεῖ] ἐπεὶ cod. — 2 ὑπομένειν] ὑπομείνειν cod.

Κάσσιον μικρὸν ἀντιστάντες ἔφυγον διὰ τὸ ἐκείνων πλῆθος· οἱ δὲ ἄλλοι τὸ κατὰ σφᾶς περιέβλεπον· τοῖς δὲ καὶ βουλομένοις ἦν τὰ γιγνόμενα. Φασί γέ τοί τινα αὐτῶν εἰπεῖν ἐπὶ τεθνηῶτι· «Ἅλις τυράννου θεραπείας.» Οἰκέται δὲ δὴ τρεῖς (3), οἵπερ ἦσαν πλησίον, ὀλίγον ὕστερον ἐνθέμενοι τὸν νεκρὸν εἰς φορεῖον οἴκαδε ἐκόμιζον διὰ τῆς ἀγορᾶς ὁρώμενον, ἔνθεν καὶ ἔνθεν ἀνεσταλμένων τῶν παρακαλυμμάτων, αἰωρουμένας (4) τὰς χεῖρας καὶ τὰς ἐπὶ τοῦ προσώπου πληγάς. Ἔνθα οὐδεὶς ἄδακρυς ἦν, ὁρῶν τὸν πάλαι ἴσα καὶ θεὸν τιμώμενον· οἰμωγή τε πολλὴ καὶ στενῶ (5) συμπαρεπέμπετο ἔνθεν καὶ ἔνθεν ὀλοφυρομένων ἀπό τε τῶν τεγῶν καθ' οὓς ἂν γένοιτο καὶ ἐν ταῖς ὁδοῖς καὶ προθύροις. Καὶ ἐπειδὴ πλησίον τῆς οἰκίας ἐγένετο, πολὺ δὴ μείζων ὑπήντα κωκυτός· ἐξεπεπηδήκει (6) γὰρ ἡ γυνὴ μετὰ πολλοῦ ὄχλου γυναικῶν τε καὶ οἰκετῶν, ἀνακαλουμένη τὸν ἄνδρα, καὶ ἑαυτὴν ὀδυρομένη, ὅτι μάτην προὔλεγε μὴ ἐξιέναι τὴν ἡμέραν ἐκείνην. Τῷ δ' ἤδη μοῖρα ἐφειστήκει πολὺ κρείττων ἢ κατὰ τὴν αὐτῆς ἐλπίδα.

XXVI. Καὶ οἱ μὲν αὐτῷ τάφον ηὐτρέπιζον, οἱ δ' αὐτόχειρες, πολλοὺς πρὸ τοῦ ἔργου ἑτοιμασάμενοι μονομάχους, ἡνίκα μὲν ἔμελλον ἐγχειρήσειν, ἵδρυσαν. αὐτοὺς ἐν ὅπλοις μεταξὺ τοῦ τε βουλευτηρίου καὶ τοῦ θεάτρου ἐν τῷ Πομπηίου περιπάτῳ. Ἦν δ' ὁ τούτους εὐτρεπίζων Δέκμος Βροῦτος (1), προφάσεσι μὲν ὡς ἐπ' ἄλλο, συναρπάσαι δή τινα βουλόμενος, ὡς ἔφη, τῶν εἰς τὸ θέατρον συνιόντων μονομάχων, ὃς αὐτὸν ἐκείνῳ προαπεμίσθωσεν (ἀγῶνες γὰρ τότε ἦσαν· οὓς δὴ (2) καὶ αὐτὸς δώσειν μέλλων προσεποιεῖτο φιλοτίμως ἔχειν πρὸς τὸν τότε ἀγωνοθέτην)· τῷ δ' ἔργῳ ἡ παρασκευὴ ἐγίνετο ἐπὶ τὸν φόνον, ἵν' εἴ τι ἀντικρούσεται τῶν Καίσαρι ἀμυνομένων, παρείη αὐτοῖς ἡ βοήθεια. Τούτους οὖν ἔχοντες κατέβαινον ἐκ τοῦ Καπιτωλίου καὶ ἄλλο οἰκετῶν πλῆθος. Συγκαλέσαντες δὲ τὸν δῆμον διάπειραν ἔγνωσαν αὐτοῦ καὶ τῶν ἐν τέλει ποιήσασθαι, πῶς ἔχουσι γνώμης πρὸς αὐτούς, πότερον ὡς τυραννίδα παύσαντας ἀποδέχοιντο ἢ ὡς φονέας ** μείζω (3) κακὰ ἀπ' αὐτῶν ἐκραγήσεσθαι· οὐ γὰρ ἀπὸ μικρᾶς διανοίας καὶ παρασκευῆς γεγονέναι ταῦτα, οὔτε ὑφ' ὧν ἐπράχθη, οὔτε ἐπὶ οὓς ἠβουλήθη· μεγάλα γὰρ δὴ στρατόπεδα εἶναι τὰ Καίσαρος ἐπικουρικά, καὶ μεγάλους ἡγεμόνας τοὺς διαδόχους αὐτοῦ τῆς διανοίας ἀπολελειμμένους. Σιγὴ δὲ τότε παρὰ τὸ ἄηθες ἐν θορύβῳ τῆς γνώμης πολλὴ ἦν (4), καραδοκούντων πάντων, ὅ τι πρῶτον ὡς ἐν τῷ τοιῷδε τολμηθείη, καὶ ἄρξειε τῆς νεωτεροποιίας. Ἐν τούτῳ δὲ Μάρκος Βροῦτος, κατὰ πολλὴν ἡσυχίαν τοῦ δήμου τὸ μέλλον προσδεχομένου, σωφροσύνῃ τε βίου διὰ παντὸς τιμώμενος κατά τε εὔκλειαν προγόνων, καὶ τὴν ἀπ' αὐτοῦ ἐπιείκειαν εἶναι

siique sociis aliquantisper restiterant, propter multitudinem adversariorum in fugam se dederunt. Reliqui autem omnes nonnisi suæ prospexerunt saluti; nonnullis etiam haud invitis res accidit. Certe unus eorum ad mortuum dixisse fertur : « Satis est præstiti tyranno obsequii. » Tandem servi tres, qui prope aderant, paullo post cadaver in lecticam impositum domum reportarunt per forum, ita ut, elevatis utroque latere aulæis, manus dependentes vulneraque faciei conspicerentur. Tum virum videns pariter ac deum modo honoratum, nemo non lacrimabat; ingens eum lamentatio et gemitus utrinque prosequebatur plorantium in tectis, in viis, in vestibulis, ubicumque corpus transferebatur. Ubi demum ad ædes Cæsaris appropinquabat, tum vero multo major occurrebat ejulatus. Nam prosiluerat uxor cum mulierum servorumque multitudine, invocans nomen mariti, cum fletu se ipsam accusans, quod frustra eum præmonuisset ne domo die ista prodiret. At illi tum fatum jam instabat multo illud quam pro uxoris exspectatione potentius.

XXVI. Ac hi quidem funus adornabant; percussores vero multos antea gladiatores collegerant, quos, ubi Cæsari manus illaturi erant, armatos inter curiam et theatrum in Pompeii deambulacro collocaverant. Instruxerat eos Decimus Brutus, verbo tenus ut gladiatorem ex iis qui eo die prodituri in theatrum conveniebant quendam, qui ipsi prius se accepta mercede elocasset, corriperent (scilicet ludi gladiatorii tunc erant, quos quum ipse quoque edere vellet, simulabat se æmulatione ductum cum eo qui tunc edebat, contendere); re vera autem apparatus ille ad cædem pertinebat, ut, si quid adversi ex defendentibus Cæsarem accideret, præsto adesset auxilium. His igitur gladiatoribus aliaque servorum caterva stipati e Capitolio descenderunt. Ac convocato populo, periculum ejus et magistratuum facere voluerunt, quomodo essent affecti, utrum se ut liberatores et tyrannicidas excepturi essent, an ut sicarios. ** mox majora etiam mala in rempublicam irruptura esse; nam haud parvo consilio et apparatu hæc facta esse neque eorum qui peregissent, neque eorum contra quos structa essent; magnos esse Cæsaris exercitus auxiliares, ac magnos duces relictos, qui consilia ejus cœptaque persequerentur. Tunc igitur propter rei novitatem altum in magnà animorum perturbatione erat silentium, cunctis præstolantibus quidnam primum in tanto discrimine ausuri essent, quodnam rerum novarum foret initium. In hac populi futura exspectantis tranquillitate M. Brutus, honoratus ille ob moderationem per totam ejus vitam conspicuam simulque ob gloriam majorum et quam ipsi tribuebant

3. Cf. Appian. II, 118 extr. Sueton. 82. — 4. αἰωρουμένας] αἰωρουμένων cod. Sueton. l. l. : *Exanimis, diffugientibus cunctis, aliquamdiu jacuit, donec lecticæ impositum, dependente brachio, tres servuli domum retulerunt.* — 5. στενῶ] στένω codex; si genuina vox, addenda lexicis. In antec. ἴσα καὶ θεοῦ. — 6. ἐξεπεπηδήκει] ἐξεπηδήκει codex.

XXVI. 1. Attingit hæc Appian. II, 122. — 2. δὴ] δὲ cod. — 3. Locus turbatus. Supplere possis Ὁ δὲ δῆμος ὑπελάμβανε vel simile quid. — 4. πολλὴ ἦν] πολλὴν codex.

δοκοῦσαν, ἔλεξε τοιάδε. Ζήτει ἐν τῷ Περὶ δημηγοριῶν.

XXVII. Μετὰ δὲ τὴν δημηγορίαν ἀναχωρήσαντες πάλιν εἰς τὸ Καπιτώλιον ἐβουλεύοντο περὶ τῶν παρόντων ὃ χρὴ ποιεῖν. Ἔδοξε δ' οὖν αὐτοῖς πέμψαι πρέσβεις πρός τε Λέπιδον καὶ Ἀντώνιον, ὅπως ἂν πείσειαν ἐλθεῖν τε πρὸς αὐτοὺς εἰς τὸ ἱερὸν καὶ ἐν κοινῷ βουλεύεσθαι περὶ τοῦ μέλλοντος συνοίσειν τῇ πόλει, ὑπισχνεῖσθαί τε αὐτοῖς, πάνθ' ὅσα ἔχουσι παρὰ Καίσαρος, ἐν δωρεᾶς μέρει κύρια ποιήσειν, ὥστε τούτων γ' οὕνεκα μὴ διαφέρεσθαι. Τοῖς δ' ἥκουσιν ἐκεῖνοις ἔφασαν εἰς τὴν ὑστεραίαν ἀπόκρισιν δώσειν. Γενομένων δὲ τούτων περὶ δείλην ὀψίαν πολὺ μείζων κατέσχε τὴν πόλιν θόρυβος. Ἕκαστός τε τὸ καθ' ἑαυτὸν ἐφυλάττετο τοῦ κοινοῦ ἤδη ἀφεστηκὼς, φοβούμενος τὰς ἐξαπίνης ἐπιβουλὰς καὶ ἐπιχειρήσεις (1), τῶν πρώτων ἐν ὅπλοις ὄντων καὶ ἀλλήλοις ἀντικαθημένων, σφίσι δὲ ἔτι ἀδήλου ὄντος τοῦ βεβαίως προστησομένου. Καὶ τότε μὲν ἐπεὶ νὺξ ἦν, διελύθησαν ἀπ' ἀλλήλων· τῇ δὲ ὑστεραίᾳ ἦν μὲν ἐν ὅπλοις Ἀντώνιος ὕπατος ὤν· Λέπιδος δὲ ἀθροίσας οὐκ ὀλίγην στρατιὰν ἐπικούρων, διὰ μέσης ἀγορᾶς διεξῄει ἀμύνειν ἐγνωκὼς Καίσαρι. Ὡς δὲ τοῦτο γεγονὸς εἶδον οἱ πρότερον ἐνδοιάζοντες, συνέρρεον πρὸς αὐτοὺς μεθ' ὅπλων κατὰ ἰδίας ἑταιρείας, καὶ μέγα (2) στράτευμα ἐγένετο. Ἦσαν δὲ οἱ τοῦτο δέει ἔδρων οὐ βουλόμενοι φανεροὶ εἶναι χαίροντες ἐπὶ τῇ Καίσαρος τελευτῇ, ἀλλὰ τῷ συνίστασθαι μετὰ τούτων θεραπεύοντες τὴν ἔπειτα ἐλπίδα. Πολλὰ δὲ ἐπέμπετο καὶ εἰς τοὺς ὑπὸ Καίσαρος εὖ πεπονθότας ἢ πόλεων κατοικησίαις (3) ἢ γῆς κληρουχήσεσι ἢ χρημάτων νομαῖς, ὡς μέλλοι πάντα κινεῖσθαι, εἰ μή τι φανείη καὶ ἀπ' αὐτῶν καρτερόν. Πολλαὶ δὲ καὶ ὀλοφύρσεις καὶ ἱκετεῖαι πρὸς τοὺς ἐκείνου φίλους ἐγίγνοντο, καὶ μάλιστα τοὺς συνεστρατευμένους πρότερον μνημονεύειν παρακελευόμεναι, οἷος ὢν οἷα πάθοιεν ἐρημίᾳ φίλων. Συνέρρεον (4) δὲ ἤδη πολλοὶ κατά τε οἶκτον καὶ φιλότητα, καὶ κέρδη ἴδια δὲ καὶ νεωτερισμοῦ εὑρόντες, καὶ μάλιστα ἐπειδὴ μαλακώτερα τὰ ἐκ τῶν ἐναντίων ἐφαίνετο, καὶ οὐχ ὁποῖα τὸ πρότερον προσεδοκήθη κατὰ ὑπόνοιαν ἰσχύος μείζονος. Ἐλέγετο δ' ἤδη ἐκ τοῦ φανεροῦ, ὅτι χρὴ ἀμύνειν αὐτῷ μηδὲ ἄλλως ποιεῖν μηδὲ περιορᾶν ἀτιμώρητον τὸν φόνον (5). Ἄλλοι δὲ ἄλλα κατὰ συστάσεις ἀθροιζόμενοι ἔλεγον, οἱ μὲν πρὸς τῶνδε, οἱ δὲ πρὸς τῶνδε. Ὅσοι δὲ πολιτείας τι μετεποιοῦντο ἡδόμενοι ἐπὶ τῇ συμπάσῃ (6) μεταβολῇ, ἐκάκιζον τοὺς Καίσαρος σφαγέας, ὅτι οὐχὶ πλείους ἀνέλοιεν τῶν τότε ὑπόπτων, καὶ βέβαιον ἀποδοῖεν σφίσι τὴν ἐλευθερίαν· πράγματα γὰρ αὐτοῖς τοὺς λειπομένους οὐκ ὀλίγα παρέξειν· ἦσαν δ' οἱ προμηθείᾳ πλέονι δοκοῦντες καὶ πείρᾳ τῶν ἐπὶ Σύλλα πρότερόν ποτε συμπεσόντων εἰδότες παρακελεύεσθαι ἐκ μέσου συστῆναι

æquitatem, dixit hunc in modum. *Quære in Exc. de concionibus.*

XXVII. Post concionem in Capitolium regressi deliberarunt in præsenti rerum statu quid faciendum sit. Placuit legatos mittere ad Lepidum et Antonium, quibus suaderent, ut ad ipsos venirent in templum, ibique in communi deliberarent quæ forent e republica; ac simul promittere se omnia quæ a Cæsare illi accepta tenerent, pro donis rata habituros esse, adeo ut ab hac saltem parte nihil dissiderent. Illi vero legatis dixerunt postridie se responsuros esse. Hæc quum sera vespera fierent, multo magis aucta est in urbe animorum perturbatio. Suis unusquisque rebus consulebat, deserta jam republica, metuens repentinas insidias et aggressiones; nam duces in armis erant castra castris opponentes; necdum liquebat quinam firmo imperio rebus præfuturus esset. Et tunc quidem, ubi nox venerat, digressi sunt. Postridie vero Antonius consul in armis erat; Lepidus haud mediocri collecta manu auxiliari, per medium forum prodiit cædem Cæsaris ulturus. Quod ubi viderunt qui dubii hucusque fuerant, sumptis armis cum suo quisque sodalitio ad eum confluebant, adeo ut magnus coiret exercitus. Ceterum erant qui metu hoc facerent, nolentes manifestum fieri suum de nece Cæsaris gaudium, atque eo, quod illis se adjungebant, spei futuri inservientes. Multum etiam missis nuntiis eos sollicitabant, quos beneficiis Cæsar, sive urbibus ad habitandum concessis sive agrorum distributione sive pecuniarum largitione, affecerat, omnia dicentes fore ut statu suo moverentur, nisi ab ipsis quoque fortius aliquid ederetur. Denique multis precibus et lamentationibus amicos Cæsaris adibant, eos maxime qui in expeditionibus ejus socii fuerant, meminisse jubentes, quantus vir qualia passus esset quod amicis fuisset destitutus. Sic frequentes jam confluebant, partim miseratione et amicitia ducti, partim vero sua sibi lucra etiam ex rebus novis fore putantes, præsertim quum remissius ab adversariis agi viderent nec uti antea majoris roboris suspicione exspectaverant. Jam palam profitebantur Cæsarem ulciscendum, neque aliter faciendum, neque committendum esse, ut cædem ejus impunem sinerent. Alia alii in cœtus ab his, ab illis congregati dictitabant. Qui vero liberam rempublicam asserere volebant, facta rerum conversione gaudentes reprehendebant Cæsaris percussores, quod non plures eorum, qui suspecti essent, occidissent eoque libertatem stabilivissent: nam relictos haud parum negotii ipsis facturos esse. Nonnulli porro prudentia præstantes et peritia eorum quæ Sullæ temporibus olim acciderant edocti hortabantur,

XXVII. 1. ἐπιχειρήσεις] χειρήσεις cod. — 2. μέγα] μέγαν cod. Idem paullo post φανερὸν εἶναι. — 3. κατοικησίαις] κατοικησίας cod. Formam κατοικησία nonnisi ex Etym. M. novimus. V. Steph. Thes. v. κατοικεσία. — 4. συνέρρεον] συννέρρεων cod. Mox fort. scrib. ἐκ νεωτερ. — 5. τὸν φόνον] addidi articulum. — 6. συμπάσῃ] malim συμβάσῃ.

ἀμφοτέροις· καὶ γὰρ τότε οἱ ἀπολωλέναι δόξαντες αὖθις ἀναθαρρήσαντες τοὺς νενικηκότας ἤλασαν· πολὺν οὖν πόνον παρέξειν Καίσαρα καὶ ἀπολωλότα τοῖς τε σφαγεῦσι καὶ τῇ τούτων ἑταιρείᾳ, μεγάλων στρατευμάτων ἐνεστώτων καὶ ἀνδρῶν ἐπ' αὐτοῖς δραστηρίων. Οἱ δὲ περὶ Ἀντώνιον πρὶν μὲν παρασκευάσασθαι, διεπρεσβεύοντο καὶ διελέγοντο τοῖς ἐν Καπιτωλίῳ. Ἐπεὶ δὲ πλήθει ὅπλων καὶ στρατιᾶς ἐθάρρησαν, διοικεῖν ἠξίουν τὰ κοινά, παύσαντες τὸν ἐν τῇ πόλει τάραχον. Πρῶτον δὲ ἐν σφίσι βουλὴν προὔθεσαν ὅπως χρὴ ἔχειν πρὸς τοὺς σφαγέας, συγκαλέσαντες τοὺς φίλους. Τῶνδε Λέπιδος μὲν ἀπεφήνατο γνώμην, πολεμεῖν ἄντικρυς αὐτοὺς καὶ τιμωρεῖν Καίσαρι· Ἴρτιος δὲ διαλέγεσθαι καὶ φιλίαν τίθεσθαι. Ἄλλος δὲ τὴν ἐναντίαν εἶπε τῷ Λεπίδῳ, προσθέμενος, ὡς καὶ ἀνόσιον εἴη περιορᾶν νήποινον τὸν Καίσαρος φόνον, καὶ αὐτοῖς μέντοι οὐκ ἀσφαλές, ὅσοι ἐκείνῳ ἦσαν φίλοι· καὶ γὰρ εἰ ἐν τῷ παρόντι ἡσυχάζουσιν οἱ αὐτόχειρες, ἀλλὰ δύναμίν γε κτησάμενοι χωρήσουσιν ἐπὶ πλέον. Ἀντώνιος δὲ τῇ Ἰρτίου προσθέμενος γνώμῃ, σώζειν αὐτοὺς ἠξίου. Ἦσαν δ' οἱ ἀποπέμψασθαι παρακελευόμενοι ἐκ τῆς πόλεως ὑποσπόνδους (8).

XXVIII. Μετὰ δὲ θάνατον καὶ κηδείαν τοῦ μεγάλου Καίσαρος συνεβούλευσαν οἱ φίλοι Καίσαρι τῷ νέῳ Ἀντώνιον ποιήσασθαι φίλον καὶ τῶν πραγμάτων ἐπιμελητήν. ** Πολλῶν (1) δὲ καὶ ἄλλων αἰτίων συμβάντων πρὸς τὴν πρὸς ἀλλήλους διαφοράν, ἐδόκει αὐτοῖς τὴν ἔχθραν ἐξάπτειν μᾶλλον πρὸς ἀλλήλους, διάφορος μὲν ὢν (2) πρὸς Καίσαρα, συμπράττων δ' Ἀντωνίῳ. Καῖσαρ δ' οὐδὲν ὀρρωδῶν ἐκ τοῦ μεγαλόφρονος, θέας ἐποίει (3) ἐνστάσης ἑορτῆς ἣν ὁ πατὴρ αὐτοῦ κατεστήσατο Ἀφροδίτῃ. Καὶ αὖθις προσελθὼν (4) σὺν πλείοσιν ἔτι καὶ φίλοις, παρεκάλει Ἀντώνιον, συγχωρῆσαι τὸν δίφρον μετὰ τοῦ στεφάνου τίθεσθαι τῷ πατρί. Ὁ δ' ὅμοια ἠπείλησεν, εἰ μὴ τούτων ἀποστὰς ἡσυχίαν ἄγοι. Καὶ ὃς ἀπήει καὶ οὐδὲν ἠναντιοῦτο, κωλύοντος τοῦ ὑπάτου· εἰσιόντα γε μὴν αὐτὸν εἰς τὸ θέατρον ἐκρότει ὁ δῆμος εὖ μάλα καὶ οἱ πατρικοὶ στρατιῶται ἠχθημένοι (5) διότι τὰς πατρῴους ἀνανεούμενος τιμὰς διεκωλύθη, ἄλλους τε ἐπ' ἄλλοις κρότους ἐδίδουν παρ' ὅλην τὴν θέαν ἐπισημαινόμενοι (6). Ὁ δὲ τὸ ἀργύριον ἠρίθμει τῷ δήμῳ· ὅπερ αὐτῷ μεγάλην εὔνοιαν παρέσχεν. Ἐξ ἐκείνης δὲ τῆς ἡμέρας μᾶλλόν τι φανερὸς ἦν Ἀντώνιος δυσμενῶς ἔχων πρὸς Καίσαρα, ἐμποδὼν γενόμενος τῇ τοῦ δήμου σπουδῇ πρὸς

ut neutri se parti adjungentes, medios se inter utrosque collocarent : nam tunc quoque qui periisse viderentur, resumptis animis victores expulisse. Multum igitur laboris præbiturum Cæsarem etiam mortuum percussoribus eorumque factioni, magnis jam imminentibus exercitibus, quibus duces præessent strenuissimi. Antonius autem ejusque socii antequam ad exsequendum propositum accingerentur, missis legatis cum iis qui in Capitolio erant, collocuti sunt. Et armorum militumque copia fidentes rempublicam administrare cœperunt, sedato in urbe tumultu. Primum vero, convocatis amicis, deliberarunt inter se, quomodo erga percussores ipsis agendum esset. Lepidus armis contra eos dimicandum et Cæsaris necem ulciscendam esse censuit; Hirtius transigi et amicitiam jungi voluit. Alius contrariam sententiam cum Lepido faciens proposuit, neque pium esse addens si inultam cædem Cæsaris sinerent, neque ipsis ejus amicis alias securitatem fore; « nam si in præsenti, ait, quiescunt interfectores, certe simul ac viribus aucti fuerint, insolescent. » Antonius Hirtii sententiæ adstipulans servandos esse censuit. Erant etiam qui ex urbe dimittendos esse pactis induciis existimarent.

XXVIII. Post necem et exsequias Cæsaris magni, familiares suadebant Cæsari juniori, ut Antonium amicum sibi conciliaret eumque rerum suarum procuratorem constitueret. *** Præterea quum alia multa ad dissidium eorum conferrent, ille a Cæsare alienus et cum Antonio faciens, magis etiam excitare inimicitiam eorum videbatur. Cæsar vero nihil reformidans præ animi altitudine, spectacula adornavit, instante festo, quod pater Veneri *Genitrici* instituerat. Ac denuo cum amicis compluribus ad Antonium accedens petivit, ut sellam et coronam patri ponere sibi permitteretur. Ille autem eadem quæ antea minabatur, nisi ab his desistens quietem ageret. Abiit Cæsar neque quidquam contra molitus est, impediente consule. Ceterum in theatrum ingredientem ingenti plausu populus excepit et patris commilitones, ægre ferentes eum paternos honores renovaturum prohiberi; aliosque supra aliis plausus edentes per totum spectaculum favorem suum professi sunt. Porro Cæsar argentum populo dinumeravit; unde magnam sibi benevolentiam conciliavit. Inde ab illa die manifestior erat Antonii adversus Cæsarem simultas eo quod populi in eum

---

8. Plura excerptor omisit.

XXVIII. 1. Lacunam notavi. Codex αἰτιῶν — 2. διάφορος μὲν ὢν] Hæc intelligenda puto de Critonio tribuno. V. not. seq. — 3. Appian. III, 58 : Θέαι δ' ἦσαν, ἃς Κριτώνιος ἀγορανομῶν ἔμελλε τελέσειν· καὶ ὁ Καῖσαρ ἐς τὰς θέας τῷ πατρὶ τόν τε χρύσεον θρόνον καὶ στέφανον παρεσκεύαζεν, ἅπερ αὐτῷ κατὰ πάσας θέας ἐψηφίσαντο προτίθεσθαι. Τοῦ Κριτωνίου δὲ εἰπόντος, οὐκ ἀνέξεσθαι τιμωμένου Καίσαρος ἐν ταῖς αὐτοῦ δαπάναις, ὁ Καῖσαρ αὐτὸν ἐς τὸν Ἀντώνιον ἦγεν, ὡς ὕπατον. Ἀντωνίου δὲ εἰπόντος, ἐς τὴν βουλὴν ἐπανοίσειν, χαλεπήνας ὁ Καῖσαρ, Ἀνάφερε, εἶπεν· ἐγὼ δὲ τὸν θρόνον, ἕως ἂν ᾖ τὸ δόγμα, προθήσω. Καὶ ὁ Ἀντώνιος χαλεπήνας ἐκώλυσεν. Ἐκώλυσε δὲ καὶ ἐν ταῖς ἑξῆς θέαις ἔτι παραλογώτερον, ἃς αὐτὸς ὁ Καῖσαρ ἐτέλει, ἀνακειμένας ἐκ τοῦ πατρὸς Ἀφροδίτῃ Γενετείρᾳ, ὅτεπερ αὐτῇ καὶ τὸν νεὼν ὁ πατὴρ τὸν ἐν ἀγορᾷ ἅμα αὐτῇ ἀγορᾷ ἀνετίθει. Τότε δὴ καὶ μάλιστα μῖσος ἤδη σαφὲς ἐκ πάντων ἐς τὸν Ἀντώνιον ἐγίγνετο κτλ. Cf. Dio 45, 6; Sueton. Cæs. 10 et 88; Plutarch. Anton. 16, 2; August. ap. Plinium H. N. II, 23. De prioribus ludis, quos Critonius edidit, ipsum etiam Nicolaum exposuisse, colligas ex verbis αὖθις προσελθὼν κτλ. — 4. προσελθὼν] προελθὼν cod. — 5. ἠχθημένοι] ἠσθημένοι cod. — 6. ἐπισημαιν.]

αὐτόν (7)· ἑώρα τε Καῖσαρ (8), ὅπερ αὐτῷ ἐκ τῶν τότε παρόντων καταφανὲς γενόμενον, προστασίας δεόμενος πολιτικῆς· ἑώρα δὲ καὶ τοὺς ὑπάτους ἐκ τοῦ φανεροῦ ἀνθεστῶτας ἰσχύν τε πολλὴν ἔχοντας καὶ ἄλλην ἔτι σφίσι προσποιοῦντας. Καὶ γὰρ τὸ ταμεῖον τῆς πόλεως, ὃ πολλῶν χρημάτων ὁ πατὴρ αὐτοῦ ἐνέπλησεν, ἐντὸς δυοῖν μηνοῖν ἢ Καίσαρα τελευτῆσαι κενὸν ἐποίησαν καθ' ἣν τύχοι πρόφασιν ἐν ἀκαταστασίᾳ πολλῇ πραγμάτων ἐκφοροῦντες ἀθρόον τὸ ἀργύριον, καὶ τοῖς σφαγεῦσι φίλοι ἦσαν. Μόνος δ' ἔτι λοιπὸς ἦν Καῖσαρ τιμωρὸς τῷ πατρὶ, διαμεθέντος Ἀντωνίου τὸ σύμπαν καὶ τὴν πρὸς τοὺς φονεῖς ἀγαπῶντος ἀμνηστίαν. Συνῄεσαν οὖν πολλοὶ [μὲν] πρὸς αὐτὸν, οὐκ ὀλίγοι δὲ καὶ πρὸς τοὺς περὶ Ἀντώνιον καὶ Δολοβέλλαν. Ἦσαν δ' οἱ ἐν μέσῳ τὴν ἔχθραν ἀνάγοντες αὐτῶν καὶ πράττοντες τοῦτο *. Τούτων δ' ἦσαν κορυφαῖοι Πόπλιος, Οὐίβιος (9), Λεύκιος, πάντων δὲ μάλιστα Κικέρων. Καῖσαρ δὲ οὐκ ἀγνοῶν (10) ὅντινα τρόπον αὐτῷ συνίασιν οὗτοι παροξύνοντες ἐπὶ Ἀντώνιον, οὐ διωθεῖτο, ὅπως αὐτῶν τὴν βοήθειαν φυλακήν τε ἐρρωμενεστέραν περὶ ἑαυτὸν καταστήσοιτο· ᾔδει γὰρ ἑκάστους ἐλάχιστα μὲν τοῦ κοινοῦ προεστῶτας, περισκοποῦντας δὲ ἀρχὴν καὶ δυναστείαν, ὡς ἂν τοῦ ταῦτα κεκτημένου πρότερον ἐκποδὼν (11) ὄντος, αὐτοῦ δὲ κομιδῇ νεωτέρου καὶ οὐκ ἂν ἀνταρκέσαντος, ὥς γε ὑπολαμβάνειν, πρὸς τοσόνδε τάραχον, ἄλλων ἄλλα προσδοκώντων καὶ ἰδίᾳ σφίσιν ἃ δύναιντο (12) κτωμένων. Ἀνῃρημένης γὰρ τῆς εἰς τὸ κοινὸν γνώμης, κατὰ πολλὰ δὲ μέρη τῶν δυνατῶν διεσχισμένων, καὶ ἑκάστων ἑαυτοῖς τὰ κράτη περιποιούντων τὰ σύμπαντα ἢ ὁπόσα γοῦν δύναιντο παρασπάσασθαι, πολυπρόσωπός τις (*) ἦν καὶ ἀλλόκοτος ἡ ταραχή. Καὶ Λέπιδος μὲν μοῖραν τινὰ τῆς Καίσαρος στρατιᾶς ἀπορρήξας, ἀντείχετο καὶ αὐτὸς ἐξουσίας ἐν Ἰβηρίᾳ τῇ ἐπιτάδε, Κελτούς τε τοὺς γειτνιῶντας τῇ ἄνω θαλάττῃ κατέχων· τοὺς δ' ἐπέκεινα Μουνάτιος (13) Λεύκιος Πλάγκος (14) ὑφ' αὑτῷ ἐπεποίητο σὺν ἑτέρῳ στρατῷ ὕπατος καὶ αὐτὸς ἀποδεδειγμένος. Ἰβηρίας δὲ τοὺς ἐπέκεινα οἰκοῦντας Γάϊος Ἀσίνιος (15), ἄλλου στρατοῦ ἄρχων, ὑπῆκτο. Δέκμος δὲ Βροῦτος τὴν ἰσόνομον ἐκράτει Γαλατίαν σὺν δυοῖν τάγμασιν, ἐφ' ὧν ἔμελλεν αὐτίκα μάλα χωρεῖν Ἀντώνιος· Μακεδονίᾳ δὲ Γάϊος Βροῦτος ἔφεδρος (16) ἦν, ὅσον οὔπω περαιωθεὶς ἐκ τῆς Ἰταλίας ἐπ' αὐτὴν, καὶ Συρίᾳ Κάσσιος Λογγῖνος, ὅστις ἀπεδέδεικτο (17) τῆς Ἰλλυρίδος (18) στρατηγός. Τοσαῦτα μὲν στρατεύματα ἐν τῷ τότε συνειστήκει, καὶ τοσοίδε ἄρχοντες, αὐτός τις ἕκαστος ἑαυτὸν ἀξιῶν τὴν τῶν ὅλων δυναστείαν ἔχειν, ἀνῃρημένου παντὸς νομίμου καὶ δικαίου, κατ' ἰσχὺν δὲ τὴν ἑκάστοις προσοῦσαν τοῦ

studiis impedimento erat. Viditque Cæsar, quod e præsenti rerum statu clare elucebat, indigere se præsidio aliquo publico; vidit etiam consules aperto resistentes magnaque potitos potentia majora adhuc appetentes. Nam ærarium civitatis, quod multis opibus pater ejus impleverat, intra duos menses inde a morte Cæsaris exhauserant, obvio quoque prætextu per summam rerum omnium confusionem pecunias dilapidantes; denique percussoribus amici erant. Sic solus adhuc reliquus erat Cæsar paternæ cædis vindex, quum Antonius totum hoc negligeret et concessam percussoribus rerum anteactarum oblivionem tueretur. Multi sane ad Cæsarem accedebant, sed haud pauci etiam ad Antonium et Dolabellam; alii vero in medio positi hoc agebant, ut inimicitiam eorum focillarent. Quorum principes erant Publius, Vibius, Lucius et præ ceteris Cicero. Cæsar etsi haud nescius quonam consilio se convenirent hi, qui contra Antonium exstimulabant, non repulit tamen, ut eorum auxilio usus firmiore se custodia muniret. Nam bene noverat singulos illos non salutis publicæ curam agere, sed summum magistratum et imperium circumspicere, quum J. Cæsar antea his potitus non amplius impedimento esset, ipse vero juvenis admodum, adeoque impar, uti putabant, tantis componendis turbis foret, aliis alia exspectantibus et sibi singulis quæ possent vindicantibus. Etenim sublata omni quæ ad communem salutem spectaret cogitatione, virisque principibus in multas factiones divisis, singulisque affectantibus aut summam imperii aut quantum ejus pertrahere ad se possent: multiformis et immanis erat rerum conturbatio. Lepidus parte quadam a Cæsaris exercitu avulsa, et ipse imperium appetebat, Hispaniam tenens Citeriorem et Galliam quæ mari superiori imminet; ulteriores Gallos L. Munatius Plancus in potestate habebat cum alio exercitu consul creatus. Iberiam ulteriorem tenebat C. Asinius *Pollio*, alius dux exercitus. Decimus Brutus in Gallia Cisalpina imperabat cum duabus legionibus, contra quas jam exire properabat Antonius. Macedoniam sibi vindicabat C. Brutus tantum nondum ex Italia in eam profectus, Syriam Cassius Longinus, qui Illyriæ prætor designatus erat. Tanti exercitus tum contracti erant, tot duces constituti, quorum sibi quisque summam imperii asserere studebat, quum sublata esset omnis legum auctoritas et justitia, atque vi armorum, quibus quisque polleret, res disceptaren-

XIX. Postquam vero Galli ad Byzantium delati maximam ditionis partem depopulabantur, fracti bello Byzantini, sociorum huc illuc missitantes auxilia implorant: et quisque pro virium modo suppeditat; Heraclienses etiam aureos quater mille (tantum enim legati petierant) subministrant. (2) Nec longum in medio spatium, quum Nicomedes Gallis, qui, incursatis Byzantinorum finibus, tametsi sæpenumero in Asiam trajicere conati, toties ab incepto desistere, adversantibus Byzantinis, coacti essent, certis tamen condi-

XVI. De rebus cf. Droys. I. I. p. 230. p. 173. 177.

XVII. Θυνιακῆς... Θρᾴκης] *Thyni Thraces erant, quæ nunc Bithynia fertur*, Claudian. in Eutrop. II, 247. Accuratiora v. ap. Eustath. ad Dionys. Perieg. 795 (ex Arriano). — κατὰ κράτος] A; ἀνὰ κρ. vulg.

XVIII. extr. ἄπρακτοι] A; ἀπαράδεκτοι vulg.

XIX. 1. τετρακισχιλίους] χιλίους Stephanus nescio unde. Mox addidi voculam [εἰς].

τας, οὐκ ἀνεχομένων τὴν πρᾶξιν Βυζαντίων, ἐπὶ συνθήκαις ὅμως παρασκευάζει περαιωθῆναι. Αἱ δὲ συνθῆκαι· Νικομήδει μὲν καὶ τοῖς ἐκγόνοις ἀεὶ φίλα φρονεῖν τοὺς βαρβάρους, καὶ τῆς γνώμης τοῦ Νικομήδους χωρὶς μηδενὶ συμμαχεῖν τῶν πρὸς αὐτοὺς διαπρεσβευομένων, ἀλλ' εἶναι φίλους μὲν τοῖς φίλοις, πολεμίους δὲ τοῖς οὐ φιλοῦσι, συμμαχεῖν δὲ καὶ Βυζαντίοις, εἴ που δεήσοι, καὶ Τιανοῖς δὲ καὶ Ἡρακλεώταις καὶ Καλχηδονίοις καὶ Κιερανοῖς καί τισιν ἑτέροις ἐθνῶν ἄρχουσιν. (3) Ἐπὶ ταύταις μὲν ταῖς συνθήκαις Νικομήδης τὸ Γαλατικὸν πλῆθος εἰς Ἀσίαν διαβιβάζει· ὧν περιφανεῖς μὲν ἐπὶ τῷ ἄρχειν ἑπτακαίδεκα τὸν ἀριθμὸν ἦσαν, οἱ δὲ καὶ αὐτῶν τούτων προκεκριμένοι καὶ κορυφαῖοι Λεωννώριος ἤστην καὶ Λουτούριος. (4) Αὕτη τοίνυν τῶν Γαλατῶν ἡ ἐπὶ τὴν Ἀσίαν διάβασις κατ' ἀρχὰς μὲν ἐπὶ κακῷ τῶν οἰκητόρων προελθεῖν ἐνομίσθη, τὸ δὲ τέλος ἔδειξεν ἀποκριθὲν πρὸς τὸ συμφέρον. Τῶν γὰρ βασιλέων τὴν τῶν πόλεων δημοκρατίαν ἀφελεῖν σπουδαζόντων, αὐτοὶ μᾶλλον ταύτην ἐβεβαίουν, ἀντικαθιστάμενοι τοῖς ἐπιτιθεμένοις. (5) Νικομήδης δὲ κατὰ Βιθυνῶν πρῶτον, συμμαχούντων αὐτῷ καὶ τῶν ἐξ Ἡρακλείας, τοὺς βαρβάρους ἐξοπλίσας, τῆς τε χώρας ἐκράτησε καὶ τοὺς ἐνοικοῦντας κατέκοψε, τὴν ἄλλην λείαν τῶν Γαλατῶν ἑαυτοῖς διανειμαμένων. Οὗτοι δὲ πολλὴν ἐπελθόντες χώραν αὖθις ἀνεχώρησαν, καὶ τῆς αἱρεθείσης αὐτοῖς ἀπετέμοντο τὴν νῦν Γαλατίαν καλουμένην, εἰς τρεῖς μοίρας ταύτην διανείμαντες, καὶ τοὺς μὲν Τρωγμοὺς ὀνομάσαντες, τοὺς δὲ Τολοστοβογίους, τοὺς δὲ Τεκτόσαγας. Ἐδείμαντο δὲ πόλεις, Τρωγμοὶ μὲν Ἄγκυραν, Τολοστοβόγιοι δὲ Ταβίαν, Τεκτόσαγες δὲ Πισινοῦντα.

XX. Ὁ δὲ Νικομήδης εἰς λαμπρὰν εὐδαιμονίαν ἀρθείς, πόλιν ἑαυτῷ ὁμώνυμον ἀνεγείρει ἀντικρὺ Ἀστακοῦ. Τὴν Ἀστακὸν δὲ Μεγαρέων ᾤκησαν ἄποικοι, Ὀλυμπιάδος ἱσταμένης ιζ', Ἀστακὸν ἐπίκλησιν κατὰ χρησμὸν θέμενοι ἀπό τινος τῶν λεγομένων Σπαρτῶν καὶ Γηγενῶν τῶν ἀπογόνων τῶν ἐν Θήβαις, Ἀστακοῦ τὴν κλῆσιν, ἀνδρὸς γενναίου καὶ μεγαλόφρονος. Αὕτη πολλὰς ἐπιθέσεις παρά τε τῶν ὁμορούντων ὑποστᾶσα, καὶ πολέμοις πολλάκις ἐντρυχωθεῖσα, Ἀθηναίων αὐτὴν μετὰ Μεγαρέας ἐπῳκηκότων, ἔληξέ τε τῶν συμφορῶν καὶ ἐπὶ μέγα δόξης καὶ ἰσχύος ἐγένετο, Δυδαλσοῦ τηνικαῦτα τὴν Βιθυνῶν ἀρχὴν ἔχοντος. (2) Οὗ τελευτήσαντος ἄρχει Βοτείρας, ζήσας ς' καὶ ο' ἔτη. Τοῦτον δια-

tionibus transitum conciliavit. Conditionum formula hæc erat: « Ut barbari Nicomedi ejusque posteris perpetuo amicitiæ fœdere conjuncti manerent; absque Nicomedis sententia et voluntate nemini, a quo per legatos sollicitarentur, in bellis opem ferrent, sed amicis hujus amici, et inimicis hostes forent; a Byzantinis etiam starent, si qua necessitas incideret; societatem præterea colerent cum Tianis et Heracliensibus et Chalcedoniis et Cieranis et aliis nonnullis, qui alias sub jurisdictione gentes haberent. » (3) His pactorum legibus Nicomedes Gallorum multitudinem in Asiam transmisit. Horum principes in imperio illustres septemdecim fuere, inter quos præcipui et summi Leonnorius et Lutarius. (4) Hæc igitur Gallorum in Asiam transmigratio primo quidem ad incolarum detrimentum progressura existimabatur; sed exitus commodis ipsorum destinatum hoc ostendit. Dum enim reges popularem civitatibus statum abrogare satagunt, Galli hæc molientibus obsistendo magis illam corroborant. (5) Nicomedes igitur contra Bithynos primum, juvantibus etiam Heracliensibus, cum hac barbarorum manu, quam armis instruxerat, profectus, et provinciam subegit et concidit incolas: quod alioquin erat prædæ, inter se dispertiti sunt Galli. Qui longe lateque terram depopulati, retro tandem cesserunt et de subacta id sibi amputarunt, quod nunc Galatiæ nomen habet, et in tres partes distribuerunt. Alios enim Trogmos nominant, alios Tolistobogios, alios Tectosages. Urbes etiam condiderunt: Trogmi Ancyram, Tolistobogii Tabiam, Tectosages Pesinuntem.

XX. Nicomedes autem in conspicuo felicitatis gradu positus de nomine suo exstruxit urbem e regione Astaci. Astacum vero Megarensium colonia sub initium Olympiadis decimæ septimæ frequentarat, Astacum oraculi jussu denominatam ab Astaco quodam generoso et cordato viro, ex eorum prosapia qui Sparti et Terrigenæ olim Thebis vocabantur. Hæc multum a finitimis appetita et accisa bellis, Atheniensium colonis postmodum adjectis, vexationum finem et incrementa gloriæ et potentiæ non mediocria adepta est, Dydalso tunc inter Bithynos rerum potiente. (2) Quo defuncto Botiras regnat ad septuaginta quinque annos ætate

— 3. ἐπὶ τῷ ἄρχειν] dedi, monente Bekkero; libri ἐπὶ τὸ ἄ. — Λουτούριος] codicum lectionem Hœschel. de suo, ut videtur, mutavit in notiorem formam Λουτάριος. — 4. ταύτην ἐβεβαίουν] cod. A; vulg. αὐτὴν ἐ. — 5. Νικομήδης δὲ κ. τ. λ.] Eichhorn Hist. Ant. I, p. 613 interpungendum censuit: N. δ. κ. Βιθυνῶν (πρῶτον συμμαχούντων αὐτῷ) καὶ (sc. κατὰ) τῶν ἐξ Ἡρ. τ. βαρβ. ἐξοπλ. Quæ bene refellit Orelli p. 347 sq. — ἐδείμαντο δὲ πόλεις κ. τ. λ.] « Falsissimum hoc: nam, auctore Plinio H. N. V, 42, *oppida Tectosagum Ancyra, Trocmorum Tanium, Tolistoborum Pesinus*: cum quo consentiunt etiam Strabo XII, p. 567 et Ptolemæus V, 4. Talia non semel confundere Memnonem, scriptorem prorsus ἀγεώγραφον, observant L. Holstenius ad Stephan. Byz. p. 263 et Wesseling. ad Antonini Itinerar. p. 202. » *Orelli.*

XX. 1. Ἄστακον] v. Raoul-Rochette *Établiss.* III, p. 233. Müller *Dor.* I, 120 *Minyn.* p. 291. — ιζ'] Ol. 18, 2. Euseb. Arm. Cf. Soetbeer, *Tab. chron.* ad Olymp. 17, 1. — ἀπό τινος τῶν.. Σπαρτῶν] ἀπὸ Ἀστάκου τοῦ Ποσειδῶνος καὶ νύμφης Ὀλβίας, Arrian. ap. Steph. Byz. v. Ἄστακος. — Δυδαλσοῦ] De his regibus Bithyn. v. interpret. ad Appian. Mithridat. c. 2; G. Syncell. p. 276; Sevin. *Recherches sur les rois de Bithynie* in *Mém. de l'Acad. d. Inscr.* tom. XVIII, p. 489 sqq. Vaillant. Achæmenid. imperium p. 298 sqq. et præ ceteris Clinton. F. H. tom. III, p. 410-420.

δέχεται Βᾶς ὁ υἱὸς, ὃς καὶ Κάλαν τὸν Ἀλεξάνδρου στρατηγὸν, καίτοι γε λίαν παρεσκευασμένον πρὸς τὴν μάχην, κατηγωνίσατο, καὶ τῆς Βιθυνίας παρεσκεύασε τοὺς Μακεδόνας ἀποσχέσθαι. Τούτου βίος μὲν ἐγεγόνει ἐτῶν α' καὶ ο', ὧν ἐβασίλευσε ν'. (3) Οὗ παῖς τῆς ἀρχῆς διάδοχος, Ζιποίτης, λαμπρὸς ἐν πολέμοις γεγονὼς, καὶ τοὺς Λυσιμάχου στρατηγοὺς τὸν μὲν ἀνελὼν, τὸν δὲ ἐπὶ μήκιστον τῆς οἰκείας ἀπελάσας ἀρχῆς, ἀλλὰ καὶ αὐτοῦ Λυσιμάχου, εἶτα καὶ Ἀντιόχου τοῦ παιδὸς Σελεύκου ἐπικρατέστερος γεγονὼς, τοῦ τε τῆς Ἀσίας βασιλεύοντος καὶ τοῦ Μακεδόνων, κτίζει πόλιν ὑπὸ τῷ Λυπερῷ ὄρει, τῇ αὐτοῦ κλήσει ἐπώνυμον. Οὗτος βιοὺς μὲν ἔτη ἓξ καὶ ἑβδομήκοντα, κρατήσας δὲ τῆς ἀρχῆς ὀκτὼ καὶ τεσσαράκοντα, καταλείπει παῖδας τέσσαρας. Τοῦτον ὁ πρεσβύτερος τῶν παίδων Νικομήδης διαδέχεται, τοῖς ἀδελφοῖς οὐκ ἀδελφὸς ἀλλὰ δήμιος γεγονώς. Ἐκρατύνατο μέντοι καὶ οὗτος τὴν Βιθυνῶν ἀρχὴν, μάλιστά γε τοὺς Γαλάτας ἐπὶ τὴν Ἀσίαν διαπεραιωθῆναι συναράμενος· καὶ πόλιν, ὡς προείρηται, τὴν αὐτοῦ προσηγορίαν ἀνέστησε φέρουσαν.

producta. Ei filius Bas succedit qui etiam Calam, Alexandri copiarum præfectum, licet optime ad pugnam instructum, profligavit acie, et ut Macedones a Bithynia abstinerent, effecit. Vixit hic annos septuaginta et unum, et de iis quinquaginta regnum tenuit. (3) Successorem habuit filium Zipœten: qui clarus bellis e Lysimachi præfectis alium occidit, alium quam longissime a finibus suis depulit. Quin etiam ipso Lysimacho et posthac Antiocho Seleuci, qui Asiam tamen et Macedones imperio coercebant, superior factus urbem condit, ad Lyperum montem, nomine suo insignem. Hic ubi vitam in septuaginta sex et administrationem regni in quadraginta octo annos extenderat, quattuor filios reliquit. Eumque in regno Nicomedes natu maximus excepit, qui fratribus non frater, sed carnifex erat. Confirmavit tamen etiam hic Bithyniæ regnum, maxime eo, quod Galatas sedes in Asiam transferentes adjuvit, urbemque, ut jam indicatum est, sui nominis eduxit.

XXI. Οὐ πολλῷ δὲ ὕστερον χρόνῳ πόλεμος ἀνερράγη Βυζαντίοις πρὸς Καλατιανοὺς (ἄποικοι δὲ οὗτοι Ἡρακλεωτῶν ἦσαν) καὶ πρὸς Ἰστριανοὺς περὶ Τόμεως τοῦ ἐμπορίου, ὃ τοῖς Καλατιανοῖς ὅμορον ἦν, μονοπώλιον τοῦτο διανοουμένων κατασκευάσαι τῶν Καλατιανῶν. Διεπρεσβεύοντο οὖν πρὸς Ἡρακλεώτας ἐπὶ συμμαχίᾳ ἑκάτεροι· οἱ δὲ πολεμικὴν μὲν ῥοπὴν οὐδετέρῳ ἔνεμον μέρει, διαλλακτηρίους δὲ ἄνδρας ἑκατέροις ἀπέστελλον, κἂν ἄπρακτος αὐτῶν ἡ σπουδὴ τότε γέγονε. Πολλὰ δὲ οἱ τῆς Καλατίδος ὑπὸ τῶν πολεμίων παθόντες ὕστερον εἰς διαλύσεις ἦλθον, ἀπὸ ταύτης τῆς συμφορᾶς οὐκέτι σχεδὸν ἀναλαβεῖν αὑτοὺς δυνηθέντες.

XXI. Interlapso hinc tempore aliquo, Byzantinis bellum adversus Calatianos (Heracleotarum colonia hæc est) et Istrianos erupit, propter Tomin, emporium Calatianis vicinum, quod monopolium ex eo facere animo conceperant Calatiani. Propterea utrinque ad Heraclienses de belli societate mittitur legatio. At hi neutri parti bellicam opem tribuunt, sed legant ad utrosque, qui pacifice controversiam transigant. Tamen absque effectu hoc ipsis studium exivit. Multis igitur detrimentis affecti Calatidis incolæ ad pacis demum conditiones descenderunt. Nec quidquam fere ab ista calamitate virium potuerunt recipere.

XXII. Οὐ πολλοῦ δὲ πάνυ ῥυέντος χρόνου, ὁ τῶν Βιθυνῶν βασιλεὺς Νικομήδης, ἐπεὶ ὁ μὲν ἐκ προτέρων αὐτῷ γάμων γεγονὼς παῖς Ζήϊλας φυγὰς ἦν πρὸς τὸν Ἀρμενίων βασιλέα, ταῖς τῆς μητρυιᾶς Ἐταζέτας μηχαναῖς ἐλαθεὶς, οἱ δὲ ἐκ ταύτης αὐτῷ γεγονότες ἐνηπίαζον, πρὸς τῷ τελευτᾶν γεγονὼς κληρονόμους μὲν τοὺς ἐκ τῆς δευτέρας γυναικὸς γράφει παῖδας, ἐπιτρόπους δὲ Πτολεμαῖον καὶ Ἀντίγονον καὶ τὸν δῆμον τῶν Βυζαντίων καὶ δὴ καὶ Ἡρακλεωτῶν καὶ τὸν τῶν Κιανῶν ἐφίστησιν. (2) Ὁ μέντοι Ζήϊλας μετὰ δυνάμεως, ἣν αὐτῷ τῶν Γαλατῶν οἱ Τολοστοβόγιοι θάρσους ἐπλήρουν, ἐπὶ τὴν βασιλείαν κατῄει. Βιθυνοὶ δὲ τὴν ἀρχὴν σώζειν τοῖς νηπίοις σπουδάζοντες τὴν μὲν τούτων μητέρα ἀδελφῷ συνοικίζουσι τῷ Νικομήδους, αὐτοὶ δὲ στράτευμα παρὰ τῶν εἰρημένων ἐπιτρόπων λαβόντες ὑπέμενον τὸν Ζήϊλαν· συχναῖς δὲ μάχαις καὶ μεταβο-

XII. Nec multum temporis effluxit, quum rex Bithynorum Nicomedes (postquam e priore ei natus conjugio Zeilas ad Armeniorum regem profugisset, expulsus novercæ Etazetæ machinis, cujus liberi adhuc in tenera ætate erant) morte jam imminente, ex altera natos uxore hæredes regni scripsit, et curatores Ptolemæum cum Antigono et populo Byzantinorum, nec non Heracliensium Cianorumque designavit. (2) Zeilas autem cum instructa manu, cui e Galatis Tolistobogii animos augebant, in regnum paternum redit. At Bithyni, dum conservare dominatum parvulis satagunt, matrem horum Nicomedis fratri in matrimonium elocant, et ipsi accepto a curatoribus exercitu Zellam opperiuntur. Et crebris utrobique prœliis et vicibus usi, pacem

— 3. αὐτοῦ Λυσιμάχου] A.; αὐτὸν Λυσίμαχον cett. — κτίζει πόλιν] Steph. Byz.: Ζιποίτιον,... πολ. Βιθυνίας, ἀπὸ Ζιποίτου βασιλέως.
XXI. συμμαχίᾳ] Stephanus; συμμαχίαν libri. — κἂν ἄπρ.] εἰ καὶ voluit Stephan.; καὶ Scaliger.; ἀλλὰ?
XXII. 1. μητρυιᾶς] « Veram Zeilæ, Prusiæ et sororis Lysandræ matrem *Consingim* Plinius H. N. VIII, 40 (61), Ditizelen autem appellat Tzetzes mortem ejus tragicam a cane rabido immissam referens ex Arriani Bithyniacis Chil. III, hist. 115. » *Orelli*. Vide Clinton. III, p. 412. Droysen. II, p. 283. — 2. θάρσους] vocem Scaligero suspectam uncis inclu-

λαῖς ἑκάτεροι ἀποχρησάμενοι, τὸ τελευταῖον κατέστησαν εἰς διαλύσεις, Ἡρακλεωτῶν ἐν ταῖς μάχαις ἀριστευόντων, κἀν ταῖς συμβάσεσι τὸ συμφέρον καταπραττόντων. Διὸ Γαλάται ὡς ἐχθρὰν τὴν Ἡράκλειαν κατέδραμον ἕως Κάλλητος ποταμοῦ, καὶ πολλῆς κύριοι γεγονότες λείας οἴκαδε ἀνεχώρησαν.

XXIII. Βυζαντίους δὲ Ἀντιόχου πολεμοῦντος, τριήρεσι συνεμάχησαν τεσσαράκοντα οἱ Ἡρακλεῶται, καὶ τὸν πόλεμον παρεσκεύασαν μέχρις ἀπειλῶν προκόψαι.

XXIV. Συνέβη δὲ μετ' οὐ πολὺ ἐξ ἀνθρώπων Ἀριοβαρζάνην γενέσθαι, παῖδα Μιθριδάτην καταλιπόντα, καὶ ἐν διαφορᾷ πρὸς τοὺς Γαλάτας γεγονότα. Δι' ἣν αἰτίαν καταφρονήσαντες τοῦ παιδὸς οὗτοι, τὴν αὐτοῦ βασιλείαν ἐσίνοντο. Καὶ ἀπορίας αὐτοὺς καταλαβούσης, ἀνελάμβανον οἱ ἀπὸ τῆς Ἡρακλείας, σῖτον εἰς Ἀμισὸν πέμποντες, ἐξ ἧς ῥᾷον ἦν τοὺς τοῦ Μιθριδάτου σιτηγεῖν ἑαυτοῖς καὶ ἐξακεῖσθαι τὴν ἔνδειαν. Διὰ ταῦτα πάλιν οἱ Γαλάται εἰς τὴν Ἡρακλεῶτιν ἔπεμψαν στράτευμα, καὶ ταύτην κατέτρεχον, μέχρις ἂν οἱ Ἡρακλεῶται διεπρεσβεύσαντο πρὸς αὐτούς. Νύμφις δὲ ἦν ὁ ἱστορικὸς ὁ κορυφαῖος τῶν πρέσβεων, ὃς τὸν μὲν στρατὸν ἐν τῷ κοινῷ χρυσοῖς πεντακισχιλίοις, τοὺς δὲ ἡγεμόνας ἰδίᾳ διακοσίοις ὑποθεραπεύσας, τῆς χώρας ἀπαναστῆναι παρεσκεύασεν.

XXV. Πτολεμαῖος δὲ ὁ τῆς Αἰγύπτου βασιλεύς, εἰς ἄκρον εὐδαιμονίας ἀναβάς, λαμπροτάταις μὲν δωρεαῖς εὐεργετεῖν τὰς πόλεις προήγετο· ἔπεμψε δὲ καὶ τοῖς Ἡρακλεώταις ἀρτάβας πυροῦ πεντακοσίας, καὶ νεὼν αὐτοῖς Προκοννησίας πέτρας ἐν τῇ ἀκροπόλει Ἡρακλέους ἀνεδείματο.

2. Μέχρι τούτου φθάσας ὁ συγγραφεὺς εἰς τὴν τῶν Ῥωμαίων ἐπικράτειαν τὴν ἐκβολὴν ποιεῖται· ὅθεν τε γένους ἔφυσαν, καὶ τίνα τρόπον τῆς Ἰταλίας ἐνταῦθα κατῴκησαν, ὅσα τε εἰς τὴν τῆς Ῥώμης κτίσιν προὔλαβέ τε καὶ ἐπράχθη, καὶ τῶν ἐπαρξάντων αὐτῶν ἐπιτρέχων, καὶ πρὸς οὓς πολέμοις διηγωνίσαντο, καὶ τήν τε τῶν βασιλέων κατάστασιν, καὶ τὴν εἰς ὑπάτους τῆς μοναρχίας μεταβολήν, ὅπως τε ὑπὸ Γαλατῶν Ῥωμαῖοι ἡττήθησαν, καὶ ἥλω ἂν ἡ πόλις, εἰ μὴ Κάμιλλος ἐπιβοηθήσας τὴν πόλιν ἐρρύσατο· (3) ὅπως τε ἐπὶ τὴν Ἀσίαν Ἀλεξάνδρῳ διαβαίνοντι καὶ γράψαντι ἢ κρατεῖν, ἐὰν ἄρχειν δύνωνται, ἢ τοῖς κρείττοσιν ὑπείκειν, στέφανον χρυσοῦν ἀπὸ ἱκανῶν ταλάντων Ῥωμαῖοι ἐξέπεμψαν· καὶ ὡς πρὸς Ταραντίνους καὶ Πύρρον συμμαχοῦντα τούτοις ἐπολέμησαν, καὶ τὰ μὲν παθόντες τὰ δὲ κακῶς τοὺς πολεμίους διαθέμενοι Ταραντίνους μὲν ὑπη-

ad extremum ineunt. Heraclienses et in pugnis illis excelluerunt, et in compositione belli egere quæ in rem forent. Idcirco Galatæ Heracleam ut inimicam invaserunt ad Calletem usque fluvium multaque ditati præda domum repetierunt.

XXIII. Sub hæc, Byzantinis inferente bellum Antiocho, quadraginta triremibus Heracleotæ auxiliantur : et horum factum est opera, ut ad minas tantummodo progressum haberet bellum.

XXIV. Nec longe post e vita mortalium eximitur Ariobarzanes, filiumque relinquit Mithridatem : cui lites cum Galatis intercessere. Quam ob causam hi, contempta pueri ætate, regnum ejus divexant. Quumque inopia rerum laborarent regii, Heraclienses eos sustentant, frumento Amisum advecto : unde satis facilis erat Mithridaticis victus copia et egestatis medela. Propter hæc iterum Galatæ hostiles in Heracleotidem copias mittunt : usquedum ab Heracliensibus per legatos mitigantur. Princeps autem legationis erat Nymphis, historiæ scriptor : qui quum exercitum in commune aureis quinquies mille, duces seorsum ducenis delinivisset, ut a finibus discederent, effecit.

XXV. Ptolemæus autem rex Ægypti, altissimum benignæ fortunæ gradum assecutus, magnificentissimis civitates muneribus demereri constituerat. Itaque etiam Heracliensibus quingentas artabas tritici misit, et templum Herculis e Proconnesio saxo in arce eis exstruxit.

2. Huc auctor progressus, ad imperium Romanum excursionem fecit ; quo genere orti, quomodo hæc Italiæ loca insederint : quæque ante urbem conditam evenerint et gesta sint; quos etiam principes habuerint, perstringit; quæ cum aliis bella gesserint ; quid condito regno acciderit : et ut tandem regia potestas in consulare mutata fuerit imperium : utque a Gallis Romani devicti, et capta esset urbs, nisi superveniens auxilio Camillus eam liberasset : (3) ut etiam Alexandro, in Asiam trajicienti, et per literas eis denuntianti, ut aut vincerent, si gerendo imperio essent idonei, aut potentioribus cederent, auream coronam, quæ talentis non paucis constaret, miserint; ut bella gesserint adversus Tarentinos et Pyrrhum Epiroten, hos auxilio juvantem ; ut qua patiendo qua inferendo clades hostes tan-

sit Orelli. Rationem idoneam desidero. — Κάλλητος] Κάληκα fluvium nominat Thucyd. IV, 75, Κάχητα Diodorus XII, 72, Κάλητα Arrianus in Periplo. De re cf. Droysen. II, 256.

XXV. ἀρτάβας πενταχοσ.] de Artaba Ægyptia, sicuti de Persica v. Wesseling. ad Diodor. XX, 99, Wurm. De ponderum rat. p. 134. Vereor ut numerus artabarum recte se habeat. De re cf. Droysen. II, p. 355. — Προκοννησίας πετρ.] λίθου λευκοῦ σφόδρα ἐπαινουμένου, Strabo XIII, p. 558. — 2. ἥλω ἂν ἡ πόλις κ. τ. λ.] Hæc diversam a vulgari traditione narrationem arguere videri possint; at quæ est in his excerptoris breviloquentia, nihil premendum duco. — Ἀλεξάνδρῳ γράψαντι κ. τ. λ.] de hoc commento v. St-Croix *Examen d. histor. d'Alex.* p. 479.

γάγοντο, Πύρρον δὲ τῶν τῆς Ἰταλίας ἀπήλασαν· (4) ὅσα τε πρὸς Καρχηδονίους καὶ Ἀννίβαν Ῥωμαίοις ἐπράχθη, καὶ ὅσα πρὸς Ἴβηρας ἄλλοις τε καὶ Σκιπίωνι κατωρθώθη, καὶ ὡς παρὰ τῶν Ἰβήρων βασιλεὺς ψηφισθεὶς οὐκ ἐδέξατο· ὅπως δὲ καταπολεμηθεὶς ἔφυγεν Ἀννίβας· καὶ ὡς πέραν τοῦ Ἰονίου Ῥωμαῖοι διέβησαν· καὶ ὡς Περσεὺς ὁ Φιλίππου τὴν Μακεδόνων ἀρχὴν ἐκδεξάμενος, καὶ τὰς συνθήκας τὰς πρὸς τὸν αὐτοῦ πατέρα Ῥωμαίοις γεγενημένας νεότητι κινῶν κατεπολεμήθη, Παύλου τὸ κατ' αὐτὸν ἀναστήσαντος τρόπαιον· ὅπως τε (πρὸς) Ἀντίοχον τὸν Συρίας καὶ Κομμαγηνῆς καὶ Ἰουδαίας βασιλέα δυσὶ μάχαις νικήσαντες τῆς Εὐρώπης ἐξέβαλλον. Τὰ μὲν οὖν περὶ τῆς Ῥωμαϊκῆς ἀρχῆς μέχρι τοῦδε δίεισιν ὁ συγγραφεύς.

XXVI. Ἀναλαβὼν δὲ γράφει, ὅπως Ἡρακλεῶται διαπρεσβευσάμενοι πρὸς τοὺς τῶν Ῥωμαίων στρατηγοὺς ἐπὶ τὴν Ἀσίαν διαβεβηκότας, ἀσμένως τε ἀπεδέχθησαν καὶ ἐπιστολῆς φιλοφρονούμενοι ἔτυχον, Ποπλίου Αἰμυλίου ταύτην ἀποστείλαντος, ἐν ᾗ φιλίαν τε πρὸς αὐτοὺς τῆς συγκλήτου βουλῆς ὑπισχνεῖτο καὶ τὰ ἄλλα προνοίας τε καὶ ἐπιμελείας, ἐπειδάν τινος αὐτῶν δέοιντο, μηδεμιᾶς ὑστερεῖσθαι. Ὕστερον δὲ καὶ πρὸς Κορνήλιον Σκιπίωνα τὸν τὴν Λιβύην Ῥωμαίοις κτησάμενον διαπέμπουσι πρεσβείαν, τὴν ὡμολογημένην φιλίαν ἐπικυροῦντες. (2) Μετὰ ταῦτα δὲ πάλιν πρὸς τὸν αὐτὸν διαπρεσβεύονται, διαλλάττειν πρὸς Ῥωμαίους ἀξιοῦντες τὸν βασιλέα Ἀντίοχον· καὶ ψήφισμα πρὸς αὐτὸν ἔγραψαν, παραινοῦντες αὐτὸν τὴν πρὸς Ῥωμαίους διαλύσασθαι ἔχθραν. Ὁ δὲ Κορνήλιος Σκιπίων ἀντεπιστέλλων τοῖς Ἡρακλεώταις, ἐπιγράφει οὕτως· « Σκιπίων στρατηγὸς ἀνθύπατος Ῥωμαίων, Ἡρακλεωτῶν τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν· » ἐν ταύτῃ τήν τε πρὸς αὐτοὺς εὔνοιαν ἐπιβεβαιῶν, καὶ ὡς διαλύσαιντο Ῥωμαῖοι τὴν πρὸς Ἀντίοχον μάχην. Τὰ αὐτὰ δὲ Λευκίῳ Πόπλιος Κορνήλιος Σκιπίων ὁ ἀδελφὸς καὶ στρατηγὸς τοῦ ναυτικοῦ τοῖς Ἡρακλεώταις διαπρεσβευσαμένοις ἀντέγραψε. (3) Μετ' οὐ πολὺ δὲ πάλιν εἰς μάχην Ἀντίοχος Ῥωμαίοις κατέστη, καὶ ἀνὰ κράτος ἡττηθεὶς ἐπὶ συνθήκαις διελύσατο τὴν ἔχθραν, αἳ καὶ τῆς Ἀσίας αὐτὸν ἁπάσης ἀπεῖργον, καὶ τοὺς ἐλέφαντας καὶ τῶν νηῶν συναφῃροῦντο τὸν στόλον, τῆς Κομμαγηνῆς αὐτῷ καὶ τῆς Ἰουδαίας εἰς ἀρχὴν ὑπολειπομένων. (4) Ἡ δὲ τῶν Ἡρακλεωτῶν πόλις πρὸς τοὺς ἐκπεμπομένους παρὰ τῶν Ῥωμαίων τῶν στρατηγῶν διαδόχους τὰ αὐτά τε διεπρεσβεύετο, καὶ ταῖς ὁμοίαις ἀντεδεξιοῦτο εὐνοίαις καὶ φιλοφρονήσεσι, καὶ τέλος συνθῆκαι προῆλθον Ῥωμαίοις τε καὶ Ἡρακλεώταις, μὴ φίλους εἶναι μόνον ἀλλὰ καὶ συμμάχους ἀλλήλοις, καθ' ὧν τε καὶ ὑπὲρ ὧν δεηθεῖεν ἑκάτεροι. Καὶ χαλκοῖ πίνακες δύο τὰς ὁμολογίας ἴσας καὶ ὁμοίας

dem domuerint et Pyrrhum Italia expulerint; (4) quæque cum Carthaginiensibus et Annibale negotia confecerint; et quæ contra Hispanos quum alii tum Scipio Marte secundo peregerint; utque hic Hispanorum decreto rex appellatus, honorem non admiserit: ut debellatus Annibal fugerit; ut Ionium mare transmissum, et cum Perseo, Philippi in regno Macedonum hærede, dum fœdus cum patre a Romanis percussum juvenili temeritate rescindit, sit debellatum, Æmilio Paullo de ipso triumphante; ut Antiochum Syriæ et Comagenæ et Judææ regem, duabus pugnis infractum, ex Europa ejecerint. Illa igitur hucusque de imperio Romano commemorat auctor.

XXVI. Exinde propositam sibi historiam ita continuat: Heraclienses Romanorum duces in Asiam transgressos missis legatis conveniunt, qui comiter accepti literas humanitatis plenas ab Æmilio Paullo retulerant, quibus et amicum ipsis fore senatum, nec ulla in re prudentiam Romanorum et curam (si quando his indigeant) defuturam pollicetur. Deinceps etiam ad Cornelium Scipionem, qui Africam Romanis bello asseruit, legationem misere, testatam prius amicitiam ut confirmarent. (2) Et posthæc eundem rursus per legatos orant, ut Antiochum in gratiam reponat apud Romanos: et perscripto ad regem plebiscito, ut bellum contra Romanos deponat, adhortantur. Cornelius etiam Scipio Heracleotis rescribens hac inscriptione utitur: *Scipio imperator procos. Romanorum, senatui populoque Heracliensium salutem.* Et his literis benevolentiam erga ipsos ratam et firmam esse et bellum cum Antiocho solvisse Romanos affirmat. Eadem quæ Lucius etiam Publius Cornelius Scipio ejus frater et classis præfectus Heracliensibus post missam legationem respondit. (3) Brevi post Antiochus bellum adversus Romanos redintegrat, et prœlio summis viribus commisso victus arma deponit, pacis conditionibus acceptis, quæ et tota eum Asia minore excludunt, et elephantis naviumque classe privant, Comagena et Syria et Judæa tantummodo relictis. (4) Heracliensium dehinc civitas ad imperatorum Romanorum, quos modo dixi, successores item legatos misit et eadem gratia et humanitate potitur: donec ad has tandem leges inter Romanos et Heraclienses processum est, ut non modo amicitiam inter se, verum etiam societatem, contra quos et quorum gratia opus sit, colant. Suntque fœderis hujus pacta ejusdem te-

— 4. βασιλεὺς ψηφ.] Cf. Liv. XXVII, 9. Polyb. X, 38. — τὸ κατ' αὐτὸν τρόπαιον] κατ' αὐτοῦ Scaliger; idem mox propositionem πρὸς, ut abundantem, expungit.

XXVI. 1. φιλοφρονούμενοι] A. φιλοφρόνου μὲν vulg. — 2. πρὸς αὐτὸν ἔγραψαν] A. προσαντέγραψαν vulg. — διαλύσασθαι] A. διαλύεσθαι vulg. — Λευκίῳ] A, Σελευκίῳ vulg. — 3. Κομμαγηνῆς αὐτῷ] Stephanus; K. αὐτῶν libri.

ἔφερον· ὧν ὁ μὲν παρὰ Ῥωμαίοις ἐν τῷ κατὰ τὸ Καπητώλιον ἱερῷ τοῦ Διὸς καθηλώθη, ὁ δὲ κατὰ τὴν Ἡράκλειαν, καὶ αὐτὸς ἐν τῷ τοῦ Διὸς ἱερῷ.

ΕΚ ΤΟΥ ΙΕ′ ΒΙΒΛΙΟΥ.

XXVII. Ταῦτα διεξελθὼν ὁ συγγραφεὺς κατὰ τὸ ιγ′ καὶ ιδ′ τῆς ἱστορίας εἰς τὴν ιε′ εἰσβαλὼν, διηγεῖται, ὅπως Προυσίας ὁ Βιθυνῶν βασιλεὺς, δραστήριος ὢν καὶ πολλὰ πράξας, μετὰ τῶν ἄλλων καὶ Κίερον πόλιν Ἡρακλεωτῶν οὖσαν ὑφ' ἑαυτὸν ἔθετο τῷ πολέμῳ, ἀντὶ Κιέρου Προυσιάδα καλέσας. Εἷλε δὲ καὶ τὴν Τῖον καὶ αὐτὴν ὑπήκοον αὐτοῖς οὖσαν, ὥστε ἐκ θαλάσσης εἰς θάλασσαν τὴν Ἡράκλειαν περιγράψαι. (2) Ἐφ' αἷς κἀκείνην κραταιῶς ἐπολιόρκει, καὶ πολλοὺς μὲν τῶν πολιορκουμένων ἀπέκτεινεν, ἐγγὺς δ' ἂν καὶ ἡ πόλις τοῦ ἁλῶναι κατέστη, εἰ μὴ ἐπὶ τῆς κλίμακος ἀναβαίνων Προυσίας, λίθῳ βαλόντος ἑνὸς τῶν ἀπὸ τῆς ἐπάλξεως, συνετρίβη τὸ σκέλος, καὶ τὴν πολιορκίαν τὸ πάθος διέλυσε. Φοράδην γὰρ ὁ βληθεὶς, οὐκ ἄνευ ἀγῶνος, ὑπὸ τῶν Βιθυνῶν ἀνακομισθεὶς εἰς τὰ οἰκεῖα ἀνέστρεψε, κἀκεῖ βιοὺς ἔτη οὐ πολλὰ, καὶ χωλὸς καὶ ὢν καὶ καλούμενος, τὸν βίον κατέστρεψεν.

XXVIII. Οἱ δὲ ὑπὲρ τὸν Πόντον Γαλάται, οὔπω τῶν Ῥωμαίων εἰς τὴν Ἀσίαν διαβεβηκότων, πόθον ἔχοντες πεῖραν λαβεῖν τῆς θαλάσσης προελεῖν ἐπεχείρουν τὴν Ἡράκλειαν, καὶ οὐ χαλεπὸν ἐνόμιζον· πολὺ γὰρ τῆς παλαιᾶς ῥώμης ὑφεῖτο καὶ πρὸς τὸ καταφρονούμενον ὑπέρρει. Στρατεύουσι δὴ κατ' αὐτῆς ἁπάσαις ταῖς δυνάμεσιν, οὐδ' αὐτῆς συμμάχων ἀμελούσης, ἀλλ' εἰς ὅσα παρεῖχεν ὁ καιρὸς, παρασκευαζομένης. (2) Ἐπολιορκεῖτο μὲν οὖν αὕτη, καὶ χρόνος ἐτρίβετο, ὃς τοὺς Γαλάτας εἰς ἔνδειαν τῶν ἀναγκαίων συνήλαυνε· θυμῷ γὰρ καὶ οὐ παρασκευῇ τῇ δεούσῃ Γαλάτης ἀνὴρ τὸν πόλεμον διαφέρειν οἶδε. Πρὸς οὖν συλλογὴν τῶν ἐπιτηδείων τὸ στρατόπεδον ἀπολελοιπότων, ἐκδραμόντες οἱ τῆς πόλεως καὶ ἀδοκήτοις ἐπιπεσόντες αὐτό τε εἷλον καὶ πολλοὺς ἀνεῖλον καὶ τοὺς ἐπὶ τῆς χώρας σκεδασθέντας οὐ χαλεπῶς συνελάμβανον, ὡς μηδὲ τὴν τρίτην μοῖραν τοῦ Γαλατικοῦ στρατεύματος εἰς Γαλατίαν ἀναστρέψαι. Ἐκ δὲ τοῦ κατορθώματος πάλιν εἰς τὴν προτέραν εὔκλειαν καὶ εὐδαιμονίαν ἐλπίδας ἐλάμβανον ἀναβῆναι.

XXIX. Ῥωμαίοις δὲ πρὸς Μάρσους καὶ Πιλιγνοὺς καὶ Μαρρουκίνους (ἔθνη δέ εἰσι ταῦτα ὑπὲρ Λιβύης κατῳκημένα, Γαδείρων ὅμορα) δυσί τε τριήρεσι καταφράκτοις Ἡρακλεῶται συνεμάχησαν, καὶ συγκατορθώσαντες τὸν πόλεμον καὶ πολλῶν ἀριστειῶν ἀξιωθέντες ἑνδεκάτῳ ἔτει πρὸς τὴν πατρίδα ἀνεκομίσθησαν.

noris et formæ in tabulas æneas relata duas : quarum altera penes Romanos in Capitolino Jovis templo, altera Heracleæ etiam ipsa in Jovis templo est affixa.

E LIBRO XV.

XXVII. Hæc postquam decimo tertio et decimo quarto Historiæ libris exposuit, decimum quintum exorsus hæc refert. Prusias (inquit) Bithynorum rex, mirifice industrius et gnavus multisque rebus gestis clarus, inter alia etiam Cierum, Heracliensis ditionis urbem, bello subjecit, pro Ciero Prusiadem nuncupans. Tium etiam eorundem jurisdictioni obnoxiam cepit, ut sic undique ab mari circumscriberet Heracleam. (2) Inde etiam violenta eam obsidione pressit, et plurimos obsessorum interfecit. Et jam prope erat ut urbs caperetur, nisi Prusiæ, dum scalis sursum nititur, lapide cujusdam de propugnaculis jacto crus fractum esset, et hic casus ab oppugnatione desistere eum coegisset. Ita enim percussus lectica non sine doloris acerbitate domum a Bithynis suis refertur : nec multis post annis, nomine et re claudus, finem vivendi fecit.

XXVIII. Nondum in Asiam Romani trajecerant, quum Galatæ, Ponti accolæ, maris tentandi cupiditate, Heracleam prius occupare conantur, non difficile id fore existimantes : siquidem de antiqua potentia multum jam deminutum, et ad contemptum prolabi sensim cœperat. Ideo universis eam copiis impugnant. Ipsa tamen sociorum interim non est immemor, sed, quantum occasio præsens facultatis concedit, se contra munit. (2) Obsidione igitur in tempus aliquod extracta, commeatuum inopia in arctum coguntur Galatæ : ira enim, non apparatu necessario, bellum producere Galates novit. Quare quum ad comportandum necessaria castris abscessissent, cives eruptione facta inopinantes aggressi et castris potiuntur, et plurimos cædunt; dispalantes etiam per agros non multo negotio comprehendunt, adeo ut ne tertia quidem pars Galatici exercitus in Galatiam reversa sit. A quo successu ad pristinam emergendi fortunam et celebritatem spes conceperunt.

XXIX. Romanis etiam bello contra Marsos, Pilignos, et Marucinos (gentium harum sedes est supra Africam, in continiis Gadium) duabus triremibus tectis Heracleotæ auxiliantur. Et bello prospere confecto, multis eximiæ virtutis ornati præmiis, undecimo tandem anno in patriam sunt revecti.

XXVII. 1. τῷ πολέμῳ] τῷ abundat. *Scaliger*. — Προυσιάδα] urbem hanc ad Hypium fluvium prope Heracleam sitam infra (c. 41) confundit auctor cum altera Prusiade maritima quæ est ad Propontidem. — 2 κατεστρεψεν] A. μετέστρεψεν vulg.

XXVIII. 2. ἀδοκήτοις] A. ἀδοκήτως vulg. — εὔκλειαν] A. εὐλάβειαν vulg.

XXIX. Πιλιγνοὺς] A et alii quidam libri, quos laudat Hœschel.; Πελιγροὺς cod. Vat. et H. Stephan. — Μαρρουκίνους] libri omnes, ut Hœschel. ait, Μαργουκίνους; Bekker. ed. Μαρουκίνους. Quæ sequuntur, miram rerum geographicarum ignorantiam arguunt. — τε τριήρεσι] τετρήρεσι Stephan, fortassis recte.

XXX. Μετὰ ταῦτα δὲ ὁ πρὸς Ῥωμαίους βαρὺς Μιθριδάτῃ τῷ Πόντου βασιλεῖ συνέστη πόλεμος, φαινομένην λαβὼν αἰτίαν τὴν τῆς Καππαδοκίας κατάληψιν. Ταύτης γὰρ δι' ἀπάτης καὶ ὅρκων συμβατηρίων τὸν ἀδελφιδοῦν Ἀράθην συλλαβὼν ὁ Μιθριδάτης, αὐτοχειρίᾳ ἀποσφάξας, ἐκράτησε. Παῖς δὲ ὁ Ἀράθης ἐκ τῆς ἀδελφῆς τοῦ Μιθριδάτου Ἀριαράθῳ γεγένητο. (2) Φονικώτατος δὲ ἐκ παιδὸς ὁ Μιθριδάτης ἦν· τὴν γὰρ ἀρχὴν τρισκαιδεκαέτης παραλαβὼν μετ' οὐ πολὺ τὴν μητέρα, κοινωνὸν αὐτῷ παρὰ τοῦ πατρὸς τῆς βασιλείας καταλειφθεῖσαν, δεσμωτηρίῳ κατασχὼν, βίᾳ καὶ χρόνῳ ἐξηνάλωσε· καὶ τὸν ἀδελφὸν ἀπέκτεινε. Κατεστρέψατο δὲ πολέμῳ καὶ τοὺς περὶ τὸν Φᾶσιν βασιλεῖς ἕως τῶν κλιμάτων τῶν ὑπὲρ τὸν Καύκασον, καὶ τὴν ἀρχὴν ηὔξησε, καὶ ἐπὶ μέγα ἀλαζονείας ἐξώγκωτο. Δι' ἃ μᾶλλον Ῥωμαῖοι τὴν αὐτοῦ διάνοιαν ὕποπτον ποιούμενοι, τοῖς Σκυθῶν βασιλεῦσιν ἐψηφίσαντο τὰς πατρῴας αὐτὸν ἀρχὰς ἀποκαταστῆσαι. (3) Ὁ δὲ μετρίως μὲν τοῖς προστεττομένοις ὑπήκουε, συμμάχους δὲ Πάρθους καὶ Μήδους, καὶ Τιγράνην Ἀρμένιον καὶ τοὺς Σκυθικοὺς βασιλεῖς καὶ τὸν Ἴβηρα προσηταιρίζετο. Προσετίθει δὲ καὶ ἑτέρας τοῦ πολέμου αἰτίας. Τῆς γὰρ ἐν τῇ Ῥώμῃ συγκλήτου Νικομήδην τὸν ἐκ Νικομήδους καὶ Νύσης βασιλέα Βιθυνίας καθιστώσης, Μιθριδάτης Σωκράτην τὸν Χρηστὸν ἐπικληθέντα Νικομήδει ἀντεκαθίστη. Ἐπεκράτει δὲ ὅμως ἡ Ῥωμαίων κρίσις καὶ ἄκοντος Μιθριδάτου.

XXXI. Ὕστερον δὲ Σύλλα καὶ Μαρίου περὶ τὴν Ῥωμαϊκὴν πολιτείαν ἀναρριπισάντων τὴν στάσιν, τέσσαρας μυριάδας πεζῶν καὶ μυρίους ἱππέας Ἀρχελάῳ τῷ στρατηγῷ παραδοὺς ὁ Μιθριδάτης, κατὰ Βιθυνῶν ἐκέλευσε στρατεύειν, καὶ κρατεῖ τῆς μάχης συμβαλὼν Ἀρχέλαος, φεύγει δὲ καὶ Νικομήδης μετ' ὀλίγων. Ταῦτα μαθὼν Μιθριδάτης, παραγεγονότος αὐτῷ καὶ τοῦ συμμαχικοῦ, ἄρας ἀπὸ τοῦ πρὸς τῇ Ἀμασίᾳ πεδίου διὰ τῆς Παφλαγονίας ᾔει, πεντεκαίδεκα μυριάδας στρατὸν ἐπαγόμενος. (2) Μάνιος δὲ, τῶν ἀμφὶ Νικομήδην συστρατευομένων αὐτῷ μόνῃ τῇ τοῦ Μιθριδάτου φήμῃ διασκεδασθέντων, μετὰ Ῥωμαίων ὀλίγων ἀντιπαρατάσσεται Μηνοφάνει τῷ Μιθριδάτου στρατηγῷ, καὶ τραπεὶς φεύγει, πᾶσαν τὴν δύναμιν ἀποβαλών. (3) Ἐμβαλὼν δὲ σὺν ἀδείᾳ Μιθριδάτης εἰς τὴν Βιθυνίαν τάς τε πόλεις καὶ τὴν χώραν ἀμαχὶ κατέσχε, καὶ τῶν ἄλλων δὲ πόλεων τῶν κατὰ τὴν Ἀσίαν αἱ μὲν ἡλίσκοντο αἱ δὲ προσεχώρουν τῷ βασιλεῖ, καὶ μεταβολὴ τῶν ὅλων ἀθρόα καθίστατο, Ῥοδίων μόνον

XXX. Post hæc acerrimum Mithridatis *Eupatoris* adversus Romanos bellum conflatur. Cappadociæ in speciem causa arripitur. Hanc enim Mithridates, quum Ariathem ex sorore nepotem, jurisjurandi pacifici dolo in potestatem redactum, sua manu obtruncasset, per vim sibi vindicarat. Ariathem hunc ex sorore Mithridatis genuerat Ariarathes. (2) Mithridates vero a puero ad cædes propensissimus erat; nam quum tredecim annorum adolescens regnum accepisset, modico interlapso tempore, matrem regni consortem a patre destinatam, dum carcere vinctam tenet, vi et temporis diuturnitate confecit; fratrem etiam necavit. Bello autem subegit reges circa Phasin, usque ad climata trans Caucasum: regnoque amplificato, magnum arrogantiæ tumorem ostentabat. Quamobrem quum eo magis consilia ejus suspecta haberent Romani, senatus consultum fecerant, ut paterna regibus Scytharum (*deb. Phrygum*) regna restitueret. (3) At is moderate quidem mandatis obsequi: sed interim Parthos et Medos et Tigranem Armenium regesque Scytharum et Iberas *Asiæ* in societatem belli adsciscere; alias etiam belli causas adjungere. Nam quum senatus Romanus Nicomedem, ex Nicomede et Nysa progenitum, Bithyniæ regem instituisset, Mithridates Socratem Frugi cognomento ipsi opposuit. Prævaluit tamen electio Romanorum, Mithridate invito.

XXXI. Interjecto tempore, quum Syllæ et Marii in republica Romana seditio exarsisset, Archelaum copiarum ducem Mithridates quadraginta millia peditum et decem millia equitum in Bithynos ducere jussit, collatisque signis victor evadit Archelaus, et fugit cum paucis ipse etiam Nicomedes. Quo cognito Mithridates, quum sub manu essent auxiliares, castris e subjecto Amasiæ campo motis, per Paphlagoniam iter facit centum et quinquaginta millia adducens. (2) Manius autem sub signis habens etiam Nicomedis copias (quæ ad solam Mithridatis famam dissipantur), cum exigua Romanorum manu sese objecit Menophani, Mithridatis duci, et repulsus fugit, omni exercitu amisso. (3) Secure igitur Bithyniam invadens Mithridates, et urbes et regionem citra pugnam obtinet: ceterarumque Asiæ civitatum aliæ capiuntur, aliæ in fidem regis concedunt; et repente ingens fit rerum commutatio, Rhodiis solummodo

XXX. 1. αὐτοχειρίᾳ] καὶ αὐτ. vult Orelli præter necessitatem. De re cf. Justin. XXXVIII, 1. — 2. βίᾳ καὶ χρόνῳ, *veneno*, Sallust. ap. Serv. ad Virg. Æn. V. 295. — ἐξηνάλωσε] ἐξανάλωσε ex cod. A Bekk. post Stephan.; ἐξανήλωσε vult Orelli, sine causa. — τ. περὶ τ. Φᾶσιν βασιλεῖς] Cf. Strabo XI, p. 498; Justin. XXXVII, 3. — Σκυθῶν βασιλεῦσιν] Φρυγῶν βασ. em. Orelli, ex Appian. Mithr. c. 11 et 13. — 3. Μιθριδάτης ... ἀντεκαθίστη] sic em. Palmer. ex Appian. Mithr. c. 10; libri: Μιθρ. τὸν χρηστὸν ἐπικληθέντα Νικομήδην ἀντεκαθίστη. Socrates hic postea a Mithridate interfectus. V. Justin. XXXVIII, 5.

XXXI. 1. συμβαλὼν Ἀρχέλ.] ad Amnium fluvium in Domanetide Paphlagoniæ regione, ut testatur Strabo XII, p. 562. Cf. Appian. l. l. c. 17 sq. — 2. Μάνιος] A. B.; alii libri Μάριος. Manium (Aquillium, qui cum C. Mario a. 101 a. C. consul fuerat) tuetur Appianus l. l. De Mario cf. Plutarch. Mar. c. 34. — Ῥοδίων μόνον] Cf. Appian. c. 24 sqq. —

πρὸς Ῥωμαίους στεργόντων φιλίαν· δι' ἣν κατ' αὐτῶν Μιθριδάτης καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐκίνει τὸν πόλεμον, εἰ καὶ τὸ πλέον Ῥόδιοι ἔσχον, ὡς καὶ αὐτὸν Μιθριδάτην ναυμαχοῦντα ἐγγὺς τοῦ ἁλῶναι ἐλθεῖν. (4) Μετὰ δὲ ταῦτα μαθὼν Μιθριδάτης ὡς οἱ κατὰ τὰς πόλεις σποράδες Ῥωμαῖοι τῶν παρ' αὐτοῦ διανοουμένων ἐμποδὼν ἵστανται, γράφει πρὸς πάσας, ὑπὸ μίαν ἡμέραν τοὺς παρ' αὐταῖς Ῥωμαίους φονεύειν. Καὶ πολλοὶ πεισθέντες, τοσοῦτον φόνον εἰργάσαντο, ὡς μυριάδας ὀκτὼ ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ τὸν διὰ ξίφους ὄλεθρον ὑποστῆναι.

XXXII. Ἐρετρίας δὲ καὶ Χαλκίδος, καὶ ὅλης Εὐβοίας τοῖς τοῦ Μιθριδάτου προσθεμένων, καὶ ἄλλων πόλεων αὐτῷ προσχωρούντων, καὶ μὴν καὶ Λακεδαιμονίων ἡττηθέντων, Σύλλαν ἐκπέμπουσιν οἱ Ῥωμαῖοι, ἱκανὴν αὐτῷ συνεκπέμψαντες στρατιάν. Ὁ δὲ παραγεγονὼς, τῶν πόλεων τὰς μὲν ἑκουσιότητι μεταβαλλομένας, τὰς δὲ καὶ βίᾳ κατέσχεν, οὐκ ὀλίγον στράτευμα τῶν Ποντικῶν μάχῃ τρεψάμενος. Εἷλεν δὲ καὶ τὰς Ἀθήνας· καὶ κατέσκαπτο ἂν ἡ πόλις, εἰ μὴ θᾶττον ἡ σύγκλητος Ῥωμαίων τὴν τοῦ Σύλλα γνώμην ἀνέκοψε. (2) Συχνῶν δὲ παρατάξεων συνισταμένων, ἐν αἷς τὸ πλεῖον εἶχον οἱ Ποντικοὶ, καὶ συμμεταβαλλομένων τῶν πραγμάτων τοῖς κατορθουμένοις, ἔνδεια τοῖς βασιλικοῖς τῆς διαίτης ἐπέστη, ἀσώτως τε πρὸς ταύτην διακειμένοις καὶ ταμιεύειν τὰ κτηθέντα μὴ ἐπισταμένοις. Καὶ εἰς συμφορῶν ἂν ἐξέπεσον τὴν ἐσχάτην, εἰ μὴ ὁ Ταξίλλης Ἀμφίπολιν ἑλὼν, καὶ διὰ ταῦτα τῆς Μακεδονίας πρὸς αὐτὸν μεταβαλλομένης, ἐκεῖθεν τὴν ἀφθονίαν ἐχορήγησε τῶν ἐπιτηδείων. (3) Οὗτος δὲ καὶ Ἀρχέλαος συμμίξαντες τὰ στρατεύματα ὑπὲρ τὰς ἓξ μυριάδας τὸ πλῆθος ἦγον, καὶ στρατοπεδεύονται κατὰ τὴν Φωκίδα χώραν, ὑπαντιάσαντες τῷ Σύλλᾳ. Ὁ δὲ καὶ Λούκιον Ὁρτήνσιον ὑπὲρ τὰς ἓξ χιλιάδας ἄγοντα ἐξ Ἰταλίας συμπαραλαβὼν, ἀπὸ συχνοῦ διαστήματος ἀντεστρατοπεδεύετο. Ἐπὶ σιτολογίαν δὲ παρὰ τὸ πρέπον τῶν περὶ Ἀρχέλαον τραπέντων, ἀπροόπτως Σύλλας ἐπιτίθεται τῷ τῶν πολεμίων στρατοπέδῳ, καὶ τοὺς μὲν εὐρώστους τῶν ἁλόντων αὐτίκα κτείνει, ἐξ ὧν δὲ φόβον ἐπιθέσεως οὐκ εἶχε, τούτους περιίστησι τῷ χωρίῳ καὶ πυρὰ κελεύει καίειν, ὡς τοὺς ἀπὸ τῆς σιτολογίας ἀφικνουμένους δέχοιντο μηδεμίαν ὑπόνοιαν παρεχόμενοι τοῦ πάθους· καὶ συνέβη ὡς ἐστρατηγήθη, καὶ λαμπρὰν τὴν νίκην ἔσχον οἱ περὶ τὸν Σύλλαν.

XXXIII. Χίους δὲ ὡς Ῥοδίοις συμμαχήσαντας αἰτιασάμενος ὁ Μιθριδάτης, κατ' αὐτῶν Δορύλαον ἐκπέμπει, ὃς, εἰ καὶ πολλῷ πόνῳ, τὴν πόλιν κατέσχε,

in amicitia Romanorum perdurantibus. Ideoque terra marique bellum contra ipsos movit Mithridates: Rhodii tamen superiores erant, adeo ut commisso prœlio navali haud multum abesset quin ipse Mithridates caperetur. (4) Post hæc ubi intellexit Mithridates, cives Romanos per urbes Asiæ dispersos consiliis suis impedimento esse, ad omnes civitates scripsit, ut uno die universos apud se Romanos occiderent. Et pleræque dicto ejus audientes cædem tantam patrarunt, ut uno eodemque die octoginta millia gladio mortem oppeterent.

XXXII. Ubi vero Eretria et Chalcis adeoque tota Eubœa ad Mithridatem sese applicarant, aliæque ad eum civitates transiverant, victis etiam Lacedæmoniis, Syllam cum justo agmine Romani emittunt: cujus adventu civitates partim sponte deditionem faciunt, partim vi in potestatem ei veniunt. Nec exiguas Ponticorum copias fundit et fugat. Athenas etiam cepit: et solo urbs æquata esset, nisi ocius senatus Romanus Syllæ propositum infregisset. (2) Post crebros autem conflictus, in quibus prævalebant Pontici, quum felici jam successu res commutarentur, alimoniæ inopia regiis incubuit, quod prodige victu abuterentur et acquisita recte dispensare nescirent. Et in extremam deventum esset calamitatem, nisi Taxiles, capta Amphipoli, ideoque Macedonia ad ipsum deficiente, largam cibariorum facultatem inde subministrasset. (3) Hic et Archelaus, commistis agminibus, plus quam sexaginta millia hominum sub signis ducebant, et occursuri Syllæ in Phocide habebant stativa. Ille vero L. Hortensio adsumpto, qui sexies mille ex Italia adduxerat, satis longum in medio intervallum relinquens, castra ponit. Archelai autem militibus incomposite ad frumentandum conversis improviso adortus castra, quotquot robore pollentes cepit Sylla, statim occidit: a quibus autem nullus invadendi metus erat, hos loco circumdatos ignes accendere jubet, ut a pabulatione revertentes opperiantur, nulla adversi casus suspicione præbita. Hoc ut prudenter ab imperatore provisum erat, feliciter exivit: magnificaque victoria potiuntur Syllani.

XXXIII. Chios tunc incusans Mithridates, quod Rhodiis auxilia misissent, Dorylai opera impugnat: qui multo licet labore et urbem cepit, et agros Ponticis divisit, et cives

---

εἰ καὶ] « Aut excidit aliquid, aut legendum ἐν ᾧ (sc. πολέμῳ). » *Orelli*. Nihil movendum; cf. εἰ καὶ cap. 35, 3. — μυριάδας ὀκτὼ] « Interfecta sunt 150,000, auctore Plutarcho in Sylla c. 48. Cum nostro facit Valerius Max. IX, 2, 3. Cf. Freinshem. ad Flor. III, 5 et Reimar. ad Dion. Cass. tom. 1, p. 46. » *Orelli*.

XXXII. 1. εἰ μὴ ἡ σύγκλητος κ. τ. λ.] De his nihil ap. Plutarch. in Sylla, et Pausan. I, 20, neque ap. Appianum. — 2. κτηθέντα] alii lib. κτισθέντα. — 3. στρατεύματα] A; στράτευμα vulg. — Λούκιον Ὁρτήνσιον] corr. Scaliger., libri λουκίνσιον ὀρτίνσιον vel λουβίσιον ὀρτίσιον. — χιλιάδας] A., μυριάδας vulg.

XXXIII. 1. Χίους] cf. Appian. l. l. c. 45 sqq.

καὶ τὴν μὲν χώραν κατένειμε τοῖς Ποντικοῖς, τοὺς δὲ πολίτας πλοίοις ἐμβαλὼν, διέφερεν ἐπὶ τὸν Πόντον. (2) Ἡρακλεῶται δὲ, ἐπεὶ φιλία αὐτοῖς πρὸς Χίους ἦν, ἐν τῷ παράπλῳ τὰς Ποντικὰς νῆας, αἳ τοὺς αἰχμαλώτους ἦγον, ἐφορμήσαντες αὐταῖς οὐδ' ἀνθισταμέναις (οὐδὲ γὰρ ἐξήρκουν) κατῆγον ἐπὶ τὴν πόλιν. Καὶ παραυτίκα τὰ πρὸς τὴν χρείαν χορηγοῦντες ἀφθόνως τοῖς Χιώταις, τούτους ἀνελάμβανον, καὶ ὕστερον μεγαλοπρεπῶς δωρησάμενοι, ἐν τῇ πατρίδι ἀποκατέστησαν.

XXXIV. Ἡ δὲ σύγκλητος Φλάκκον Οὐαλέριον καὶ Φιμβρίαν πέμπει πολεμεῖν Μιθριδάτῃ, ἐπιτρέψασα καὶ Σύλλᾳ συλλαμβάνειν τοῦ πολέμου, ὅμοια φρονοῦντι τῇ συγκλήτῳ· εἰ δὲ μὴ, τὴν πρὸς αὐτὸν πρότερον συνάψαι μάχην. Οὗτος κατ' ἀρχὰς μὲν ποικίλαις ἐπάλαιε συμφοραῖς (λιμόν τε γὰρ καὶ τὰ ἀπὸ τῆς μάχης πταίσματα ἔσχε), κατώρθωσε μέντοι τὰ πλείω· διὰ δὲ Βυζαντίων ἐπὶ Βιθυνίαν διαβαλὼν, κἀκεῖθεν ἐπὶ Νίκαιαν, τῆς πορείας ἔστη. Ὡσαύτως δὲ καὶ Φιμβρίας ἅμα τοῖς σὺν αὐτῷ διεπεραιώθη. (2) Φλάκκου δὲ δυσχεραίνοντος, ὅτι Φιμβρίαν μᾶλλον, ἅτε δὴ φιλανθρώπως ἄρχοντα, τὸ πλῆθος [ἄρχειν] ἠγάπα, καὶ διαλοιδορουμένου αὐτῷ τε καὶ τῶν στρατιωτῶν τοῖς ἐπιφανεστέροις, δύο τῶν ἄλλων πλέον εἰς ὀργὴν ἐξαφθέντες ἀποσφάττουσιν αὐτόν. Ἐφ' οἷς ἡ σύγκλητος κατὰ Φιμβρίου ἠγανάκτησεν. Ὅμως οὖν τὴν ἀγανάκτησιν κρύπτουσα, ὑπατείαν αὐτῷ ψηφισθῆναι διεπράξατο. Ὁ δὲ πάσης γεγονὼς ἡγεμὼν τῆς δυνάμεως, τὰς μὲν ἑκούσας τὰς δὲ καὶ βιαζόμενος τῶν πόλεων προσήγετο. Ὁ δὲ τοῦ Μιθριδάτου υἱὸς, Ταξίλλην καὶ Διόφαντον καὶ Μένανδρον τοὺς ἀρίστους τῶν στρατηγῶν ἔχων μεθ' ἑαυτοῦ καὶ πολλὴν ἄγων δύναμιν, τῷ Φιμβρίᾳ ὑπηντίαζε. (3) Τὰ μὲν οὖν πρῶτα τὸ ἐπικρατέστερον οἱ βάρβαροι ἔφερον· Φιμβρίας δὲ ἀνασώσασθαι στρατηγήματι τὰς ἐκ παρατάξεως ἐλαττώσεις διανοούμενος (τὸ γὰρ πολέμιον ὑπερεῖχε πλήθει), ὡς ἐπί τινα ποταμὸν τῶν μαχομένων ἑκατέρα δύναμις ἧκε, καὶ μέσον ἀμφοῖν τοῦτον ἐποιήσαντο, ὄμβρου περὶ τὸν ὄρθρον ῥαγέντος, ἀπροσδόκητος ὁ τῶν Ῥωμαίων στρατηγὸς διαβαίνει τὸν ποταμὸν, καὶ ὕπνῳ τῶν πολεμίων ἐν ταῖς σκηναῖς κατεχομένων ἐπιπεσὼν μηδ' αἰσθανομένους κατέκτεινεν, ὀλίγων τῶν ἐν ἡγεμονίαις διαπεφευγότων τὸν ὄλεθρον καὶ τῶν ἱππέων. Μεθ' ὧν καὶ Μιθριδάτης ὁ Μιθριδάτου, καὶ πρὸς τὸ Πέργαμον πρὸς τὸν πατέρα Μιθριδάτην ἅμα τοῖς συνεπισπασαμένοις διασώζεται. Οὕτω δὲ βαρείας τῆς συμφορᾶς καὶ λαμπρᾶς τοῖς βασιλικοῖς συμπεσούσης, αἱ πλεῖσται τῶν πόλεων πρὸς τοὺς Ῥωμαίους μετέθεντο.

XXXV. Μαρίου δὲ ἀπὸ τῆς φυγῆς ἀνασωθέντος εἰς τὴν Ῥώμην, Σύλλας δεδιὼς (τῶν ἀντιστασιωτῶν γὰρ

navigiis impositos in Pontum distulit. (2) At Heraclienses, quod amicitia ipsis cum Chiis intercessit, Ponticas in transitu naves, quæ captivos vehebant, adorti, ne resistentes quidem (non enim sat virium erat) in urbem deduxere. Et tunc quidem large rebus necessariis suppeditatis reficiunt Chios, postmodum vero eximiis affectos muneribus in patriam restituunt.

XXXIV. Sub ea Romæ senatus Valerio Flacco et Fimbriæ bellum Mithridaticum committit, cum mandatis, ut Syllam, si partes senatus tueatur, adjuvent: sin minus, cum ipso prius manus conserant. Ille igitur cum variis initio colluctabatur sortis adversæ casibus: nam et famem et Martis iniquitatem sustinuit; in plerisque tamen prospere fortunæ successu usus. Perque Byzantiorum fines in Bithyniam progressus, et inde Nicæam versus stativa habuit. (2) At Flaccum, dum indigne fert, ab exercitu Fimbriæ plus faveri, imperiumque ejus, utpote mitius et humanius, præferri, ideoque et ipsum et militum nobiliores criminatur, duo præ aliis ira inflammati trucidant. Quo nomine senatus Fimbriæ irasci quidem, sed tamen dissimulata indignatione consulatum ei decernendum curare. Hic ergo omnes sub imperio copias habens, civitates, alias voluntate ipsarum, alias vi sibi adjunxit. Mithridatis autem filius, cum Taxile et Diophanto et Menandro, ducum præstantissimis, conjunctus, et magno agmine instructus, Fimbriæ occursat. (3) Et primo barbarorum vires præcellunt; quare detrimenta in conflictu accepta strategemate resarcire cogitans Fimbria (hostis enim numero militum superior erat), quum ad flumen quoddam perventum esset, quod utrumque exercitum divideret, imbre sub auroram forte effuso, ex improviso Romanus imperator fluvium transgressus, hostes in tentoriis somno gravatos ita oppressit, ut ne sentirent quidem: et magna strage edita, præfectorum non multi et equites necem effugerunt. Inter quos etiam Mithridates, regis filius, Pergamum ad patrem, una cum iis qui simul fuga emerserant, salvus evasit. Tam gravis igitur et insignis clades ubi regiis accidit, plurimæ civitates ad Romanos desciverunt.

XXXV. Interea Mario e fuga Romam reverso, metuens Sylla (nam de inimicorum ejus factione ille erat) ne si-

XXXIV. 1. τοῦ πολέμου] em. Schæfer.; libri τῷ πολέμῳ. — τῇ συγκλήτῳ] Hæc abundant. *Scaliger.* — τὴν πρὸς αὐτόν] τὴν abundat. *Scalig.* — 2. Φλ. δυσχεραίνοντος] Cf. Appian l. l. c. 51 sq. — ἄρχειν] abundat; pro glossemate habet Orelli; uncis inclusit Bekker. — 3. ἀνασώσασθαι] A., ἀνασῶσαι vulg. — τὸν ὄρθρον] τὸν omittit cod. A. — ἀπροσδόκητος] A. ἀπροσδοκήτως vulg. — συνεπισπασαμένοις] cod. Margunius; συνεξιππασαμένοις ceteri.

ἦν ἐκεῖνος), μὴ τῇ ὁμοίᾳ φυγῇ τὴν εἰς αὐτὸν ὕβριν ἀποτίσῃ, πρὸς Μιθριδάτην διεπρεσβεύετο, συμβάσεις αὐτῷ τὰς πρὸς Ῥωμαίους ὑποβαλλόμενος. Τοῦ δὲ καὶ ταῖς συμβάσεσιν ἀσμενίσαντος, ἀφικέσθαι τε ἐπὶ ταύταις αἰτήσαντος, αὐτὸς προθύμως ἐστέλλετο. (2) Οὕτω γοῦν τῶν ἀναμεταξὺ ἀλλήλων προεληλυθότων, Δάρδανον αὐτοὺς ἐπὶ ταῖς συνθήκαις ὑποδέχεται, καὶ τῶν περὶ αὐτοὺς ὑποχωρησάντων, ὁμολογίαι γίνονται, Μιθριδάτην μὲν Ῥωμαίοις ἐκχωρεῖν τῆς Ἀσίας, καὶ Βιθυνῶν δὲ καὶ Καππαδοκίας ἄρχειν τοὺς ἐκ γένους βασιλέας· βεβαιωθῆναι δὲ Μιθριδάτῃ τοῦ Πόντου παντὸς τὴν βασιλείαν, παρασχεῖν δὲ ἰδίως Σύλλᾳ τριήρεις π′ καὶ τάλαντα τρισχίλια πρὸς τὴν ἰδίαν ἐπὶ τὴν Ῥώμην κάθοδον· καὶ Ῥωμαίους μηδὲν ταῖς πόλεσι μνησικακῆσαι, ἀνθ' ὧν μετέβαλλον εἰς Μιθριδάτην· (3) εἰ καὶ μὴ κατὰ τὰς ὁμολογίας τοῦτο συνέβη· πολλὰς γὰρ ὕστερον τῶν πόλεων ἐδουλώσαντο. Σύλλας μὲν οὖν οὕτω λαμπρῶς εἰς τὴν Ἰταλίαν ἀφίκετο, καὶ Μάριος αὖθις τῆς πόλεως ὑπεχώρησε, καὶ Μιθριδάτης ἀνέστρεψεν οἴκαδε, πολλὰ τῶν διὰ τὴν ἐν ᾗ κατηνέχθη συμφορὰν ἀποστάντων ἐθνῶν ἐξ ὑπαρχῆς χειρωσάμενος.

XXXVI. Παρὰ τῆς συγκλήτου δὲ Μουρήνας ἡγεμὼν πέμπεται, καὶ Μιθριδάτης διαπρεσβεύεται πρὸς αὐτὸν, τὰς περὶ Σύλλαν ὁμολογίας ἅμα τε προτείνων καὶ βεβαίους ἀξιῶν εἶναι. Ὁ δὲ μὴ θέμενος τῇ πρεσβείᾳ (καὶ γὰρ καὶ οἱ πρέσβεις, Ἕλληνες ὄντες καὶ τὸν βίον φιλόσοφοι, τὸν Μιθριδάτην μᾶλλον διέσυρον ἢ συνίστων) ὥρμητο ἐπὶ τὸν Μιθριδάτην· καὶ τῷ τε Καππαδοκίας Ἀριοβαρζάνῃ τὴν ἀρχὴν βεβαιοτέραν ἐποίει, καὶ ἐπὶ ταῖς εἰσβολαῖς τῆς Μιθριδάτου βασιλείας κτίζει πόλιν Ἐχίνειαν. (2) Ἐν τούτοις δ' ὅ τε Μουρήνας καὶ ὁ Μιθριδάτης διαπρεσβεύονται πρὸς Ἡρακλεώτας, ἀνὰ μέρος ἑκάτερος κατὰ τοῦ ἑτέρου καλῶν ἐπὶ συμμαχίᾳ. Τῶν μὲν οὖν Ῥωμαίων τὴν ἰσχὺν φοβερὰν ἡγοῦντο, ὠρρώδουν δὲ καὶ τὴν γειτνίασιν τοῦ Μιθριδάτου. Διὸ ἀποκρίνονται τοῖς παρ' αὐτῶν πρέσβεσιν, ὡς τοσούτων πολέμων ἀναρραγέντων μόλις ἂν τὴν ἰδίαν τηρεῖν δύνασθαι, μήτι γε ἑτέροις ἐπικουρεῖν. (3) Ἀλλὰ γὰρ Μουρήνᾳ μὲν συνεβούλευον οὐκ ὀλίγοι πρὸς τὴν Σινώπην ὁρμᾶν, καὶ περὶ τοῦ βασιλείου κινεῖν τὸν πόλεμον, ὡς, εἰ ταύτην ἕλοι, τῶν λοιπῶν κρατήσει ῥᾳδίως. Ὁ δὲ Μιθριδάτης πολλῇ δυνάμει κατασφαλισάμενος ταύτης εἰς αὐτοπρόσωπον πόλεμον καθειστήκει. Καὶ πείραις μὲν ταῖς κατ' ἀρχὰς ἐπικρατέστερα ἦν τὰ τοῦ βασιλέως, εἶτα εἰς ἀγχώμαλον ἡ μάχη συνεστράφη, καὶ

mile, propter injurias in illum, sibi exilium irrogaretur, missa legatione de pace cum Romanis consilia Mithridati suggessit. Quo pacem cupide amplexo, et rogante, ut ad paciscendum convenirent, ille prompte se dat in viam. (2) Quumque per aliquod in medio spatium alter in alterius occursum processissent, Dardanum ad transigendum illis hospitium dedit. Ibi, jussis secedere ministris et comitibus, pacta fiunt in hunc modum: « Mithridates Romanis Asia concedat, Bithynis et Cappadocibus reges præsint gentiles, Mithridati totius Ponti regnum sit confirmatum; peculiariter vero Syllæ expediat triremes octoginta et tria millia talentûm, ad reditum, quem ipse Romam instituisset; civitatibus apud Romanos haud sit noxæ, quod ad Mithridatem defecerint. » (3) Quamquam hoc juxta pacis formulam non habuit eventum; nam multas postea servili jugo oppresserunt. Honorifice dehinc Sylla in Italiam remeat, Mariusque denuo urbe excedit: et Mithridates ad sua se refert; multasque denuo gentes, quæ propter adversam ejus fortunam desciverant, sub manum redegit.

XXXVI. Post hæc Murena a senatu bello præficitur. Ad quem legatos amandat Mithridates, pacis cum Sylla initæ leges prætexens, et, ut ratæ sint firmæque, contendens. At is legationi non subscribens, (erant enim natione Græci et vitæ genere philosophi, qui plus culparent Mithridatem quam commendarent), in regem movit, et Ariobarzani regnum Cappadociæ magis confirmat: et circa ingressum regni Mithridatici urbem condit Ecineam. (2) Inter hæc Murena et Mithridates pro se quisque contra alterum Heraclienses de auxiliis sollicitant. Sed quum potentia Romanorum formidabilis videretur ipsis, et Mithridatis vicinitatem etiam timerent, legatis respondent: in tanta bellorum tempestate difficulter proprios se lares tueri, nedum aliis auxiliari posse. (3) Murenæ tamen non pauci dant consilium, ut Sinopen invadens de regia ipsa bellum moveat: si enim hanc ceperit, facile etiam cetera in potestatem ventura. At Mithridates, validis hac præsidiis communita, ipse bello gerendo incumbit. Interque initia, ubi ad manus ventum erat, regii viribus præpollent; postea fortunæ pugnæ exæ-

XXXV. 1. ἀποτίσῃ] Scaliger; ἀπαιτήσῃ libri. — ὑποβαλλόμενος] « Non suggestum a Sylla Mithridati colloquium de pace, sed ab ipso Mithridate per Archelaum legatum enixe efflagitatum, testatur Appianus, quem vide c. 54-58 » *Orelli*. — 2. τῶν ἀναμεταξὺ] Num πρὸς τὰ ἀναμεταξὺ? — καὶ Βιθυνῶν] καὶ abundat. *Scaliger*. — κατενέχθη] A. κατενέχθησαν cett.

XXXVI. 1. ἅμα τε] A; ἅ τε cett. — ὁ δὲ μὴ θέμενος τῇ πρ.] V. Appian. c 64. — καὶ γὰρ καὶ οἱ πρέσβεις etc.] « Auctore Appiano l. l. non legati, sed Archelaus, cui proditionis suspecto insidiatus fuerat Mithridates, ad Murenam confugiens ipsum adversus regem irritavit. » *Orelli*. — Ἐχίνειαν] urbs aliunde non nota; nomen forte corruptum; cod. Marg. Ἐχίνειναν. — 2. καλῶν ἐπὶ συμμαχ.] sic ed. Bekk, vulg. κ. καὶ ἐπὶ σ. Stephanus vocem καλῶν tamquam glossema expunxit, retinens καί.

εἰς ὄκνον ἡ μάχη τὸ πρόθυμον περιέστησε τῶν πολεμίων. Διὸ καὶ Μιθριδάτης μὲν εἰς τὰ περὶ τὸν Φᾶσιν καὶ τὸν Καύκασον ἐτράπετο, Μουρήνας δὲ ἀπῆρεν εἰς τὴν Ἀσίαν, καὶ τὰ οἰκεῖα ἕκαστος διετίθει.

XXXVII. Μετ' οὐ πολὺν δὲ χρόνον Σύλλας ἐν Ῥώμῃ τελευτᾷ· καὶ πέμπουσιν ἡ σύγκλητος ἐπὶ μὲν τὴν Βιθυνίαν Αὐρήλιον Κότταν, ἐπὶ δὲ τὴν Ἀσίαν Λεύκιον Λεύκολλον, οἷς ἡ ἐντολὴ πολεμεῖν Μιθριδάτῃ. Μιθριδάτης δὲ ἄλλον τε στρατὸν συχνὸν παρεσκευάζετο, καὶ τριήρεις μὲν υ', τῶν δὲ μικροτέρων νηῶν πεντηκοντέρων τε καὶ κερκούρων ἀριθμὸς ἦν οὐκ ὀλίγος. Διοφάντῳ δὲ τῷ Μιθάρου δύναμιν δοὺς, πέμπει πρὸς τὴν Καππαδοκίαν, φρουρὰς ταῖς πόλεσιν ἐγκαθιστάναι· εἰ δὲ Λεύκολλος εἰς τὸν Πόντον ἀφίκοιτο, ὑπαντιάζειν καὶ τῆς πρόσω πορείας ἀπείργειν. (2) Αὐτὸς δὲ μεθ' ἑαυτοῦ πεζὸν μὲν στρατὸν ἦγε πεντεκαίδεκα μυριάδας, ἱππεῖς δὲ δισχιλίους ἐπὶ τοῖς μυρίοις· ἅρματά τε δρεπανηφόρα συνεπῆγεν κ' καὶ ρ', καὶ πᾶσαν ἄλλην μηχανοποιὸν οὐκ ἐνδέουσαν πληθύν. Ἠπείγετο δὲ διὰ τῆς Τιμωνιτίδος Παφλαγονίας εἰς τὴν Γαλατίαν, καὶ ἐναταῖος εἰς τὴν Βιθυνίαν ἀφικνεῖται. Λεύκολλος δὲ Κότταν μὲν ἐφορμεῖν κελεύει τῷ Καλχηδονίων λιμένι παντὶ τῷ ναυτικῷ.

XXXVIII. Τὸ δὲ Μιθριδάτου ναυτικὸν παραπλέον τὴν Ἡράκλειαν, παρ' αὐτῆς οὐκ ἐδέχθη, ἀλλ' ἀγορὰν μὲν αἰτησαμένων παρέσχον· οἷα δὲ εἰκὸς, ἐπιμιξίας γενομένης, Ἀρχέλαος ὁ τοῦ ναυτικοῦ στρατηγὸς συνέλαβε Σιλῆνον καὶ Σάτυρον ἐπιφανεῖς τῆς Ἡρακλείας ἄνδρας, καὶ οὐκ ἀνῆκεν ἕως ἂν ἔπεισε λαβεῖν πέντε τριήρεις συμμαχίδας εἰς τὸν κατὰ τῶν Ῥωμαίων πόλεμον. (2) Καὶ ἀπὸ ταύτης τῆς πράξεως (ὅπερ καὶ Ἀρχέλαος ἐμηχανᾶτο) τὴν Ῥωμαίων ἀπέχθειαν ὁ Ἡρακλεώτης δῆμος ἐκτήσατο. Δημοσιωνίας δὲ τῶν Ῥωμαίων ἐν ταῖς ἄλλαις πόλεσι καθιστώντων, καὶ τὴν Ἡράκλειαν διὰ τὴν εἰρημένην αἰτίαν ταύταις ὑπέβαλλον. (3) Οἱ δὲ, δημοσιῶναι πρὸς τὴν πόλιν ἀφικόμενοι, παρὰ τὰ ἔθη τῆς πολιτείας καὶ ἀργύριόν ἀπαιτοῦντες τοὺς πολίτας ἐλύπουν, ἀρχήν τινα δουλείας τοῦτο νομίζοντας. Οἱ δὲ, διαπρεσβεύσασθαι δέον πρὸς τὴν σύγκλητον ὥστε δημοσιωνίας ἀπολυθῆναι, ἀναπεισθέντες ὑπό τινος θρασυτάτου τῶν ἐν τῇ πόλει τοὺς τελώνας ἀφανεῖς ἐποίησαν, ὡς καὶ τὸν θάνατον αὐτῶν ἀγνοεῖσθαι.

XXXIX. Πολέμου δὲ ναυτικοῦ κατὰ Καλχηδόνα πόλιν Ῥωμαίοις τε καὶ Ποντικοῖς συστάντος, καὶ πεζῆς δὲ δυνάμεως τῆς τε βασιλικῆς καὶ τῆς Ῥωμαϊκῆς εἰς μάχην ἀλλήλαις συρραγείσης (ἐστρατήγει δὲ τῆς μὲν Κόττας, τῆς δὲ Μιθριδάτης), τρέπουσιν οἱ Βαστέρναι κατὰ τὸ πεζὸν τοὺς Ἰταλοὺς, καὶ πολὺν αὐτῶν φόνον εἰργάσαντο. (2) Τὰ αὐτὰ δὲ καὶ περὶ τὰς ναῦς ἐγένετο, καὶ ὑπὸ μίαν ἡμέραν γῇ τε καὶ θαλάσσῃ

quantur, tandem prœliandi tædium hostibus alacritatem animi deminuit. Ideo ad interiora circa Phasin et Caucasum se convertit Mithridates, Murena vero copias in Asiam traducit, et sua tum quisque administrat.

XXXVII. Nec longe post Sylla Romæ e vivis migrat, et senatus in Bithyniam mittit Aurelium Cottam, in Asiam vero L. Lucullum, cum mandatis ut bellum Mithridati facessant. At Mithridates, quum alium in procinctu habens exercitum frequentissimum, tum triremes quadringentas, naviumque minorum, quas penteconteres et cercuros vocitant, non exiguum numerum, Diophantum Mitharæ filium cum valida manu in Cappadociam dimittit, ut præsidia in urbibus collocaret et, si Lucullus Pontum ingrediatur, occurrat, et progressum ejus intercludat. (2) Ipse vero centum et quinquaginta millia peditum sub vexillis apud se retinet, et duodecim millia equitum, quos falcati sequuntur currus centum viginti, nec ulla machinarum omnis generis copia abest. Concitato igitur itinere per Timonitidem Cappadociam in Galatiam pergens, ad diem nonum Bithyniam attingit. Lucullus interim Cottam in Chalcedoniorum portu stationem habere jubet cum omni classe.

XXXVIII. Mithridatis autem classis Heracleam prætérlegens ab ea non recipitur, forum tamen venale rogantibus præbent: tum commerciis, ut fieri solet, initis, Archelaus, copiarum navalium ductor, Silenum et Satyrum, nobiles ex Heraclea viros, comprehendit, nec prius dimisit, quam persuasisset, ut quinque triremibus ipsum in hoc cum Romanis bello adjuvarent. (2) Hoc facto (quod ipsum Archelaus veteratorie molitus erat) Romanorum inimicitiam populus Heracliensis sibi conciliavit. Quum igitur locationes publicorum redituum Romani in aliis civitatibus instituerent, Heracleam quoque propter causam ante dictam, his exposuerunt. (3) Publicani igitur urbem ingressi, quum contra reipublicæ morem argentum exigerent, in mœrorem cives conjecerunt, qui servitutis initium hoc esse existimabant. Quare quum per legationem ad senatum Romanum locationem vectigalium deprecari res postularet, ipsi a quodam in urbe audacissimo persuasi, publicanos e medio tollunt, tam secreto, ut de nece illorum nemini quidquam constaret.

XXXIX. Prœlio dehinc navali ad Chalcedonem inter Romanos et Ponticos commisso, dum regis et Romanorum pedestres inter se confligunt acies (quarum huic Cotta, illi Mithridates præerat), Basternæ Italorum pedites in fugam vertunt, et magnam edunt stragem. (2) Eadem fortuna etiam classis usa est: unoque die mare et terra cadaveribus

XXXVII. 1. πεντηκοντέρων] Bekker.; πεντηκοντήρων libri. — Μιθάρου] Libri Μιθάρῳ; legendum Μιθάρου vel Μιθάρεω. *Scaliger*. Diophantum ducem non novit Appianus. — πεζὸν δὲ στρατὸν, etc.] 140,000 pedites, 16,000 equites, sec. Appian. c. 69.

* τοῖς Ῥωμαίων διελελύμαστο σώμασι, διαφθαρέντων ἐν μὲν τῇ ναυμαχίᾳ ὀκτακισχιλίων, τετρακισχιλίων δὲ καὶ πεντακοσίων ἑαλωκότων· τοῦ δὲ πεζοῦ στρατεύματος Ἰταλοὶ μὲν τριακόσιοι καὶ πεντακισχίλιοι, τῶν δὲ Μιθριδατείων Βαστέρναι μὲν περὶ τριάκοντα, τοῦ δὲ λοιποῦ πλήθους ἑπτακόσιοι. (3) Οὕτως ἀρθέντα τὰ Μιθριδάτεια πάντων τὸ φρόνημα κατεδούλου. Λεύκολλος δὲ ἐπὶ τοῦ Σαγγαρίου ποταμοῦ στρατοπεδεύων, καὶ μαθὼν τὸ πάθος, λόγοις ἀνελάμβανεν ἀθυμήσαντας τοὺς στρατιώτας.

XL. Τρεπομένου δὲ ἐπὶ Κύζικον σὺν μεγάλῳ φρονήματι Μιθριδάτου, καὶ πολιορκεῖν τὴν πόλιν βουλομένου, Λεύκολλος ἐπακολουθήσας καὶ συμβαλὼν πολέμῳ νικᾷ τοὺς Ποντικοὺς ἀνὰ κράτος, βραχεῖ μὲν πλείους μυριάδος ἀνελὼν, τρισχιλίους δὲ καὶ μυρίους λαβὼν αἰχμαλώτους. Τὸ δὲ Φιμβριανῶν στράτευμα ὑπόπτως ἔχον, ὡς διὰ τὸ περὶ Φλάκκον τόλμημα οὐκ ἂν αὐτοὺς ἔτι νομίσειαν οἱ ἡγεμόνες εὔνους, ἔπεμπον κρύφα πρὸς Μιθριδάτην αὐτομολίαν ὑπισχνούμενοι. (2) Ὁ δὲ ἕρμαιον τὴν πρόσκλισιν ἡγησάμενος, ὡς νὺξ ἐπέλαβεν, Ἀρχέλαον πέμπει βεβαιῶσαί τε τὰς ὁμολογίας καὶ τοὺς προσχωρήσαντας ἄγειν. Οἱ δὲ Φιμβριανοὶ, ἐπεὶ τούτοις Ἀρχέλαος παρεγένετο, αὐτὸν μὲν συνέλαβον, τοὺς δὲ σὺν αὐτῷ διεχειρίσαντο. (3) Ἐπὶ τούτῳ τῷ τοῦ βασιλέως ἀτυχήματι καὶ λιμὸς ἐπιπίπτει αὐτοῦ τῇ στρατιᾷ, καὶ πολλοὺς ἀπώλλυε. Πλὴν οὕτω πολλοῖς παθήμασι κάμνων, Κυζίκου τῆς πολιορκίας τέως οὐκ ἀφίστατο· μετ' ὀλίγον δὲ πολλὰ καὶ παθὼν καὶ πράξας, ὅμως ἀνάλωτον λιπὼν τὴν πόλιν ἀνεχώρησε, τοῦ μὲν πεζοῦ Ἑρμαῖον καὶ Μάριον ἡγεῖσθαι καταστησάμενος, στρατὸν ὑπὲρ τρισμυρίους ἄγοντας, αὐτὸς δὲ διὰ θαλάσσης ποιούμενος τὴν ἀνάζευξιν. (4) Ἐπιβαίνοντος δὲ αὐτοῦ τῶν τριήρων, πολλαὶ παθῶν ἰδέαι συνέπιπτον· οἱ γὰρ ἐμβαίνειν μέλλοντες εἰς αὐτὰς, τὰς μὲν ἤδη πεπληρωμένας τὰς δὲ καὶ μελλούσας κατεῖχον ἐξαρτώμενοι· καὶ παρὰ τὸ πλῆθος τῶν τοῦτο δρώντων αἱ μὲν κατεδύοντο αἱ δὲ περιετρέποντο. (5) Τοῦτο Κυζικηνοὶ θεασάμενοι ὥρμησαν ἐπὶ τὰ τῶν Ποντικῶν στρατόπεδα, καὶ τοὺς ὑπολειφθέντας χαματηροὺς διαφθείροντες, εἴ τι παρῆν ὑπολελειμμένον τῷ στρατοπέδῳ, διήρπαζον. Λεύκολλος δὲ διώξας ἐπὶ τὸν Αἴσηπον ποταμὸν τὸ πεζὸν ἀπροσδόκητος καταλαμβάνει, καὶ φόνον πολὺν τῶν πολεμίων ποιεῖται. Μιθριδάτης δὲ ἀναλαβὼν ἑαυτὸν ὡς ἠδύνατο, Πείρινθον ἐπολιόρκει, ταύτης δὲ διαμαρτὼν, ἐπὶ Βιθυνίαν διαπεραιοῦται.

Romanis fœde oppletur, octo millibus in conflictu navali occisis, quattuor millibus et quingentis captis: de pedestri exercitu Italorum quinque millia et trecenti; a parte autem Mithridatis Basternæ circiter triginta, septingenti ex reliqua multitudine ceciderunt. (3) Hoc Mithridatis successu omnium animi servilem in modum concidere. Sed Lucullus ad Sangarium flumen castra habens, cognita ea clade, perculsos militum animos verbis erexit.

XL. Ubi vero magno se spiritu ad Cyzicum Mithridates convertit, copias urbi admovere cupiens, incumbit a tergo Lucullus, et infesta signa inferens, summa vi Ponticos profligat. Aliquanto enim plures decem millibus in acie cædit, et tredecim millia capit. Fimbrianus autem miles suspectos habens duces, quasi propter audacissimum in Flaccum facinus non amplius fidem ipsis habeant, tacite ad Mithridatem missitando, transitionem pollicentur. (2) Qui in lucro ponens hanc ad se inclinationem, nocte oborta, Archelaum amandat, qui pacta confirmet, et ad partes regis se adjungentes adducat. At Fimbriani Archelaum ad ipsos profectum in vincula compingunt, et quæ cum eo venerat, manum conficiunt. (3) Post hoc regis infortunium etiam fames opprimit exercitum, et multis interitum affert. Tot tamen adversis ictus casibus, a Cyzici obsidione non absistit: sed brevi, licet multa perpessus esset et egisset, urbe non expugnata, recessit: et pedestri quidem agmini Hermæum et Marium præficit, qui triginta hominum millia ducebat; ipse autem per mare reditum instituit. (4) Ingressoque triremes multæ variæque malorum formæ ei simul ingruerunt. Nam dum milites soluturi naves, quarum aliæ jam repletæ, aliæ mox replendæ essent, confertim occupant, et undique illis adhærent, factum est ut præ multitudine imminentium pars navium deprimeretur, pars etiam subverteretur. (5) Quod conspicati Cyziceni, impetu in castra Ponticorum facto, ægros ibi relictos trucidant, et si quid supererat, diripiunt. At Lucullus, peditum agmen a tergo premens, apud Æsepum flumen assequitur de improviso, magnamque hostium cædem peragit. Mithridates interim, collectis prouti licuit in Ponto viribus, Perinthum circumsidet et oppugnat, eaque non potitus in Bithyniam transmittit.

XXXIX. 2. γῇ τε καὶ θαλάσσῃ] « Aut post θαλάσσῃ excidit πάντα, aut legendum γῇ τε καὶ θάλασσα etc. » *Orelli*. — τετρακισχιλίων δὲ] A. καὶ τετρ. vulg.

XL. 1. Λεύκολλος] cf. Appian. c. 72 sqq., Plutarch. Lucull. c. 7. — βραχεῖ] codd.; βραχύ vulg. — 2. πρόσκλισιν] Stephanus; libri πρόσκλησιν vel κλῆσιν. — ἐπέλαβεν] Schæfer.; libri ἐπέβαλεν. — 3. Ἑρμαῖον] Eundem, ut videtur, Appianus c. 76 dicit Hermocratem. — Μάριον] « Marii hujus, minime confundendi cum celeberimis illis Mariis, patre et filio, meminit Plutarchus in Lucullo c. 8 et Paul. Orosius Hist. VI, 2 (p. 373 ed. Havercamp.) : *Horum* (Fannii et Magii) *hortatu Mithridates cum Sertorio, per legatos in Hispaniam missos, fœdus pepigit : Sertorius ad eum M. Marium firmandi fœderis causa misit. Quem rex apud se retentum brevi ducem fecit in locum Archelai, qui se ad Syllam cum uxore liberisque contulerat. Marius et Eumachus duces a Mithridate adversus Lucullum missi, magno exercitu brevi congregato, cum P. Rutilio apud Chalcedona congressi sunt, eumque cum plurima exer-*

XLI. Ἐπεὶ δὲ καὶ Βάρϐας συχνοὺς Ἰταλῶν ἐπάγων ἧκεν, καὶ μὴν καὶ Τριάριος ὁ Ῥωμαίων ἡγεμὼν ἀνασκευασάμενος τῇ Ἀπαμείᾳ πολιορκεῖν ἐπέστη, οἱ Ἀπαμεῖς ἀντισχόντες ὅσα ἠδύναντο, τέλος ἀνοίξαντες τὰς πύλας τούτους εἰσεδέξαντο. Εἷλον δὲ καὶ Προῦσαν τὴν πόλιν ἡ Ῥωμαίων δύναμις· ὑπὸ δὲ τὸν Ἀσιανὸν Ὄλυμπον διέκειτο αὕτη. (2) Ἐκεῖθεν ὁ Τριάριος ἐπὶ Προυσιάδα τὴν ἐπιθαλάσσιον μετὰ τῆς δυνάμεως παραγίνεται. Αὕτη δὲ Κίερος τὸ παλαιὸν ἐκαλεῖτο, ἐν ᾗ καὶ ἡ τῆς Ἀργοῦς ἄφιξις λέγεται καὶ ὁ τοῦ Ὕλα ἀφανισμὸς καὶ ἡ τοῦ Ἡρακλέους ἐπὶ τὴν τούτου ἀναζήτησιν πλάνη καὶ πολλὰ τοιαῦτα ἕτερα. Παραγεγονότα δὲ ῥᾳδίως οἱ Προυσαεῖς ἐδέξαντο, τοὺς Ποντικοὺς διωσάμενοι. (3) Ἐκεῖθεν ἐπὶ Νίκαιαν φρουρουμένην Μιθριδατείῳ φρουρᾷ παραγίνεται. Οἱ δὲ Ποντικοὶ τὸν νοῦν τῶν ἐν Νικαίᾳ συνιδόντες ἐπὶ Ῥωμαίους ἀποκλίνοντα, διὰ νυκτὸς πρὸς Μιθριδάτην εἰς Νικομήδειαν ἀνεχώρησαν, καὶ Ῥωμαῖοι ἀταλαιπώρως κρατοῦσι τῆς πόλεως. (4) Αὕτη δὲ ἡ πόλις ἡ Νίκαια τὴν μὲν κλῆσιν ἄγει ἀπὸ ναΐδος νύμφης, ὄνομα λαχούσης τὴν Νίκαιαν, ἔργον δὲ γέγονε Νικαέων τῶν μετὰ Ἀλεξάνδρου μὲν συστρατευσάντων, μετὰ δὲ τὸν ἐκείνου θάνατον κατὰ ζήτησιν πατρίδος ταύτην τε κτισάντων καὶ συνοικισαμένων. Ἡ μὲν οὖν ναῒς ἡ Νίκαια λέγεται φῦναι Σαγγαρίου τοῦ κατὰ τὴν χώραν δυνάστου καὶ Κυϐέλης· παρθενίαν δὲ μᾶλλον ἢ τὴν πρὸς ἄνδρα ποθοῦσα ὁμιλίαν, ἐν ὄρεσι καὶ θήραις τὸν βίον ἔσχε. (5) Ταύτην δὲ Διόνυσος μὲν ἤρα, ἐρῶν δὲ οὐκ ἐτύγχανε. Μὴ τυγχάνων δὲ μηχαναῖς τὸ λεῖπον τῇ γνώμῃ ἀναπληροῦν ἐπεχείρει. Πληροῖ τοίνυν τὴν κρήνην, ἀφ' ἧς εἴωθεν ἡ Νίκαια πίνειν, ἐπειδὰν ἀπὸ τῆς θήρας κοπωθείη, ἀντὶ τοῦ ὕδατος οἴνου. Ἡ δὲ μηδὲν συνειδυῖα καὶ τὸ εἰωθὸς ποιοῦσα ἐμφορεῖταί τε τοῦ ἐπιϐούλου νάματος, καὶ ὑπηρετεῖ καὶ ἄκουσα τῷ βουλήματι τοῦ ἐραστοῦ. Μέθης γὰρ αὐτὴν καὶ ὕπνου λαϐόντων, ὅ τε Διόνυσος αὐτῇ ἐπιμίγνυται καὶ παῖδας ἐξ αὐτῆς φύει Σάτυρόν τε καὶ ἑτέρους. (6) Οἱ δὲ Νικαεῖς, οἳ τὴν πόλιν ἤγειραν καὶ συνῴκισαν, Νίκαιαν εἶχον πατρίδα Φωκίδος γείτονα· πρὸς ἣν καὶ πολλάκις στασιάσαντες ὑπ' αὐτῆς ἐκείνης ὕστερον τὴν πατρίδα ἀφῃρέθησαν, καταστροφὴν ταύτης καὶ ἀφανισμὸν τῶν ἐν τῇ Φωκίδι πολλῇ σπουδῇ καταπραξαμένων. Ἀλλ' ἡ μὲν Νίκαια οὕτω τε τὴν κλῆσιν καὶ

XLI. Postquam vero Barba validam Italorum manum adducens venisset, et Triarius insuper Romanorum dux motis castris Apameam obsideret, cives, quum aliquandiu pro viribus suis hostes sustinuissent, apertis tandem portis eos intromisere. Prusam etiam urbem Romanus exercitus capit. Jacet hæc ad Olympum Asiæ montem. (2) Hinc Prusiadem mari impositam cum exercitu petit: Cierum (*Cium*) olim nominabant. Quo etiam Argonautas appulisse et ibidem evanuisse Hylam, et Herculem, dum requirit eum, circumvagatum, multaque id genus alia contigisse fama est. Ut urbi appropinquavit, facile Prusienses eum receperunt, Ponticis ejectis. (3) Inde Nicæam, quam præsidium Mithridatis tenebat, proficiscitur. Pontici autem, intellecto, Nicæenses animis ad Romanos propendere, noctu se ad Mithridatem Nicomediam subducunt. Romani igitur sine molestia urbem potestati suæ subjiciunt. (4) Hæc urbs nomen deducit a Naide quadam nympha, cui Nicææ nomen, et opus est Nicæensium, qui in Alexandri exercitu fuerunt, et post ejus interitum, dum patriam quærunt, hac urbe a se condita et frequentata, in civitatem coaluerunt. Nais autem illa Nicæa Sangario loci regulo et Cybele nata fertur. Quæ quum majore virginitatis desiderio, quam consuetudinis cum viro, teneretur, in montibus et venatibus vitam egit. (5) Bacchus quidem amat puellam; sed hæc amorem frustratur. Quando igitur voti compos alia ratione fieri nequit, fallaciis explere animi desiderium instituit. Nam fontem, ex quo Nicæa a venatione defessa bibere solebat, vino pro aqua replet. Eaque nihil suspicata, dum pro more suo bibit, fallacem intra se haurit liquorem, et sic quamlibet invita amantis cupiditati subservit. Mero enim et somno correptam Liber comprimit, et Satyrum ex ea liberosque alios suscipit. (6) Nicæenses autem, a quibus excitata est urbs et sedibus frequentata, primum patriam habuerant Nicæam Phocidi vicinam; sed, quod subinde rebellarent, Phocenses tandem patria eos expulerunt, et ut urbs eorum eversa deleretur, magno perfecerunt studio. Nicæa ergo hoc modo appellata

---

citus ipsius parte ceciderunt. Et fortassis Εὐμάχου nomen ab excerptore Memnonis vel potius librario corruptum fuit in Ἑρμαῖος. » Orelli. — 5. διήρπαζον] A. διέφθειρον celt — ἀπροσδόκητος] codd.; ἀπροσδοκήτως vulg.

XLI. 1. διέκειτο] Legend. ἔκειτο. *Schæfer*. — 2. Κίερος] debebat scribere Κίος; nam ad Cium pertinet Hylæ historia. Cf. Müller Min. p. 293. « Sed eo, Palmerius ait, quod Κίος et Κίερος duæ urbes unum aliud nomen acceperunt (cf. c. 27), et utraque Prusias postea dicta est, sæpissime erratum est in his vocibus. Memnonis errorem notat etiam Wesselingius ad Itinerar. Vet. p. 694. » Ceterum postea urbs vetus nomen recuperasse videtur; seculo duodecimo audit *Cibotos*. V. Hammer. *Gesch. der Osman*. I, p. 109. Cf. Clinton F. H. III, p. 415. — Προυσαεῖς] « Imo Προυσιεῖς, quod est patronymicum Prusiæ, quæ et Cius, de qua hic sermo. Προυσαεῖς autem Prusæ ad Olympum. Cf. Strabo et Stephanus. » *Valesius Emendat*. II, 2, p. 50. Ceterum ejusmodi grammaticorum distinctionibus haud multum tribuendum est. — 3. διὰ νυκτός] codd.; διὰ τῆς νυκτός vulg. — 4. γέγονε] ex conject. Stephani; γεγονὸς libri plurimi, γεγονὼς codex Stephani. — ναῒς ἡ Νίκαια] Eandem fabulam exponit Nonnus Dionys. lib. XV et XVI. — βίον ἔσχε] A.; βίον κατέσχε vulg. — 5. εἴωθεν] Malim εἰώθει *Schæfer*. — ποιοῦσα] ed. Stephani et codd.; πιοῦσα vulg. — Σάτυρον καὶ ἑτέρους] Τελετὴν puellam ex Nicæa Bacchum procreasse dicit Nonnus XVI extr. — 6. Νίκαιαν... Φωκίδι γείτονα] V. Steph. Byz. v. Νίκαια.

τὴν οἰκοδομὴν ἔσχε, καὶ οὕτω προσεχώρησε Ῥωμαίοις.

XLII. Μιθριδάτης δὲ ἐν τῇ Νικομηδείᾳ διέτριβε. Κόττας δὲ βουλόμενός τι τῶν προδιημαρτημένων ἀναλαβεῖν, ἧκεν ἀπὸ Χαλκηδόνος, ἐν ᾧ ἥττητο, πρὸς τὴν Νικομήδειαν, καὶ στρατοπεδεύει ν' καὶ ρ' σταδίων τῆς πόλεως ἄποθεν, τὴν συμβολὴν τῆς μάχης ὑπευλαβούμενος. Καταλαμβάνει δὲ Κότταν σπουδῇ πολλῇ αὐτόκλητος ὁ Τριάριος, καὶ Μιθριδάτου ὑποχωρήσαντος εἰς τὴν πόλιν, ἑκατέρωθεν ταύτην πολιορκεῖν τὸ Ῥωμαϊκὸν παρεσκευάζετο στράτευμα. (2) Ἐπεὶ δὲ ὁ βασιλεὺς ἐπυνθάνετο δυσὶ ναυμαχίαις, τῇ μὲν περὶ Τένεδον τῇ δὲ κατὰ τὸν Αἰγαῖον, Λευκόλλου πολεμοῦντος, τοὺς Ποντικοὺς νενικῆσθαι, καὶ οὐκ ἀξιόμαχον αὐτὸν πρὸς τὴν παροῦσαν δύναμιν Ῥωμαίων ἡγεῖτο (τὴν ἐπίβασιν), τῷ στόλῳ εἰς τὸν Πόντον ἀνέπλει, καὶ σφοδρῷ χειμῶνι περιπεσών, τινὰς μὲν τῶν τριήρων ἀποβάλλει, αὐτὸς δὲ μετὰ τῶν πλειόνων εἰς τὸν Ὕπιον ποταμὸν κατηνέχθη. (3) Ἐκεῖ δὲ διὰ τὸν χειμῶνα διατρίβων, Λάμαχον τὸν Ἡρακλεώτην, φιλίαν ἔχων πρὸς αὐτὸν παλαιάν, μαθὼν ἄρχειν τῆς πολιτείας, πολλαῖς ὑποσχέσεσιν εἷλκεν ὥστε παρασκευάσαι αὐτὸν ἐν τῇ πόλει παραδεχθῆναι· ἔπεμπε δὲ καὶ χρήματα. (4) Ὁ δὲ ἀντεδίδου τὴν αἴτησιν, καὶ δημοθοινίαν ἔξω τῆς πόλεως λαμπροτάτην παρασκευασάμενος τοῖς πολίταις, καὶ ταύτῃ μηδὲ τὰς πύλας ἔχειν παρεγγυησάμενος κεκλεισμένας, μεθύσας τε τὸν δῆμον, ἐκ συνθήματος κατὰ τὴν αὐτὴν ἡμέραν ἐφεστάναι λάθρα προπαρασκευάζει τὸν Μιθριδάτην. Καὶ οὕτως ἡ πόλις, μηδὲ τὴν ἄφιξιν αἰσθομένων τῶν Ἡρακλεωτῶν, ὑπὸ χεῖρα Μιθριδάτῃ γίνεται. (5) Τῇ ἐπαύριον δὲ συγκαλέσας τὸ πλῆθος ὁ βασιλεύς, καὶ φιλίοις δεξιωσάμενος λόγοις, καὶ τὴν εὔνοιαν πρὸς αὐτὸν παραινέσας σώζειν, τετρακισχιλίους δὲ φρουροὺς ἐγκαταστήσας καὶ φρούραρχον Κονναχόριξα, προφάσει τοῦ, εἰ Ῥωμαῖοι βουληθεῖεν ἐπιβουλεύειν, τῆς πόλεως ἐκείνους ὑπερμαχεῖν καὶ σωτῆρας εἶναι τῶν ἐνοικούντων· εἶτα δὲ καὶ χρήματα διανείμας τοῖς ἐν αὐτῇ, μάλιστα δὲ τοῖς ἐν τέλει, ἐπὶ τῆς Σινώπης ἐξέπλευσεν.

XLIII. Λεύκολλος δὲ καὶ Κόττας καὶ ὁ Τριάριος, οἱ Ῥωμαίων αὐτοκράτορες στρατηγοί, ἐπὶ τῆς Νικομηδείας καθ' ἓν γενόμενοι, ὥρμηντο εἰς τὸν Πόντον ἐμβαλεῖν· ἐπεὶ δὲ αὐτοῖς ἡ τῆς Ἡρακλείας κατάληψις ἠγγέλθη, ἡ δὲ προδοσία οὐκ ἐγνώσθη, ἀλλὰ τῆς πόλεως ὅλης ἡ ἀπόστασις ἐνομίσθη, Λεύκολλον μὲν ἐδόκει μετὰ τῆς πλείστης δυνάμεως εἰς τὴν Καππαδοκίαν διὰ τῆς μεσογείου χωρεῖν ἐπί τε Μιθριδάτην καὶ τὴν πᾶσαν βασιλείαν, Κότταν δὲ ἐπὶ Ἡρακλείας, τὸν Τριάριον

et condita fuit : atque ita in Romanorum potestatem devenit.

XLII. Ceterum Mithridates Nicomediæ subsistebat. Cotta autem, superiora damna resarcire volens, a Chalcedone, ubi succubuerat, Nicomediam copias transfert, et centum et quinquaginta stadia ab urbe castra metans, a dimicatione cavet. Ibi, magna adhibita festinatione, citatis itineribus Cottam sponte sua Triarius assequitur, et Mithridates in urbem se recepit. Tum uterque Romanus exercitus ad oppugnationem ejus se parat. (2) At rex, cognito gemino conflictu navali, qua circa Tenedum, qua in mari Ægæo, Ponticos a Lucullo victos, nec parem se ad occurrendum præsentibus Romanorum copiis esse, classem in Pontum retro movet; et gravi correptus tempestate, aliquot triremes amittit : ipse tamen cum plurimis in Hypium flumen defertur. (3) Hic quum tempestas eum moratur, audito, Lamachum Heracliensem, quem antiquo amicitiæ fœdere obstrictum haberet, ad reipublicæ gubernaculum sedere, multis hominem promissis attraxit, ut sibi in urbem recipiendo operam daret. Pecunias etiam miserat hoc nomine. (4) Hic, quæ rogaverat, illi præstat. Publico enim extra urbem epulo civibus splendidissime apparato, sub quod clausas se non habiturum portas fidem dederat, mero populum inescat, utque eo ipso die ex compacto Mithridates superveniat illis dat operam. Itaque, nemine Heracliensium Mithridatis adventum sentiente, urbs in ejus arbitrium venit. (5) Postridie plebem rex convocatam amicis hortatur verbis, utque fidem erga ipsum tueatur, hortatus, Connacorigi cum præsidio quattuor millium urbem custodiendam tradit. Prætextus erat, defensurum se cives, si Romani quid contra moliantur, et conservaturum. Hinc distributis in cives, et maxime in magistratus, pecuniis, versus Sinopen navigationis cursum dirigit.

XLIII. Tum Lucullus et Cotta et Triarius Romanorum duces ad Nicomediam agminibus conjunctis in Pontum irruptionem facere destinarunt. At renuntiata Heracleæ oppugnatione, quum de proditione necdum constaret, sed totius simul civitatis voluntate defectionem contigisse arbitrarentur, Luculli consilium erat, ut ipse cum robore exercitus per mediterranea et Cappadociam moveret in regem et totum ejus regnum; Heracleam oppugnaret Cotta; Tria-

XLII. 1. τι τῶν προδιημαρτ.] ed. Stephani et codd.; τε τῶν διημαρτ. vulg. — Χαλκηδόνος] corr. Stephan.; Καρχηδόνος libri. — 2. τὴν ἐπίβασιν] accusativus male adjectus; quare emendandum censuit Stephanus ita, ut in antecedentibus αὐτὸν mutaretur in αὐτοῦ. Bekkerus post ἡγεῖτο interpungens conjecit ἐπὶ Φᾶσιν. — Πόντον] emend. Palmer.; ποταμὸν libri. — 3. φιλίαν... μαθὼν] A.; καὶ φιλ... καὶ μαθ. vulg. — 4. καὶ ταύτῃ] Melius καὶ ἐν aut κἀν. *Stephanus.* — προπαρασκευάζει) ed. Stephani et codd.; παρασκευάζει vulg. — 5. Κονναχόριξα] Ita Stephanus; Κονναχόρηκα cett. « Gallum hunc natione fuisse (ut bene observat de Brosses ad Sallust. Hist. III, not. 48, p. 338 Schlüter.) indicat terminatio ιξ, qua insigniti fuere ap. Gallos viri principes et optimates. Sic Orgetorix, Dumnorix, etc. » *Orelli.*

XLIII. ὁ Τριάριος] Ὀτριάριος tum hic tum aliis locis longe plurimis Hoeschel. et Bekker. — ἐπὶ.. Ἰβηρίαν] sc. ad Ser-

δὲ τὸ ναυτικὸν ἀναλαβόντα περὶ τὸν Ἑλλήσποντον καὶ τὴν Προποντίδα τὰς ἐπὶ Κρήτην καὶ Ἰβηρίαν ἀπεσταλμένας Μιθριδατείους ναῦς ὑποστρεφούσας λοχᾶν. (2) Μιθριδάτης δὲ ταῦτα ἀκούων παρεσκευάζετο καὶ διεπρεσβεύετο πρός τε τοὺς Σκυθῶν βασιλεῖς καὶ πρὸς τὸν Πάρθον καὶ πρὸς τὸν γαμβρὸν αὑτοῦ Τιγράνην τὸν Ἀρμένιον. Ἀλλ' οἱ μὲν ἀπεῖπον, Τιγράνης δὲ ὑπὸ τῆς Μιθριδάτου θυγατρὸς πολλάκις ἐνοχληθεὶς καὶ ἀναβαλλόμενος ὅμως ὑπέστη τὴν συμμαχίαν. Καὶ Μιθριδάτης διαφόρους πέμπων κατὰ Λευκόλλου στρατηγούς, καὶ τῆς συμπλοκῆς ἐπιγενομένης, πολύτροποι μὲν συνέβαινον αἱ μεταβολαί, ἐν τοῖς πλείστοις δὲ τὰ Ῥωμαίων ὅμως κατώρθου. (3) Ἠθύμει μὲν ὁ βασιλεύς· ἀθροίσας δ' οὖν πεζῶν μὲν τέσσαρας μυριάδας, ἱππεῖς δὲ ὀκτακισχιλίους, ἐξέπεμψε Διόφαντον καὶ Ταξίλλην ἐπὶ τοῖς προσταλμένοις. Τῶν δὲ τοῖς προλαβοῦσι συναφθέντων, κατ' ἀρχὰς μὲν ἀκροβολισμοῖς ἀλλήλων οἱ πολέμιοι καθ' ἑκάστην σχεδὸν ἀπεπειρῶντο· εἶτα ἱππομαχίαι συνέστησαν δύο, ὧν τὴν μὲν ἐνίκων οἱ Ῥωμαῖοι, τὴν δευτέραν δὲ οἱ Ποντικοί. (4) Τριβομένου δὲ τοῦ πολέμου, Λεύκολλος ἀγορὰν ἄξοντας εἰς Καππαδοκίαν ἐκπέμπει, καὶ μαθὼν Ταξίλλης καὶ Διόφαντος πεζοὺς ἐκπέμπουσι τετρακισχιλίους καὶ ἱππεῖς δισχιλίους, ἐφ' ᾧ ἐπιθέμενοι ἀφαιρήσονται τοὺς ἀποκομίζοντας τὰς ἀγοράς. Καὶ συμβαλόντων ἀλλήλοις ἐπικρατέστεροι γεγόνασιν οἱ Ῥωμαῖοι. Πέμψαντος δὲ Λευκόλλου βοήθειαν τοῖς οἰκείοις, τροπὴ γίνεται βαρβάρων περιφανής. (5) Καὶ τῇ φυγῇ τούτων ἡ Ῥωμαίων δύναμις ὁδηγουμένη ἐπὶ τὸ στρατόπεδον τὸ περὶ Διόφαντον καὶ Ταξίλλην ἧκον, καὶ καρτερᾶς πρὸς αὐτοὺς τῆς μάχης γενομένης, ἐπ' ὀλίγον μὲν ἀντέσχον οἱ Ποντικοί, εἶτα τῶν στρατηγῶν πρῶτον ἀποχωρούντων, πάντες ἐνέκλιναν, καὶ Μιθριδάτῃ τοῦ πταίσματος οἱ στρατηγοὶ αὐτάγγελοι παρεγένοντο, καὶ πολὺ πλῆθος τότε τῶν βαρβάρων ἀπώλετο.

XLIV. Οὕτω Μιθριδάτῃ τῶν πραγμάτων περιφανῶς ἀποκεκλιμένων, τῶν τε βασιλίδων γυναικῶν ἡ ἀναίρεσις ἐπεποίητο, καὶ φεύγειν ἐκ τῶν Καβείρων αὐτῷ, ἐν οἷς διέτριβε, λάθρα τῶν ἄλλων ὑπηκόων ὁρμὴ γέγονε. Καὶ ἥλω ἂν ἐν τῇ φυγῇ, τῶν Γαλατῶν ἐπιδιωκόντων, καίπερ τὸν φεύγοντα ἀγνοούντων, εἰ μὴ περιτυχόντες ἡμιόνῳ χρυσὸν καὶ ἄργυρον τῶν Μιθριδατείων χρημάτων φερούσῃ, περὶ τὴν ἁρπαγὴν τούτων ἐσχόλασαν. Καὶ αὐτὸς εἰς Ἀρμενίαν διασώζεται.

XLV. Λεύκολλος δὲ ἐπὶ μὲν τὸν Μιθριδάτην Μάρκον Πομπήιον ἡγεμόνα ἐξέπεμψεν, αὐτὸς δὲ ἐπὶ Καβείρων μεθ' ὅλης ἠπείγετο τῆς δυνάμεως, καὶ τὴν πόλιν περικαθισάμενος σφᾶς αὐτοὺς παραδεδωκότας τοὺς βαρβάρους ὑποσπόνδους ἔσχε καὶ τῶν τειχῶν ἐκυρίευσεν. (2) Ἐκεῖθεν δὲ πρὸς τὴν Ἀμισὸν παραγεγονὼς, καὶ

rius autem, assumpta classe, missas in Cretam et Hispaniam Mithridatis naves in reditu circa Hellespontum et Propontidem interciperet. (2) Quibus Mithridates auditis in novos belli apparatus incumbit, et Scytharum reges Parthumque et generum suum Tigranem Armenium sollicitat. Ceteri quidem denegant : at Tigranes, licet diu cunctaretur, sæpius tamen a filia Mithridatis non sine molestia interpellatus, auxilia tandem promisit. Interim diversos contra Lucullum Mithridates præfectos dimittit, et commissis prœliis variæ acciderunt fortunæ vices : in plerisque tamen prospera fortuna Romani usi sunt. Tum Mithridates, qui animum jam despondere cœpit, contractis quadraginta peditum et octo equitum millibus, Diophantum et Taxilen, ultra missos ante, dimittit. Qui quum ad antecessores accessissent, principio velitationibus fere assiduis hostiles exercitus inter se vires explorabant. Postea ad duas pugnas equestres deventum est, quarum altera Romani, altera Pontici victores abiere. (4) Dumque ita bellum ducitur, Lucullus in Cappadociam, qui commeatum inde adferrent, misit. Quo observato, Taxiles et Diophantus quattuor peditum et duo millia equitum contra mittunt, ut, insidiis in medio positis, impedimenta revertentibus adimerent. Ubi ad manus ventum, superant Romani, et subsidiis a Lucullo missis, fuga barbarorum insignis committitur. (5) Quorum vestigiis insistentes Romani, ad ipsa Diophanti et Taxilis castra provehuntur. Ubi valido certamine inito, ad breve tempus obsistere Pontici; mox ubi primi abscesserunt duces, tota inclinata est acies : et ipsi copiarum ductores nuntii cladis venerunt Mithridati. Occubuit tunc ingens barbarorum turba.

XLIV. Hunc ad modum fortuna Mithridatis in pejus devergente, et regiæ uxores necatæ, et ex Cabiris, ubi aliquandiu se continuerat, clam suis rex fugam arripuit : in qua etiam captus esset, insectantibus Gallis, qui tamen regem ignorabant, nisi mula obviam facta, (quæ Mithridatis opibus, argento auroque onusta erat) diripiendo moram nexuissent. Itaque rex in Armeniam elabitur.

XLV. Lucullus autem adversus Mithridatem M. Pompeium mittit ducem, ipseque cum universis copiis in Cabiros movet, urbeque circumsessa, dum barbari certo se pacto ei permittunt, et ipsos in fidem accipit, et castello potitur. (2) Hinc Amisum profectus, et ad deditionem cives cohortorium. Vide Plutarch. Lucull. c. 8.

---

2 ἀναβαλλόμενος] « Rectius, opinor, ἀναβαλόμενος. » *Schæfer*. — πολύτροποι] ἐπεὶ πολ. voluit Stephanus. — τὰ Ῥωμαίων] τὰ τῶν Ῥ. alii libri. — 4. συμβαλόντων] συμβαλλόντων alii. — 5. ὁδηγουμένη] A; βοηθουμένη vulg. — γενομένης] ed. Stephani et codd.; γεγενημένης vulg.

XLIV. γυναικῶν ἡ ἀναίρεσις] Vide Appian. c. 82; Plutarch. Lucull. c. 18. — Καβείρων αὐτῷ] correx. Herschel.; Καβήρων αὐτὸς libri.

λόγοις παραινῶν τοὺς ἐν αὐτῇ Ῥωμαίοις προσχωρεῖν, ἐπεὶ οὐκ ἔπειθε, ταύτην λιπὼν εἰς τὴν Εὐπατορίαν μεθίστη τὴν πολιορκίαν. Καὶ ῥαθύμως καταγωνίζεσθαι ταύτης προσεποιεῖτο, ὡς ἂν καὶ τοὺς πολεμίους εἰς ὅμοιον ῥαθυμίας ζῆλον ἐκκαλεσάμενος ἐξ αἰφνιδίου μεταβολῆς κατορθώσῃ τὸ μελετώμενον. (3) Ὃ καὶ γέγονε, καὶ τὴν πόλιν οὕτως εἷλε τῷ στρατηγήματι· ἄφνω γὰρ κλίμακας ἁρπάσαι κελεύσας τοὺς στρατιώτας, τῶν φυλάκων οὐδὲν τοιοῦτον προσδεδοκηκότων ἀλλ' ἐν ὀλιγωρίᾳ διακειμένων, διὰ τῶν κλιμάκων τὸ τεῖχος ὑπερβαίνειν τοὺς στρατιώτας ἐπέτρεψε, καὶ οὕτως ἥλω Εὐπατορία, καὶ αὐτίκα κατέσκαπτο. Μετ' ὀλίγον δὲ καὶ Ἀμισὸς ἑάλω, διὰ τῶν κλιμάκων καὶ αὐτῆς ὁμοίως τῶν πολεμίων ἐπιβάντων τοῖς τείχεσι. Καὶ κατ' ἀρχὰς μὲν φόνος τῶν πολιτῶν οὐκ ὀλίγος γέγονεν, ὕστερον δὲ τὸν ὄλεθρον Λεύκολλος ἐπέσχε, καὶ τὴν πόλιν αὐτοῖς καὶ τὴν χώραν τοῖς διασωθεῖσιν ἀπεκατέστησε, καὶ οἰκειότερον ἐχρῆτο.

XLVI. Μιθριδάτης δὲ πρὸς τὸν γαμβρὸν παραγεγονὼς, καὶ συνουσίας τυχεῖν ἀξιῶν, ταύτης μὲν οὐ τυγχάνει, φρουρὰν δὲ τοῦ σώματος παρ' αὐτοῦ λαμβάνει, καὶ τῆς ἄλλης δεξιώσεως μετεῖχεν. (2) Ἔπεμψε δὲ καὶ Λεύκολλος πρὸς Τιγράνην πρεσβευτὴν Ἄπιον Κλώδιον, Μιθριδάτην ἐξαιτῶν· ὁ δὲ οὐκ ἔδωκε, φήσας τὴν ὑπὸ πάντων ἀνθρώπων, εἰ τῆς γαμετῆς πατέρα προδοίη, διευλαβεῖσθαι μομφήν· ἀλλὰ μοχθηρὸς μὲν ὡς εἴη Μιθριδάτης καὶ αὐτὸν εἰδέναι, δυσωπεῖσθαι δὲ τὴν ἐπικηδείαν. (3) Γράφει δὲ καὶ ἐπιστολὴν πρὸς Λεύκολλον τοὺς εἰρημένους λόγους ἔχουσαν, ἥτις παρώξυνε τὸν δεξάμενον· οὐ γὰρ ἐνέγραψεν αὐτὸν αὐτοκράτορα, ἐγκαλῶν ὅτι μηδὲ αὐτὸς ἐκεῖνον κατὰ τὰς ἐπιστολὰς βασιλέα βασιλέων προσηγόρευσεν. Ἐνταῦθα μὲν καὶ ἡ πεντεκαιδεκάτη καταλήγει Ἱστορία.

tatus, ubi non persuadet, omissa illa, ad Eupatoriam obsidionem transfert: et negligenter se illam oppugnare simulat, ut ad similem negligentiam provocatis hostibus, subita mutatione apud animum cogitata prospere conficeret. (3) Et eventus respondit, eoque strategemate urbs capta. Dum enim custodes nihil tale opinantur, sed secure agunt, ille jussis arripere scalas militibus mœnia conscendendi copiam facit. Et sic capta Eupatoria extemplo diruitur. Nec multo post capitur etiam Amisus, scalarum admotione etiam hic superatis ab hoste mœnibus. Et initio cædes non mediocris in cives peragitur; sed postea Lucullus, cæde inhibita, et urbem et regionem superstitibus reddit, et majore in eos clementia utitur.

XLVI. At Mithridates ad generum delatus, expetitum quidem colloquium non impetrat, sed corporis sui custodiam ab eo accipit, et ceteris hospitalitatis officiis afficitur. (2) Misit etiam Lucullus ad Tigranem legatum Appium Clodium, qui Mithridatem exposceret. Is vero non tradit, universorum se criminationem hominum revereri confirmans, si uxoris parentem hosti prodat. Scire se quidem improbum esse Mithridatem; sed tamen affinitatis habere rationem. (3) Epistolam etiam ad Lucullum in hæc verba rescribit; quæ ad iram ipsum provocavit eo quod rex in inscriptione imperatoris nomen omisisset, Lucullum quoque regis regum appellationem sibi non tribuisse cavillatus. Hic decimus quintus historiæ liber exit.

ΕΚ ΤΟΥ Ις' ΒΙΒΛΙΟΥ.

XLVII. Ἱστορία δὲ ἡ ἐφεξῆς τάδε ἀφηγεῖται. Ἀναλαβὼν Κόττας τὰ Ῥωμαϊκὰ στρατεύματα κατὰ τῆς Ἡρακλείας ἐχώρει. Ἀλλὰ πρῶτος μὲν ἐπὶ Προυσιάδος ἦγεν (ἡ δὲ Προυσιὰς πρὶν μὲν ἀπὸ τοῦ παραρρέοντος αὐτὴν ποταμοῦ Κίερος ἐκαλεῖτο, ὁ δὲ τῆς Βιθυνίας βασιλεὺς τῶν Ἡρακλεωτῶν ταύτην ἀφελόμενος ἐξ ἑαυτοῦ μετωνόμασεν), ἐντεῦθεν δὲ ἐπὶ τὴν Ποντικὴν κατῆλθε θάλασσαν, καὶ παρελθὼν τὴν παραλίαν τοῖς κατὰ κορυφὴν τείχεσι τὸ στράτευμα περιέστησεν. (2) Ἐθάρρουν μὲν τῇ τοῦ χωρίου οἱ Ἡρακλεῶται ὀχυρότητι, καὶ καρτερῶς τοῦ Κόττα πολιορκοῦντος, σὺν τοῖς φρουροῖς ἀντεμάχοντο καὶ φόνος ἦν τοῦ Ῥωμαϊκοῦ πλήθους πλέον, τραύματα δὲ πολλὰ τῶν Ἡρακλεωτῶν ἐκ τῶν βελῶν. Κόττας οὖν ἀνακαλεῖται τῆς τειχομαχίας τὸ στράτευμα, καὶ μικρὸν στρατοπε-

E LIBRO XVI.

XLVII. Sequens autem historia hæc commemorat. Motis Romanorum castris adversus Heracleam Cotta contendit. Primo tamen in Prusiadem ducit. (Hæc ab amne præterfluente Cieri appellationem tulerat; sed ademptam Heracliensibus rex Bithyniæ de se denominavit.) Inde ad mare Ponticum descendit et maritimam prætergressus oram, mœnibus in vertice positis castra applicavit. (2) Loci autem firmitati Heraclienses fidebant et Cottæ oppugnationem fortiter urgenti cum præsidio repugnabant; et plures e multitudine Romana cadebant, crebra tamen etiam Heracliensium vulnera erant a telis. Quapropter ab oppugnatione receptui Cotta suis canit, et remotius aliquanto castra

XLV. 3. διασωθεῖσιν ἀπεκατέστησε] διαθεῖσιν ἀποκατέστησε alii.
XLVI. 2. προδοίη] A.; δοίη vulg.
XLVII. 1. πρῶτος] Stephan. et codd.; πρῶτον vulg.

δεύων ἄποθεν, ὅλον ἔτρεπε τὸν σκοπὸν εἰς τὸ τὰς ἐπὶ ταῖς χρείαις ἐξόδους εἴργειν τῶν πολιορκουμένων. Σπανιζόντων δὲ τῇ πόλει τῶν ἐπιτηδείων, πρεσβεία πρὸς τοὺς ἀποίκους ἐξεπέμπετο, τροφῆς δι' ὠνῆς αἰτοῦσα χορηγίαν· οἱ δὲ τῇ πρεσβείᾳ ἠσμένιζον.

LXVIII. Πρὸ βραχέος δὲ ὁ Τριάριος τὸν Ῥωμαϊκὸν στόλον ἔχων, ὥρμησεν ἀπὸ Νικομηδείας ἐπὶ τὰς Ποντικὰς τριήρεις, ἃς προεῖπεν ὁ λόγος περί τε Κρήτην καὶ Ἰβηρίαν ἐξαποσταλῆναι. Μαθὼν δὲ τὰς ὑπολοίπους εἰς τὸν Πόντον ἀνακεχωρηκέναι (πολλαὶ γὰρ αὐτῶν καὶ χειμῶνι καὶ ταῖς κατὰ μέρος ναυμαχίαις εἰς διαφθορὰν ἔδυσαν), καταλαμβάνει δὲ ταύτας, καὶ τὴν μάχην περὶ τὴν Τένεδον συγκροτεῖ, ἑβδομήκοντα μὲν ἔχων τριήρεις αὐτὸς, τῶν δὲ Ποντικῶν ἀγόντων βραχὺ δεούσας τῶν ὀγδοήκοντα. (2) Ἐπεὶ δὲ συνέστη ὁ πόλεμος, κατ' ἀρχὰς μὲν ἀντεῖχον οἱ τοῦ βασιλέως, ὕστερον δὲ τροπῆς αὐτῶν λαμπρᾶς γενομένης, τὸ Ῥωμαίων ἀνὰ κράτος ἐνίκησε στράτευμα, καὶ οὕτως ἅπας ὁ Μιθριδάτειος στόλος, ὅσος ἐπὶ τὴν Ἀσίαν αὐτῷ συνεξέπλευσεν, ἑάλω.

XLIX. Κόττας δὲ παρὰ τὴν Ἡράκλειαν στρατοπεδεύων ὅλῳ μὲν οὐ προσέβαλε τῇ πολιορκίᾳ τέως τῷ στρατῷ, κατὰ μέρος δὲ προσῆγεν, ἐνίους μὲν τῶν Ῥωμαίων, πολλοὺς δὲ προβαλλόμενος τῶν Βιθυνῶν. Πολλῶν δὲ καὶ τιτρωσκομένων καὶ ἀναιρουμένων, μηχανὰς ἐπενόει, ὧν ἐδόκει τοῖς πολιορκουμένοις ἡ χελώνη φοβερωτέρα. (2) Ἐπάγει γοῦν ταύτην ὅλην τὴν δύναμιν συγκινήσας πύργῳ τινὶ ὑπόπτως ἔχοντι πρὸς τὸ παθεῖν. Ὡς δὲ ἅπαξ καὶ δεύτερον πληγεὶς οὐ μόνον παρὰ δόξαν διεκαρτέρει, ἀλλὰ καὶ ὁ κριὸς τῆς ἄλλης ἐμβολῆς προαπεκλάσθη, εὐθυμίαν μὲν τοῖς Ἡρακλεώταις, ἀγωνίαν δὲ παρέσχε Κόττᾳ διαταράττουσαν αὐτὸν, ὡς οὐκ ἂν ἡ πόλις αἱρεθείη ποτέ. (3) Τῇ ὑστεραίᾳ δ' οὖν πάλιν ἐπαγαγὼν τὴν μηχανὴν καὶ μηδὲν ἀνύσας, κατακαίει μὲν τὸ μηχάνημα, ἀποτέμνει δὲ καὶ τὰς τῶν μηχανοποιῶν κεφαλάς· καὶ φρουρὰν τοῖς τείχεσι καταλιπὼν, μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὸ καλούμενον πεδίον Λύκαιον διέτριβεν, ἀφθονίαν ἔχοντος τῶν ἐπιτηδείων τοῦ χωρίου· κἀκεῖθεν τὴν περὶ τὴν Ἡράκλειαν χώραν ἅπασαν ἐδῄου, εἰς πολλὴν ἀμηχανίαν τοὺς πολίτας συνελαύνων. (4) Διεπρεσβεύετο γοῦν πάλιν πρός τε τοὺς ἐν Σκυθίᾳ Χερροννησίτας καὶ Θεοδοσιανοὺς καὶ τοὺς περὶ τὸν Βόσπορον δυνάστας ὑπὲρ συμμαχίας· καὶ ἡ πρεσβεία ἀνέστρεφεν ἔμπρακτος. Τῶν δὲ πολεμίων ἐπικειμένων τῇ πόλει, οὐ πολὺ ἔλαττον αὐτῇ τὰ λυποῦντα ἔνδον ἐπετίθετο· οὐ γὰρ ἤρκουντο οἱ φρουροὶ οἷς διέζη τὸ δημοτικὸν, τύπτοντες δὲ τοὺς πολίτας χορηγεῖν ἃ μὴ ῥᾷον ἦν αὐτοῖς ἐξ ἀνάγκης ἐκέλευον. Καὶ τῶν φρουρῶν ἔτι μᾶλλον ἦν χαλεπώτερος ὁ ἐφεστηκὼς αὐτῶν Κονναχόριξ, οὐκ ἀπείργων ἀλλ' ἐπιτρέπων τοῖς ὑπὸ χεῖρα τὴν βίαν. (5) Τεμὼν δὲ τὴν χώραν ὁ Κόττας, πάλιν προσβάλλει τοῖς τείχεσιν· ἀθύμους δὲ

metatus, totus in hoc est intentus, ut exitum ad res necessarias intercludat obsessis. Annonæ igitur caritate oborta, dimissis ad colonias legatis, alimenta sibi venundari petunt. Et gratissima illis fuit hæc legatio.

XLVIII. At brevi ante Triarius Romana classe instructus a Nicomedia impetum fecerat in Ponticas triremes, quas supra dictum est versus Cretam et Hispaniam emissas. At quum reliquas in Pontum retro abire rescivisset (multæ enim de his et procella et pugnis, suo quæque loco, navalibus interierant), assecutus illas ad Tenedum, manus conserit; septuaginta ipsi triremes erant, Pontici autem haud multum infra octoginta agebant. (2) Commisso prœlio, regii vim hostium initio sustinent: postea universis in fugam effusis splendidam Romanus victoriam consequitur. Atque ita classis Mithridatis tota, quanta in Asiam exiverat, subacta est.

XLIX. Cotta vero ad Heracleam castra habens, nondum toto oppugnationem exercitu aggressus erat: sed aliquos de Romanis particulatim admovebat, multos Bithyni nominis statuens in fronte. Dumque complures vulnerantur et oppetunt, operibus et machinis animum adjicit: quarum testudo præ aliis formidinem incussit obsessis. (2) Totam igitur hanc vim admovet turri cuidam, ruinæ spem præferenti. Verum ubi semel atque iterum percussa non modo contra opinionem persisteret, sed etiam caput arietis a reliqua trabe distractum avelleretur, animus Heracliensium crescerem et perturbatus mœrore Cotta timere cœpit, ne nunquam urbs caperetur. (3) Postero etiam die, quum machina iterum impacta nihil proficeret, instrumentum illud concremat, et fabris capita præcidit; relictoque ad mœnia præsidio, cum cetera militum turba in campo, quod Lycæum vocant, stativa delegit: quo in loco larga erat victus copia: atque inde omni circa Heracleam regione devastata, in magnam cives difficultatem cogit. (4) Quare denuo ad Scythas Chersonesi incolas et Theodosianos et circa Bosporum dynastas de societate legationem mittunt, quæ non absque effectu revertitur. Dumque hostes urbi incumbunt, non multo minus ab internis vexatur molestiis. Præsidiariis enim militibus id non satis erat, quo plebs urbana victitabat. Verberibus igitur mulctatos cives suppeditare, quæ in promptu non erant, per vim jubent. Quid? quod præsidiariis longe importunior erat præfectus Connacorix, non modo non prohibens vim suorum, sed etiam libere permittens. (5) Tum agros populatus Cotta muros iterum adoritur. At quum segnes ad oppugna-

XLIX. 2. τὸ παθεῖν] τὸ πεσεῖν conj. Orelli. — 3. Λύκαιον] Ita Stephanus; λύκειαν libri. — 4. ῥᾷον] « Immo ῥᾴδιον. » *Bekker*. — τοῖς ὑπὸ χεῖρα] A; τῶν ὑπὸ χ. vulg. — τεμὼν] τέμνων var. lect.

τοὺς στρατιώτας πρὸς πολιορκίαν ὁρῶν, ἀπάγει τῆς τειχομαχίας, καὶ πέμπει καλῶν τὸν Τριάριον τάχος ταῖς τριήρεσιν ἀφικνεῖσθαι καὶ κωλύειν τὸν διὰ τῆς θαλάσσης ἐπισιτισμὸν τῇ πόλει.

L. Λαβὼν οὖν ἃς εἶχεν ὁ Τριάριος, καὶ Ῥοδίους εἴκοσι ναῦς, ὧν σύμπαν τὸ πλῆθος εἰς τρεῖς καὶ τεσσαράκοντα ἐτέλει, εἰς τὸν Πόντον διαβαίνει, καὶ μηνύει Κόττᾳ καὶ τὸν καιρὸν καὶ τὴν ἄφιξιν. Ὑπὸ δὲ τὴν αὐτὴν ἡμέραν Κόττας τε τοῖς τείχεσι τὸν στρατὸν προσῆγε, καὶ ὁ κατάπλους τῶν Τριαρίου νεῶν ἐπεφαίνετο. Συνταραχθέντες οὖν οἱ Ἡρακλεῶται πρὸς τὸ αἰφνίδιον τῆς τῶν νεῶν ἐφόδου, ναῦς μὲν ἐπὶ τὴν θάλασσαν τριάκοντα καθεῖλκον, οὐδὲ ταύτας ἀκριβῶς πληροῦντες, τὸ δὲ λοιπὸν πρὸς τὴν πολιορκίαν ἐτρέποντο. (2) Ἀνήγετο μὲν ὁ Ἡρακλεωτικὸς στόλος πρὸς τὰς ἐπιπλεούσας τῶν πολεμίων. Πρῶτοι γοῦν Ῥόδιοι (καὶ γὰρ ἐδόκουν ἐμπειρίᾳ τε καὶ ἀνδρείᾳ τῶν ἄλλων προέχειν) ἐνερράγησαν ταῖς ἐξ Ἡρακλείας, καὶ παραχρῆμα μὲν κατέδυσαν Ῥοδίων μὲν τρεῖς, Ἡρακλεώτιδες δὲ πέντε· ἐπιγενόμενοι δὲ τῇ ναυμαχίᾳ καὶ Ῥωμαῖοι, καὶ πολλὰ παθόντες καὶ ποιήσαντες τοῖς πολεμίοις, πλέον δὲ ὅμως κακώσαντες, ἐτρέψαντο τὰς ἐξ Ἡρακλείας καὶ φεύγειν ἠνάγκασαν πρὸς τὴν πόλιν, τέσσαρας ἀποβαλούσας καὶ δέκα· αἱ τρεψάμεναι δὲ πρὸς τὸν μέγαν ἐνωρμίζοντο λιμένα. (3) Ἀνίστη δ' οὖν καὶ τὸ πεζὸν τῆς πολιορκίας ὁ Κόττας. Οἱ δὲ περὶ τὸν Τριάριον ἀναγόμενοι καθ' ἑκάστην ἀπὸ τοῦ λιμένος, τοὺς σιτηγεῖν ὡρμημένους τοῖς πολιορκουμένοις ἀπεκώλυον· καὶ σπάνις χαλεπὴ τὴν πόλιν κατεῖχεν, ὡς ὀγδοήκοντα Ἀττικῶν τὴν λεγομένην χοίνικα τοῦ σίτου προκόψαι. (4) Ἐπὶ δὲ τοῖς ἄλλοις κακοῖς καὶ λοιμὸς αὐτοῖς ἐπιπεσὼν (εἴτε ἐκ τροπῆς ἀέρων, εἴτε ἐκ τῆς ἀσυνήθους διαίτης) ποικίλην ἐπὶ ποικίλαις παθημάτων ἰδέαις τὴν φθορὰν ἀπειργάζετο, ἐν οἷς καὶ Λάμαχος πικροτέρῳ καὶ μακροτέρῳ τῶν ἄλλων ὀλέθρῳ διέφθαρτο. Ἥψατο δὲ μάλιστα καὶ τῶν φρουρῶν ἡ νόσος, ὡς ἀπὸ τρισχιλίων χιλίους ἀποθανεῖν. Τοὺς Ῥωμαίους δὲ τὸ πάθος οὐκ ἐλάνθανεν.

LI. Καὶ ὁ Κονναχόριξ κακοπαθῶν ταῖς συμφοραῖς ἔγνω τοῖς Ῥωμαίοις προδιδόναι τὴν πόλιν καὶ τῇ τῶν Ἡρακλεωτῶν ἀπωλείᾳ τὴν ἰδίαν σωτηρίαν ἀλλάξασθαι. Συνελαμβάνετο δὲ αὐτῷ καὶ Ἡρακλεώτης ἀνήρ, ζηλωτὴς τῆς Λαμάχου προαιρέσεως, Δαμωφέλης ὄνομα, φρούραρχος καὶ αὐτὸς τῇ πόλει μετὰ τὴν Λαμάχου φθορὰν καταστάς. Ὁ τοίνυν Κονναχόριξ τὸν Κότταν μέν, ὡς βαρὺν τὸ ἦθος καὶ ἄπιστον, ἐφυλάττετο, πρὸς τὸν Τριάριον δὲ συνετίθετο. Συνέτρεχε δὲ τούτοις καὶ Δαμωφέλης οὐκ ἐνδεέστερον. Καὶ λαβόντες συνθήκας, αἷς εὐδαιμονήσειν αὐτοὶ ἤλπιζον, πρὸς τὴν προδοσίαν

tionem remissisque animis videt milites, a conatu desistens, vocatum mittit Triarium, ut cum triremibus quamprimum advolet, et commeatus in mari facultatem oppidanis intercipiat.

L. Assumptis ergo Triarius quas habebat navibus et viginti Rhodiis, quarum summa quadraginta tres conficiebat, in Pontum trajicit, et adventus tempore Cottæ significato, eodem die exercitum ad mœnia appellit Cotta, et imminens Triarii classis apparet. Tum repentino navium adventu Heraclienses turbati, triginta naves in mare deducunt; sed eas non satis complent. Reliqua multitudo ad propugnationem se convertit. (2) Dumque classis Heracliensium contra accedentes hostium naves in altum tendit, primi Rhodii, peritia et fortitudine aliis præcellere existimati, in Heracleoticas impressionem faciunt, et statim tres Rhodiorum et quinque Heracliensium deprimuntur. Deinde pugnæ supervenientes Romani, multis acceptis damnis, pluribus tamen illatis, classem Heracliensium fundunt, et ad urbem fugere compellunt, quattuordecim navibus deperditis. Victrices autem in magnum subiere portum. (3) Peditatum etiam ab oppugnatione revocat Cotta. Triariani autem in dies singulos e portu subvecti, eos qui frumenta circumsessis importare conarentur, impediverunt. Ingens igitur annonæ caritas urbem tenuit, ut tritici chœnix quæ dicitur ad octoginta Atticos procederet. (4) Et super alias ærumnas etiam pestis homines invasit, vel ex aeris mutatione vel inconsueta victus ratione exsistens, et per varias calamitatum formas varios hominum interitus efficiebat. Inter quos etiam Lamachus longe acerbiore, quam alii, et lentiore mortis cruciatu exstinguitur. Lues hæc maxime præsidiarios corripiebat, ut de tribus millibus mille interirent. Nec Romanos latuit Heracliensium calamitas.

LI. Atqui Connacorix hac afflictionum mole fatiscens, urbem Romanis prodere, et Heracliensium exitio suam permutare salutem statuit. Operam huc conferebat etiam Heracliensis quidam, consiliorum Lamachi æmulator, cui nomen Damopheli, præsidio urbis et ipse a Lamachi interitu præfectus. At Connacorix a Cotta sane, ut homine moribus importunis et dubia fide, sibi cavet, cum Triario autem rem communicat : nec segnius in eodem cum his studio Damopheles decurrit, et acceptis pactorum conditionibus, quibus se beatos fore sperabant, ad proditionem se accin-

L. 2. Ῥοδίων μὲν τρεῖς] Ῥωμαίων μ. τρ. cod. Margun. — τοῖς πολεμίοις] « Malim πολεμίους. » *Hæschel.* — 3. ἀνίστη .. Κόττας] « Sensus verborum hic esse videtur, Cottam copias suas ab urbe oppugnanda revocasse atque in arctius contraxisse, veritum ne Heraclienses fusi fugatique ac in urbem repulsi a Triario deque salute sua desperantes collectis viribus in ipsas impetum facerent, mari diremptas a Triarianis. *Orelli.* — 4. λοιμός] λιμός v. l. — ἐλάνθανεν] ἐλάμβανεν v. l.

LI. 1. ἀλλάξασθαι] alii ἐξαλάξασθαι et ἀπαλάξασθαι. — Δαμωφέλης] ita Bekkerus h. loco et paullo infra; δαμοφελὴς A,

παρεσκευάζοντο. (2) Ἐξ ἐπιπολῆς οὖν τὰ πραττόμενα τοῖς προδόταις διέπιπτεν εἰς τὸν δῆμον. Εἰς ἐκκλησίαν οὖν ἡ πόλις συνέδραμον καὶ τὸν φρούραρχον ἐκάλουν. Βριθαγόρας δὲ τῶν ἐν δήμῳ ἀνὴρ ἐπιφανὴς πρὸς Κοννακόριχα παραγεγονὼς τά τε κατέχοντα τὴν Ἡράκλειαν διεξῄει, καὶ εἰ κἀκείνῳ δοκεῖ, ἐπὶ κοινῇ πάντων σωτηρίᾳ διελάμβανεν Τριαρίῳ διαλέξασθαι. Ταῦτα Βριθαγόρου μετὰ πολλῆς οἰκτισαμένου δεήσεως, διαναστὰς ὁ Κοννακόριξ τοιαύτην μὲν συνθήκην ἀπεῖπε πράττεσθαι, ἔχεσθαι δὲ τῆς ἐλευθερίας καὶ τῶν κρειττόνων ὑπεκρίνατο ἐλπίδων· καὶ γὰρ καὶ τὸν βασιλέα μαθεῖν διὰ γραμμάτων ὑπὸ Τιγράνους τε τοῦ γαμβροῦ φιλοφρόνως δεδέχθαι, καὶ οὐκ εἰς μακρὰν ἐκεῖθεν προσδοκᾶν τὴν ἀποχρῶσαν βοήθειαν. (3) Ἀλλ' ἐκείνοις μὲν ταῦτα ὁ Κοννακόριξ ἐσχηνικεύετο· οἱ δὲ Ἡρακλεῶται τούτοις τοῖς λόγοις ἐξηπατημένοι (ἀεὶ γὰρ αἱρετὸν τὸ ἐράσμιον) ὡς ἀληθέσι τοῖς τερατευθεῖσιν ἐπίστευον. Ὁ δὲ Κοννακόριξ, ὡς ἠπατημένους ἔγνω, κατὰ μέσας νύκτας ἐπιβιβάσας ἡσύχως ταῖς τριήρεσι τὸ στράτευμα (αἱ γὰρ πρὸς τὸν Τριάριον συνθῆκαι κακῶν ἀπαθεῖς ἀπιέναι, καὶ εἴ τι κεκερδαγκότες εἴησαν, μεθ' ἑαυτῶν ἄγειν ἐπέτρεπον), καὶ αὐτὸς τούτοις συνεξέπλευσε. Δαμωφέλης δὲ τὰς πύλας ἀνοίξας εἰσχεόμενον τὸν Ῥωμαϊκὸν στρατὸν καὶ τὸν Τριάριον εἰσεδέχετο, τοὺς μὲν διὰ τῆς πύλης, ἐνίους δὲ καὶ τὴν στεφάνην ὑπερβαίνοντας. (4) Καὶ τότε τῆς προδοσίας οἱ Ἡρακλεῶται ἐπῄσθοντο· καὶ οἱ μὲν σφᾶς αὐτοὺς παραδίδοσαν, οἱ δὲ ἐκτείνοντο, τά τε κειμήλια καὶ τὰ ἔπιπλα διηρπάζετο, καὶ πολλὴ τοὺς πολίτας ὠμότης ἐλάμβανε, μεμνημένων Ῥωμαίων, ὅσα τε παρὰ τὴν ναυμαχίαν πάθοιεν, καὶ ὅσα τεταλαιπωρηκότες ἐπὶ τῇ πολιορκίᾳ ὑπέστησαν. Οὐκ ἀπείχοντο γοῦν οὐδὲ τῶν ἐπὶ τοῖς ἱεροῖς πεφευγότων, ἀλλὰ παρά τε τοῖς βωμοῖς καὶ τοῖς ἀγάλμασιν αὐτοὺς ἔσφαττον. (5) Διὸ πολλοὶ διαπίπτοντες ἐκ τῶν τειχῶν φόβῳ τοῦ ἀφύκτου θανάτου κατὰ πᾶσαν ἐσκεδάννυντο χώραν· οἱ δὲ αὐτομολεῖν πρὸς τὸν Κότταν ἠναγκάζοντο, ἐξ ὧν ἐκεῖνος τήν τε ἅλωσιν καὶ τὸν φθόρον τῶν ἀνθρώπων καὶ τὴν διαρπαγὴν τῶν χρημάτων πυθόμενος ὀργῆς ἀνεπίμπλατο, καὶ διὰ ταχέων πρὸς τὴν πόλιν ἠπείγετο. Συνεχαλέπαινε δὲ καὶ τὸ στράτευμα, ὡς μὴ μόνον τὴν ἐπὶ τοῖς κατωρθωμένοις εὐδοξίαν ἀφῃρημένον, ἀλλὰ καὶ τῶν λυσιτελειῶν ἁπάσας παρὰ τῶν αὐτῶν διηρπασμένοι. Καὶ εἰς μάχην ἂν τοῖς ὁμοφύλοις κατέστησαν ἄσπονδον καὶ κατεκόπησαν ἂν ὑπ' ἀλλήλων, εἰ μὴ ὁ Τριάριος ἐπιγνοὺς τὴν ὁρμὴν αὐτῶν, πολλοῖς ἐκμειλίξας λόγοις τόν τε Κότταν καὶ τὸν στρατόν, καὶ εἰς τὸ κοινὸν τὰ κέρδη καταθεῖναι βεβαιωσάμενος, τὸν ἐμφύλιον ἀνεχαίτισε πόλεμον.

LII. Ἐπεὶ δὲ ἐπυνθάνοντο τὸν Κοννακόριχα κατειληφότα τὴν Τῖον καὶ τὴν Ἄμαστριν, αὐτίκα Κόττας τὸν Τριάριον ἐκπέμπει ἀφαιρησόμενον αὐτὸν τὰς πό-

gunt. (2) Obiter autem quæ a proditoribus agebantur, in vulgus emanant. In concionem igitur urbs concurrit, præsidiique præfectus advocatur. Tum Britagoras, vir inter populares præcipuæ auctoritatis, Connacorige convento, quo loco sit Heraclea, edisserit, et si ille comprobet, de communi omnium salute cum Triario conferendum esse censet. Hæc quum miserabiliter, multis intermixtis precibus, perorasset Britagoras, surgens Connacorix pacificationem eam suscipiendam esse negat, sed ut libertatis et melioris fortunæ spei inhærerent, per simulationem suasit: etenim per literas se cognovisse, regem a Tigrane genero benigne susceptum, nec longum post intervallum sufficiens inde exspectare auxilium. (3) Hanc tum larvam scenicam illis prætendebat Connacorix. Quare his verbis decepti Heraclienses (semper enim, quod adlubet, appetitur) astute confictis, ut veris, fidem adhibuere. Connacorix, ut in fraudem deductos videt, nocte intempesta, exercitu navibus imposito (per fœdus enim cum Triario initum salvis abire, et si quid lucri fecissent, secum asportare licebat), ipse cum militibus discedit. Damopheles autem, solutis portis, introfusum Romanorum exercitum et Triarium recepit: quorum alii per portam irrumpunt, nonnulli etiam muri pinnacula transcendunt. (4) Tum demum proditos se Heraclienses sentiunt; parsque horum se dedit, pars trucidatur. Res in abdito repositæ et supellectilia diripiuntur, et magna crudelitate in cives desævitur. Nam recurrit animo Romanis, quanta navali conflictu detrimenta accepissent, et quantas sustinuissent ærumnas in oppugnatione. Ideoque neque ab his, qui ad deûm sacra confugerant, temperatum; sed juxta aras deorumque imagines supplices mactati. (5) Quocirca multi trans muros elapsi, mortis inevitabilis metu, per totam disperguntur regionem, nonnullis etiam ad Cottam transfugere coactis. A quibus ille de expugnatione urbis et hominum strage et direptione bonorum certior factus, ira totus exardescit, et quam celerrime ad urbem festinat. Moleste etiam simul tulit exercitus, quod non modo gloria rerum fortiter gestarum spoliati, sed etiam commodis universis fraudati essent ab iisdem. Ideo implacabili cum gentilibus certamine conserti mutuis se cædibus hausissent, nisi Triarius, concitatione illorum intellecta, multis placasset verbis Cottam, et in commune se lucra exhibiturum sancte promisso, bellum intestinum prohibuisset.

LII. Ubi vero audivit, Connacorigem Tium et Amastrin occupasse, sine mora Triarium Cotta dimisit, ut has illi urbes adimeret. Ipse interim, acceptis dedititiis et captivis,

δαμοφιλής cett. — βαρὺν] A.; βάρβαρον cett. — 2. κἀκείνῳ] Steph. et codd.; κἀκεῖνο vulg. — δεδέχθαι] δέχεσθαι A. — 3. κεκερδαγκότες] κεκερδακότες A. cf. Buttmann. Gramm. gr. II. p. 164. — 5. πυθόμενος] al. πειθόμενος. — ἀφῃρημένον] emend. Scaliger., ἀφῃρημένοι Hœschel., ἀφῃρημένων libri.

λεις· αὐτὸς δὲ τούς τε προσκεχωρηκότας ἄνδρας λαβὼν καὶ τοὺς ἐκ τῆς αἰχμαλωσίας ἀνθρώπους, τὰ λοιπὰ μετὰ πάσης διεῖπεν ὠμότητος. Χρήματα γοῦν διερευνώμενος οὐδὲ τῶν ἐν ἱεροῖς ἐφείδετο, ἀλλὰ τούς τε ἀνδριάντας καὶ τὰ ἀγάλματα ἐκίνει, πολλὰ καὶ καλὰ ὄντα· καὶ δὴ καὶ τὸν Ἡρακλέα τὸν ἐκ τῆς ἀγορᾶς ἀνῄρει, καὶ σκευὴν αὐτοῦ τὴν ἀπὸ τῆς πυραμίδος, πολυτελείας καὶ μεγέθους καὶ δὴ καὶ ῥυθμοῦ καὶ χάριτος καὶ τέχνης οὐδενὸς τῶν ἐπαινουμένων ἀπολειπομένην. (2) Ἦν δὲ ῥόπαλον σφυρήλατον ἀπέφθου χρυσοῦ πεποιημένον· κατὰ δὲ αὐτοῦ λεοντῆ μεγάλη ἐκέχυτο, καὶ γωρυτὸς τῆς αὐτῆς μὲν ὕλης, βελῶν δὲ γέμων καὶ τόξου. Πολλὰ δὲ καὶ ἄλλα καλὰ καὶ θαυμαστὰ ἀναθήματα ἔκ τε τῶν ἱερῶν καὶ τῆς πόλεως ἀφελὼν, ταῖς ναυσὶν ἐγκατέθετο· καὶ τὸ τελευταῖον πῦρ ἐνεῖναι τοῖς στρατιώταις κελεύσας τῇ πόλει, κατὰ πολλὰ ταύτην ἐνέπρησε μέρη. Ἑάλω δὲ ἡ πόλις ἐπὶ δύο ἔτη τῇ πολιορκίᾳ ἀντισχοῦσα. (3) Ὁ δὲ Τριάριος παραγεγονὼς ἐν αἷς ἐπέσταλτο πόλεσι, Κοννακόριξι (οὗτος γὰρ τὴν τῆς Ἡρακλείας προδοσίαν ἑτέρων κατασχέσει συγκαλύπτειν διενοεῖτο) δοὺς ἄδειαν τῆς ἀναχωρήσεως, καθ' ὁμολογίαν λαμβάνει τὰς πόλεις. Ὁ δὲ Κόττας ἅπερ εἴρηται διαπραξάμενος, τὸ μὲν πεζὸν καὶ τοὺς ἱππεῖς ἐκπέμπει Λευκόλλῳ, καὶ τοὺς συμμάχους ἀφῆκεν ἐπὶ τῶν πατρίδων· αὐτὸς δ' ἀνήγετο τῷ στόλῳ. Τῶν δὲ νεῶν, αἳ τὰ τῆς πόλεως λάφυρα ἦγον, αἱ μὲν κατάφορτοι γενόμεναι μικρὸν ἄποθεν τῆς γῆς διελύθησαν· αἱ δὲ, Ἀπαρκτίου πνεύσαντος, ἐξεβράσθησαν εἰς τὰ τενάγη, καὶ πολλὰ τῶν ἀγωγίμων ἀπεβάλοντο.

LIII. Λεόνιππος δὲ ὁ σὺν Κλεοχάρει παρὰ Μιθριδάτου τὴν Σινώπην ἐπιτραπεὶς, ἀπεγνωκὼς τῶν πραγμάτων, πέμπει περὶ προδοσίας πρὸς Λεύκολλον. Ὁ δὲ Κλεοχάρης ἅμα Σελεύκῳ (καὶ γὰρ οὗτος τῶν Μιθριδάτου στρατηγὸς ἰσοστάσιος τῶν εἰρημένων ἦν) τὴν Λεονίππου μαθόντες προδοσίαν, ἐκκλησίαν ἀθροίσαντες κατηγόρουν αὐτοῦ. Οἱ δὲ οὐ προσίεντο· ἐδόκει γὰρ αὐτοῖς εἶναι χρηστός. (2) Καὶ οἱ περὶ Κλεοχάρην δείσαντες τοῦ πλήθους τὴν εὔνοιαν, ἐξ ἐνέδρας νυκτὸς ἀποσφάττουσι τὸν ἄνδρα. Καὶ τὸ μὲν δημοτικὸν ἤχθετο τῷ πάθει, οἱ δὲ περὶ Κλεοχάρην τῶν πραγμάτων κύριοι καταστάντες τυραννικῶς ἦρχον, ταύτῃ νομίζοντες διαφυγεῖν τῆς ἐπὶ Λεονίππῳ μιαιφονίας τὴν δίκην. (3) Ἐν τούτῳ Κηνσωρῖνος ναύαρχος Ῥωμαίων, τριήρεις ἄγων πεντεκαίδεκα σῖτον ἀπὸ Βοσπόρου τῷ Ῥωμαίων κομιζούσας στρατοπέδῳ, πλησίον Σινώπης κατῆρε· καὶ οἱ περὶ Κλεοχάρην καὶ Σέλευκον ἀνταναχθέντες Σινωπικαῖς τριήρεσιν, ἡγουμένου Σελεύκου, καθίστανται εἰς

7. Ac rursum post alia nonnulla subdit : « Jam vero, quo illustrior habeatur magisque distincta rerum sequentium intelligentia, hoc etiam ante omnia ponere nos oportet, Barbarorum antiquissimos, Phœnices inprimis et Ægyptios, a quibus ceteri deinceps populi morem illum accepere, in maximorum deorum loco eos omnes habuisse, qui res ad vitam agendam necessarias invenissent, quique beneficium aliquod in genus humanum contulissent. Eos nimirum, quos sibi plurimorum bonorum auctores esse persuaderent, ut deos adorarunt, fatoque defunctis exstruentes templa stelasque et virgas ipsorum nomine consecrarunt, eaque præcipuo religionis cultu prosecuti Phœnices, festos illis quoque dies longe celeberrimos dedicarunt. (8) In quo quidem eximium illud fuit, quod regum suorum nomina universi hujus elementis, ac quibusdam eorum, quibus divinitatem ipsi tribuebant, imponerent. Naturales porro deos, Solem, Lunam reliquasque stellas inerrantes, cum elementis ac ceteris cum iisdem affinitate conjunctis, solos ex omnibus agnoscebant, ut mortales quidem alios, alios autem immortales deos haberent. »

Quibus Philo breviter in procemio constitutis, ad Sanchu-

ἀπάρχεται τῆς τοῦ Σαγχουνιάθωνος ἑρμηνείας, ὧδέ πως τὴν Φοινικικὴν ἐκτιθέμενος θεολογίαν. (Postrema inde ab οἱ παλαίτατοι tanquam ex Clemente Alex. affert Cyrillus In Jul. VI, p. 205, E.)

2.

Idem ib., cap. 10 : Τὴν τῶν ὅλων ἀρχὴν ὑποτίθεται ἀέρα ζοφώδη καὶ πνευματώδη, ἢ πνοὴν ἀέρος ζοφώδους, καὶ χάος θολερὸν, ἐρεβῶδες· ταῦτα δὲ εἶναι ἄπειρα, καὶ διὰ πολὺν αἰῶνα μὴ ἔχειν πέρας. « Ὅτε δὲ, φησὶν, ἠράσθη τὸ πνεῦμα τῶν ἰδίων ἀρχῶν, καὶ ἐγένετο σύγκρασις, ἡ πλοκὴ ἐκείνη ἐκλήθη πόθος. Αὕτη δὲ ἀρχὴ κτίσεως ἁπάντων. Αὐτὸ δὲ οὐκ ἐγίνωσκε τὴν αὐτοῦ κτίσιν· καὶ ἐκ τῆς αὐτοῦ συμπλοκῆς τοῦ πνεύματος ἐγένετο Μώτ· τοῦτό τινές φασιν ἰλύν· οἱ δὲ ὑδατώδους μίξεως σῆψιν. Καὶ ἐκ ταύτης ἐγένετο πᾶσα σπορὰ κτίσεως, καὶ γένεσις τῶν ὅλων. (2) Ἦν δέ τινα ζῷα οὐκ ἔχοντα αἴσθησιν, ἐξ ὧν ἐγένετο ζῷα νοερὰ, καὶ ἐκλήθη Ζωφασημὶν (Ζωφισημὰν cod. H.), τοῦτ' ἔστιν οὐρανοῦ κατόπται. Καὶ ἀνεπλάσθη ὁμοίως ὠοῦ σχήματι. Καὶ ἐξέλαμψε Μὼτ ἥλιός τε καὶ σελήνη ἀστέρες τε καὶ ἄστρα μεγάλα. »

Τοιαύτη μὲν αὐτῶν ἡ κοσμογονία, ἀντικρὺς ἀθεότητα εἰσάγουσα. Ἴδωμεν δὲ ἑξῆς, ὡς καὶ τὴν ζῳογονίαν ὑποστῆναι λέγει. Φησὶν οὖν·

3. « Καὶ τοῦ ἀέρος διαυγάσαντος, διὰ πύρωσιν καὶ τῆς θαλάττης καὶ τῆς γῆς ἐγένετο πνεύματα καὶ νέφη καὶ οὐρανίων ὑδάτων μέγισται καταφοραὶ καὶ χύσεις. Καὶ ἐπειδὴ διεκρίθη καὶ τοῦ ἰδίου τόπου διεχωρίσθη διὰ τὴν τοῦ ἡλίου πύρωσιν, καὶ πάντα συνήντησε πάλιν ἐν ἀέρι τάδε τοῖσδε, καὶ συνέρραξαν, βρονταί τε ἀπετελέσθησαν καὶ ἀστραπαὶ, καὶ πρὸς τὸν πάταγον τῶν βροντῶν τὰ προγεγραμμένα νοερὰ ζῷα ἐγρηγόρησεν, καὶ πρὸς τὸν ἦχον ἐπτύρη, καὶ ἐκινήθη ἔν τε γῇ καὶ θαλάττῃ ἄρρεν καὶ θῆλυ. »

4. Τοιαύτη αὐτοῖς καὶ ἡ ζῳογονία. Τούτοις ἑξῆς ὁ αὐτὸς συγγραφεὺς ἐπιφέρει λέγων· « Ταῦθ' ηὑρέθη ἐν τῇ κοσμογονίᾳ γεγραμμένα Τααύτου καὶ τοῖς ἐκείνου ὑπομνήμασιν, ἔκ τε στοχασμῶν καὶ τεκμηρίων ὧν ἑώρακεν αὐτοῦ ἡ διάνοια καὶ εὗρε καὶ ἡμῖν ἐφώτισεν. »

Ἑξῆς τούτοις ὀνόματα τῶν ἀνέμων εἰπὼν Νότου καὶ Βορέου καὶ τῶν λοιπῶν, ἐπιλέγει· « Ἀλλ' οὗτοί γε πρῶτοι ἀφιέρωσαν τὰ τῆς γῆς βλαστήματα καὶ θεοὺς ἐνόμισαν, καὶ προσεκύνουν ταῦτα, ἀφ' ὧν αὐτοί τε διεγένοντο, καὶ οἱ ἑπόμενοι, καὶ οἱ πρὸ αὐτῶν πάντες, καὶ χοὰς καὶ ἐπιθύσεις ἐποίουν. »

5. Καὶ ἐπιλέγει· « Αὗται δ' ἦσαν αἱ ἐπίνοιαι τῆς προσκυνήσεως ὅμοιαι τῶν αὐτῶν ἀσθενείᾳ καὶ ψυχῆς ἀτολμίᾳ. Εἶτά φησι γεγενῆσθαι ἐκ τοῦ Κολπία ἀνέμου, καὶ γυναικὸς Βάαυ, τοῦτο δὲ νύκτα ἑρμηνεύειν, Αἰῶνα καὶ Πρωτόγονον, θνητοὺς ἄνδρας, οὕτω καλουμένους· εὑρεῖν δὲ τὸν Αἰῶνα τὴν ἀπὸ τῶν δένδρων τροφήν. Ἐκ τούτων τοὺς γενομένους κληθῆναι Γένος καὶ Γενεὰν, καὶ οἰκῆσαι τὴν Φοινίκην· αὐχμῶν δὲ γενομένων τὰς χεῖρας εἰς οὐρανὸν ὀρέγειν πρὸς τὸν ἥλιον. Τοῦτον γὰρ,

---

niathonis interpretationem progreditur, his verbis Phœnicum theologiam edisserens.

2.

Principium universi Philo ponit aerem tenebrosum ac spiritu fœtum, seu mavis tenebrosi aeris flatum ac spiritum, chaosque turbidum altaque caligine circumfusum. Hæc porro infinita esse, nullumque nisi longo sæculorum intervallo terminum habere. « Verum ubi spiritus, inquit, amore principiorum suorum flagrare cœpisset, eumque simul esset mixtio consecuta, nexum hunc mutuum Cupidinem appellarunt. Is quidem rerum omnium procreationis principium fuit. Spiritus vero suam ipsius procreationem minime agnoscebat. Ex hac illius conjunctione prodiit Mot (*v. Mov. l. l.* p. 134); id quod limum nonnulli, alii aquosæ mixtionis putredinem esse volunt, ex qua secutæ productionis semina, ipsaque adeo rerum universarum generatio exstiterit. (2) Ceterum animantia quædam erant omni sensu carentia, quæ postmodum intelligentia præditos animantes procrearunt. Eos illi Zophasemin, hoc est cœli contemplatores, nominarunt, in ovi figuram conformatos. Illico autem Mot cum sole, luna, stellis, ac reliqua majorum astrorum multitudine emicuit. »

Hujusmodi a Phœnicibus mundi ortus ponitur qui omnem plane divinitatem exterminet. Jam qualis ab iisdem invehatur animalium generatio videamus. Sic ergo philosophatur :

3. « Quum igneum splendorem aer emisisset, ex ardenti maris et terrarum inflammatione, venti, nubes, magnoque ruentium impetu cœlestium imbrium ac nimborum effusiones exstitere : quum autem hæc omnia, quæ distincta paullo ante, ac propter vehementiorem solis æstum a propria sede disjuncta fuerant, in eodem rursus aere concurrerent, atque alia cum aliis committerentur; tonitrua simul ac fulgura peperere : quorum ad tonitruum fragorem, descripti antea intellectu præditi animantes velut a somno excitati, horrendoque sonitu exterriti, mares pariter ac feminæ tam in terra quam in mari moveri cœpere. »

4. Ejusmodi est, quæ ab istis somniatur, animalium generatio, quam hæc ejusdem auctoris verba excipiunt : « Hæc in Taauti de mundi ortu commentariis scripta reperta sunt, quæ quidem ipse cum argumentis (*v. Mov.* p. 136) et conjecturis, quas mentis acie perviderat, excogitavit; tum eorum quoque facem nobis lumenque prætulit. »

Mox Austri ac Boreæ ceterorumque ventorum nominibus appositis, ita prosequitur : « At illi omnium primi terræ germina consecrarunt, iisque deorum in loco habitis adorationis cultum tribuerunt, quibus vitam non ipsi modo, sed ipsorum etiam posteri, majoresque omnes tolerarunt, inferiasque ac libamina perfecerunt. »

5. « Atque hæ divini cultus cogitationes, inquit, cum illorum imbecillitate animique angustiis congruebant. Tum scribit, ex Colpia vento atque ejus uxore Baau, quam Græci νύκτα, h. e. noctem, interpretantur, Æonem ac Primogenitum, mortales ambo procreatos, Æonemque sibi ex arboribus petendi auctorem fuisse : qui ab illis geniti sint, eos Genus ac Progeniem appellatos, Phœnicen incoluisse,

φησὶ, θεὸν ἐνόμιζον μόνον οὐρανοῦ κύριον, Βεελσάμην καλοῦντες, ὅ ἐστι παρὰ Φοίνιξι κύριος οὐρανοῦ, Ζεὺς δὲ παρ' Ἕλλησι. »

6. **Μετὰ ταῦτα πλάνην Ἕλλησιν αἰτιᾶται λέγων**· « Οὐ γὰρ ματαίως αὐτὰ πολλαχῶς διεστειλάμεθα, ἀλλὰ πρὸς τὰς αὖθις παρεκδοχὰς τῶν ἐν τοῖς πράγμασιν ὀνομάτων, ἅπερ οἱ Ἕλληνες ἀγνοήσαντες ἄλλως ἐξεδέξαντο, πλανηθέντες τῇ ἀμφιβολίᾳ τῆς μεταφράσεως. »

7. Ἑξῆς φησιν· ἀπὸ Γένους Αἰῶνος καὶ Πρωτογόνου γεννηθῆναι αὖθις παῖδας θνητοὺς, οἷς εἶναι ὀνόματα Φῶς καὶ Πῦρ καὶ Φλόξ. « Οὗτοι, φησὶν, ἐκ παρατριβῆς ξύλων εὗρον πῦρ, καὶ τὴν χρῆσιν ἐδίδαξαν. Υἱοὺς δὲ ἐγέννησαν οὗτοι μεγέθει τε καὶ ὑπεροχῇ κρείσσονας· ὧν τὰ ὀνόματα τοῖς ὄρεσιν ἐπετέθη, ὧν ἐκράτησαν· ὡς ἐξ αὐτῶν κληθῆναι τὸ Κάσσιον, καὶ τὸν Λίβανον καὶ τὸν Ἀντιλίβανον, καὶ τὸ Βραθύ. Ἐκ τούτων, φησὶν, ἐγεννήθησαν Μημροῦμος καὶ ὁ Ὑψουράνιος (*)· ἀπὸ μητέρων δὲ, φησὶν, ἐχρημάτιζον τῶν τότε γυναικῶν ἀνέδην μισγομένων οἷς ἂν ἐντύχοιεν. »

8. Εἶτά φησι τὸν Ὑψουράνιον οἰκῆσαι Τύρον, καλύβας τε ἐπινοῆσαι ἀπὸ καλάμων καὶ θρύων καὶ παπύρου· στασιάσαι δὲ πρὸς τὸν ἀδελφὸν Οὔσωον, ὃς σκέπην τῷ σώματι πρῶτος ἐκ δερμάτων ὧν ἴσχυσε συλλαβεῖν θηρίων εὗρε. Ῥαγδαίων δὲ γενομένων ὄμβρων καὶ πνευμάτων, παρατριβέντα τὰ ἐν τῇ Τύρῳ δένδρα πῦρ ἀνάψαι, καὶ τὴν αὐτόθι ὕλην καταφλέξαι· δένδρου δὲ λαβόμενον τὸν Οὔσωον καὶ ἀποκλαδεύσαντα πρῶτον τολμῆσαι εἰς θάλατταν ἐμβῆναι· ἀνιερῶσαι δὲ δύο στήλας πυρὶ καὶ πνεύματι, καὶ προσκυνῆσαι, αἷμά τε σπένδειν αὐταῖς ἐξ ὧν ἤγρευε θηρίων. Τούτων δὲ τελευτησάντων, τοὺς ἀπολειφθέντας φησὶ ῥάβδους αὐτοῖς ἀφιερῶσαι, καὶ τὰς στήλας προσκυνεῖν, καὶ τούτοις ἑορτὰς ἄγειν κατ' ἔτος. (9) Χρόνοις δὲ ὕστερον πολλοῖς ἀπὸ τῆς Ὑψουρανίου γενεᾶς γενέσθαι Ἀγρέα καὶ Ἁλιέα, τοὺς ἄγρας καὶ ἁλείας εὑρετὰς, ἐξ ὧν κληθῆναι ἀγρευτὰς καὶ ἁλιεῖς· ἐξ ὧν γενέσθαι δύο ἀδελφοὺς, σιδήρου εὑρετὰς καὶ τῆς τούτου ἐργασίας· ὧν θάτερον τὸν Χρυσὼρ λόγους ἀσκῆσαι καὶ ἐπῳδὰς καὶ μαντείας· εἶναι δὲ τοῦτον τὸν Ἥφαιστον, εὑρεῖν δὲ καὶ ἄγκιστρον καὶ δέλεαρ καὶ ὁρμιὰν καὶ σχεδίαν, πρῶτόν τε πάντων ἀνθρώπων πλεῦσαι· διὸ καὶ ὡς θεὸν αὐτὸν μετὰ θάνατον ἐσεβάσθησαν· καλεῖσθαι δὲ αὐτὸν καὶ Δία μειλίχιον. Οἱ δὲ τοὺς ἀδελφοὺς αὐτοῦ τοίχους φασὶν ἐπινοῆσαι ἐκ πλίνθων. Μετὰ ταῦτ' ἐκ τοῦ γένους τούτων γενέσθαι νεανίας δύο, καλεῖσθαι δὲ αὐτῶν τὸν μὲν Τεχνίτην, τὸν δὲ Γήϊνον Αὐτόχθονα. Οὗτοι ἐπε-

(*) Ἐγεννήθησαν Μημροῦμος] ἐγεννήθησα μὴ κροῦμνος cod. E; ἐγεννήθη Σαμημροῦμος D. ἐγεννήθη σαμὴ κροῦμνος F. G. ὁ καὶ Ὑψουράνιος E. F G. *Gaisford*. Cum Boccharto p. 706 videtur legendum : ἐγεννήθη Σαμημροῦμος ὁ καὶ Ὑψουράνιος. Pluralis ἐχρημάτιζον etc. suadet post Ὑψουράνιος excidisse καὶ Οὔσωος, qui tamquam frater Hyps. memoratur paullo post.

---

quumque vehementior æstus urgeret, in cœlum manus ad solem sustulisse. Quippe deum hunc unum cœli moderatorem esse credebant, eumque propterea Beelsamen, i. e. Phœnicum lingua, cœli dominum, Græca vero Δία, i. e. Jovem, nominabant. »

6. Deinceps Græcorum his verbis traducit errorem : « Neque enim sine ratione pluribus ista modis explicate distinguenda putavimus, sed varias hac etiam in parte nominum quæ rebus attribuuntur rationes ac significationes secuti sumus, quæ Græci homines quum ignorarent, alieno sensu accepere, in errorem ambiguitate significationis inducti. »

7. Porro ex Genere Ævi et Primogeniti filio natos ait esse liberos morti similiter obnoxios, eosque Lucis, Ignis et Flammæ nominibus appellatos, qui quum ignem ex mutua lignorum collisione reperissent, ejusdem usum homines docuerint. Iidem filios genuere, qui mole ac proceritate corporis vulgus hominum longe superarent, quorum nomina montibus iis attributa sunt, quos ipsi prius occuparant. Quare montes Cassius, Libanus, Antilibanus et Brathy (*Bratum ap. Plin., i. e. cypressus arbor; v. Mov.* p. 577) ab illis nomen accepere. Ceterum ab iis procreatus est Samemrumus, qui et Hypsuranius, (*et Usous*) : qui a matribus ejusmodi appellationes invenere, mulierculis, inquam, illis, quæ sui copiam eo tempore obvio cuilibet impudentissime faciebant.

8. Jam vero Hypsuranium in insula Tyro domicilium suum collocasse, ac tuguriorum ex calamis cum junco papyroque contextis efficiendorum artem excogitasse, gravesque cum Usoo fratre inimicitias exercuisse tradit. Ac princeps quidem pellibus, quas feris ab se captis detraxerat, corpus tegere Usous instituit : quumque, turbulenta imbrium ventorumque tempestate coorta, ex Tyri arborum collisione ignis exarsisset, arbore, cujus ante ramos amputarat, navigii loco mari sese, nullo licet exemplo, committere ausus est. Geminos quoque cippos quum igni ventoque dedicasset, mox utrique adorationis cultum exhibuit, quosque venando ceperat ferarum sanguinem libavit. Posteaquam autem supremum isti omnes diem obiissent, qui superstites, inquam, remansere, virgas ac cippos in eorum honorem consecratos adorarunt, festosque dies solenni ritu quotannis peregerunt. (9) At vero multis post seculis, ex illius Hypsuranii sobole Venator et Piscator nati sunt, qui piscationis ac venationis artem invenere, ac toti piscatorum venatorumque nationi suum postea nomen indidere. Ab iisdem fratres procreati duo, qui ferrum ac multiplicem ferri usum reperere. Quorum alter Chrysor nomine, quem Vulcanum esse ait, plurimum operæ ac studii partim in eloquentia, partim in incantationibus ac divinandi artibus collocavit. Is etiam hamum atque escam, piscatorum lineam, ac tumultuarias rates invenit, primusque mortalium omnium navigavit. Quamobrem eum quoque post obitum instar dei coluerunt, ipsumque præterea Jovis μειλιχίου (*Melech? v. Movers* p. 326) nomine appellarunt, nec desunt etiam, qui ab ejusdem fratribus struendorum ex lateribus murorum ac parietum rationem excogitatam esse velint. Ab horum posteris geniti adolescentes duo, quorum unus Artifex, alter vero Terrestris Indigena nuncupatus. Hi quisquiliarum cum

νόησαν τῷ πηλῷ τῆς πλίνθου συμμιγνύειν φορυτὸν καὶ τῷ ἡλίῳ αὐτὰς τερσαίνειν, ἀλλὰ καὶ στέγας ἐξεῦρον. (10) Ἀπὸ τούτων ἐγένοντο ἕτεροι, ὧν ὁ μὲν Ἀγρὸς ἐκαλεῖτο, ὁ δὲ Ἀγρούηρος ἢ Ἀγρότης, οὗ καὶ ξόανον εἶναι μάλα σεβάσμιον καὶ ναὸν ζυγοφορούμενον ἐν Φοινίκῃ· παρὰ δὲ Βυβλίοις ἐξαιρέτως θεῶν ὁ μέγιστος ὀνομάζεται. Ἐπενόησαν δὲ οὗτοι αὐλὰς προστιθέναι τοῖς οἴκοις καὶ περιβόλαια καὶ σπήλαια. Ἐκ τούτων ἀγρόται καὶ κυνηγοί. Οὗτοι δὲ καὶ Ἀλῆται καὶ Τιτᾶνες καλοῦνται. (11) Ἀπὸ τούτων γενέσθαι Ἄμυνον καὶ Μάγον, οἳ κατέδειξαν κώμας καὶ ποίμνας. Ἀπὸ τούτων γενέσθαι Μισὼρ καὶ Συδὺκ (al. libr. Συδέκκ, s. Σεδέκ), τούτεστιν εὔλυτον (εὔλογον Toup.) καὶ δίκαιον· οὗτοι τὴν τοῦ ἁλὸς χρῆσιν εὗρον. Ἀπὸ Μισὼρ Τάαυτος, ὃς εὗρε τὴν τῶν πρώτων στοιχείων γραφήν· ὃν Αἰγύπτιοι μὲν Θωὼρ (l. Θωώθ; inversus ordo supra legitur), Ἀλεξανδρεῖς δὲ Θωύθ, Ἕλληνες δὲ Ἑρμῆν ἐκάλεσαν. Ἐκ δὲ τοῦ Συδὺκ Διόσκουροι ἢ Κάβειροι ἢ Κορύβαντες ἢ Σαμοθρᾷκες. Οὗτοι, φησί, πρῶτοι πλοῖον εὗρον. (12) Ἐκ τούτων γεγόνασιν ἕτεροι, οἳ καὶ βοτάνας εὗρον, καὶ τὴν τῶν δακετῶν ἴασιν καὶ ἐπῳδάς. Κατὰ τούτους γίνεταί τις Ἐλιοῦν καλούμενος Ὕψιστος, καὶ θήλεια λεγομένη Βηρούθ, οἳ καὶ κατῴκουν περὶ Βύβλον. Ἐξ ὧν γεννᾶται Ἐπίγειος ἢ Αὐτόχθων, ὃν ὕστερον ἐκάλεσαν Οὐρανόν· ὡς ἀπ' αὐτοῦ καὶ τὸ ὑπὲρ ἡμᾶς στοιχεῖον δι' ὑπερβολὴν τοῦ κάλλους ὀνομάζειν οὐρανόν. (13) Γεννᾶται δὲ τούτῳ ἀδελφὴ ἐκ τῶν προειρημένων, ἣ καὶ ἐκλήθη Γῆ, καὶ διὰ τὸ κάλλος ἀπ' αὐτῆς, φησίν, ἐκάλεσαν τὴν ὁμώνυμον γῆν. Ὁ δὲ τούτων πατὴρ ὁ Ὕψιστος ἐν συμβολῇ θηρίων τελευτήσας ἀφιερώθη, ᾧ χοὰς καὶ θυσίας οἱ παῖδες ἐτέλεσαν. (14) Παραλαβὼν δὲ ὁ Οὐρανὸς τὴν τοῦ πατρὸς ἀρχήν, ἄγεται πρὸς γάμον τὴν ἀδελφὴν Γῆν, καὶ ποιεῖται ἐξ αὐτῆς παῖδας τέσσαρας, Ἦλον τὸν καὶ Κρόνον, καὶ Βαίτυλον, καὶ Δαγών, ὅς ἐστι Σίτων, καὶ Ἄτλαντα. Καὶ ἐξ ἄλλων δὲ γαμετῶν ὁ Οὐρανὸς πολλὴν ἔσχε γενεάν. Διὸ χαλεπαίνουσα ἡ Γῆ τὸν Οὐρανὸν ζηλοτυποῦσα ἐκάκιζεν, ὡς καὶ διαστῆναι ἀλλήλων. (15) Ὁ δὲ Οὐρανὸς ἀποχωρήσας αὐτῆς, μετὰ βίας ὅτε καὶ ἐβούλετο ἐπιὼν καὶ πλησιάζων αὐτῇ, πάλιν ἀπηλλάττετο· ἐπεχείρει δὲ καὶ τοὺς ἐξ αὐτῆς παῖδας διαφθείρειν· τὴν δὲ Γῆν ἀμύνασθαι πολλάκις, συμμαχίαν αὐτῇ συλλεξαμένην· εἰς ἄνδρας δὲ προελθὼν ὁ Κρόνος Ἑρμῇ τῷ τρισμεγίστῳ συμβούλῳ καὶ βοηθῷ χρώμενος, οὗτος γὰρ ἦν αὐτοῦ γραμματεύς, τὸν πατέρα Οὐρανὸν ἀμύνεται, τιμωρῶν τῇ μητρί. (16) Κρόνῳ δὲ γίνονται παῖδες Περσεφόνη καὶ Ἀθηνᾶ. Ἡ μὲν οὖν πρώτη παρθένος ἐτελεύτα· τῇ δὲ Ἀθηνᾶς γνώμῃ καὶ Ἑρμοῦ κατεσκεύασε Κρόνος ἐκ σιδήρου ἅρπην καὶ δόρυ. Εἶτα ὁ Ἑρμῆς τοῖς τοῦ Κρόνου συμμάχοις λόγους μαγείας διαλεχθεὶς πόθον ἐνεποίησε τῆς κατ' Οὐρανοῦ μάχης ὑπὲρ τῆς Γῆς. Καὶ οὕτω Κρόνος τὸν Οὐρανόν, πολέμῳ συμβαλών, τῆς ἀρχῆς ἤλασε, καὶ τὴν βασιλείαν διεδέξατο. Ἑάλω δὲ ἐν τῇ μάχῃ καὶ ἡ ἐπέραστος τοῦ Οὐρανοῦ σύγκοιτος ἐγκύμων οὖσα, ἣν ἐκδίδωσιν ὁ Κρόνος Δαγῶνι πρὸς γάμον. Τίκτει δὲ παρὰ τούτῳ ὃ κατὰ

---

lateritio luto miscendarum, utriusque vero solis calore exsiccandi et tectorum ædibus imponendi auctores fuere. (10) Alios item duos procrearunt, quorum unus Agri, alter Rustici sive Agricolæ nomen accepit. Et huic quidem simulacrum eximio cultu dedicatum est, addito quoque in Phœnice templo, quod ab aliquot jugatorum boum paribus gestabatur. Idem apud Byblios præ ceteris deorum maximus elogio plane singulari nominatur. Ambo præterea construendis ædibus non solum atria, verum etiam ducta in orbem septa cum speluncis addidere. Ab iis tam agricolarum quam venatorum, qui canibus uterentur, genus propagatum. Iisdem Erronum ac Titanum attributum nomen. (11) Filios reliquere Amynum et Magum, quibus villarum gregumque alendorum rationes feruntur acceptæ. Ex istis nati Misor ac Sydyc, hoc est solutu facilis ac justus, qui salis usum reperere. Misor filium Taautum habuit, primorum in scribendo elementorum inventorem quem Ægyptii Thoor (*Thooth*), Alexandrini Thoyt, Græci Mercurium nominarunt. Ex Sydyc vero Dioscuri seu Cabiri seu Corybantes seu denique Samothraces originem accepere. Hos quoque navigium primos excogitasse ferunt. (12) Ab iis procreati alii, qui non herbas modo, sed etiam venenatorum morsuum curationem et incantationes invenere. Eorundem ætate natus est Eliun quidam nomine Altissimus, itemque femina Beruth appellata. Hi loca Byblo vicina tenuerunt ac Terrestrem quendam sive Indigenam Cœlum postea nuncupatum genuere, a quo etiam illud sublime elementum, quod supra nos volvitur, propter eximiam pulchritudinis ac formæ speciem cœlum vocarunt. (13) Is sororem habuit iisdem parentibus natam, cui nomen Terra, quod propter singularem ejus corporis venustatem cum ea, quam terram vocamus, postea communicarunt. Parens autem illorum Altissimus, quum ferarum congressione periisset, deorum in numerum est relatus, quem libationibus ac sacrificiis liberi coluere. (14) At Cœlus ubi paternum in imperium successisset, Terram sororem matrimonio secum junxit, ex eaque liberos quattuor suscepit, Elum, qui Saturnus dictus est, Bætylum, Dagonem, qui Sito, hoc est frumenti præses, nominatur, et Atlantem. Ex aliis autem uxoribus ingentem liberorum multitudinem genuit, id quod adeo grave et acerbum Terræ accidit, ut zelotypia vehementiore succensa, abs Cœlo multis ante probris onerato divortium fecerit. (15) Cœlus autem, etsi ab ea discesserat, vi tamen quoties libitum erat, eadem oppressa, domum sese denuo recipiebat. Verum quod susceptos ex ipsa filios interficere conaretur, Terra, convocatis auxiliaribus copiis, ejus impetum sæpe propulsabat. Interea Saturnus, ubi virilem ætatem attigisset, Mercurii Trismegisti, qui ipsi a tabulis et codicillis erat, consilio atque opibus, maternas ulturus injurias, Cœlo patri sese acriter objecit. (16) Idem liberos procreavit Proserpinam et Minervam; ac prior quidem virgo diem obiit, Minerva autem Mercurioque auctoribus, Saturnus falcem ex ferro hastamque conflavit. Tum Mercurius Saturni sociis vehemens contra Cœlum pro Terra dimicandi studium magicis cantionibus injecit. Saturnus igitur, his instructus copiis, bellum cum patre committit, eoque imperii finibus ejecto,

γαστρὸς ἐξ Οὐρανοῦ ἔφερεν, ὃ καὶ ἐκάλεσε Δημαροῦν. (17) Ἐπὶ τούτοις ὁ Κρόνος τεῖχος περιβάλλει τῇ ἑαυτοῦ οἰκήσει, καὶ πόλιν πρώτην κτίζει τὴν ἐπὶ Φοινίκης Βύβλον. Μετὰ ταῦτα τὸν ἀδελφὸν τὸν ἴδιον Ἄτλαντα ὑπονοήσας ὁ Κρόνος, μετὰ γνώμης τοῦ Ἑρμοῦ εἰς βάθος γῆς ἐμβαλὼν κατέχωσε. Κατὰ τοῦτον τὸν χρόνον οἱ ἀπὸ τῶν Διοσκούρων σχεδίας καὶ πλοῖα συνθέντες ἔπλευσαν· καὶ ἐκριφέντες κατὰ τὸ Κάσσιον ὄρος ναὸν αὐτόθι ἀφιέρωσαν. (18) Οἱ δὲ σύμμαχοι Ἤλου τοῦ Κρόνου Ἐλοεὶμ ἐπεκλήθησαν, ὡς ἂν Κρόνιοι οὗτοι ἦσαν οἱ λεγόμενοι ἐπὶ Κρόνου. Κρόνος δὲ υἱὸν ἔχων Σάδιδον ἰδίῳ αὐτὸν σιδήρῳ διεχρήσατο, δι' ὑπονοίας αὐτὸν ἐσχηκὼς, καὶ τῆς ψυχῆς, αὐτόχειρ τοῦ παιδὸς γενόμενος, ἐστέρησεν. Ὡσαύτως καὶ θυγατρὸς ἰδίας τὴν κεφαλὴν ἀπέτεμεν· ὡς πάντας ἐκπεπλῆχθαι θεοὺς τὴν Κρόνου γνώμην. (19) Χρόνου δὲ προϊόντος Οὐρανὸς ἐν φυγῇ τυγχάνων, θυγατέρα αὐτοῦ παρθένον Ἀστάρτην μεθ' ἑτέρων ἀδελφῶν αὐτῆς δύο, Ῥέας καὶ Διώνης, δόλῳ τὸν Κρόνον ἀνελεῖν ὑποπέμπει· ἃς καὶ ἑλὼν ὁ Κρόνος κουριδίας γαμετὰς ἀδελφὰς οὔσας ἐποιήσατο. Γνοὺς δὲ Οὐρανὸς ἐπιστρατεύει κατὰ τοῦ Κρόνου Εἱμαρμένην καὶ Ὥραν μεθ' ἑτέρων συμμάχων, καὶ ταύτας ἐξοικειωσάμενος ὁ Κρόνος παρ' ἑαυτῷ κατέσχεν. Ἔτι δὲ, φησὶν, ἐπενόησε θεὸς Οὐρανὸς Βαιτύλια, λίθους ἐμψύχους μηχανησάμενος. (20) Κρόνῳ δὲ ἐγένοντο ἀπὸ Ἀστάρτης θυγατέρες ἑπτὰ Τιτανίδες ἢ Ἀρτέμιδες. Καὶ πάλιν τῷ αὐτῷ γίνονται ἀπὸ Ῥέας παῖδες ἑπτὰ, ὧν ὁ νεώτατος ἅμα τῇ γενέσει ἀφιερώθη· καὶ ἀπὸ Διώνης θήλειαι, καὶ ἀπὸ Ἀστάρτης πάλιν ἄρρενες δύο, Πόθος καὶ Ἔρως. Ὁ δὲ Δαγὼν, ἐπειδὴ εὗρε σῖτον καὶ ἄροτρον, ἐκλήθη Ζεὺς Ἀρότριος. Συδύκῳ δὲ, τῷ λεγομένῳ δικαίῳ, μία τῶν Τιτανίδων συνελθοῦσα γεννᾷ τὸν Ἀσκληπιόν. (21) Ἐγεννήθησαν δὲ καὶ ἐν Περαίᾳ Κρόνῳ τρεῖς παῖδες, Κρόνος ὁμώνυμος τῷ πατρὶ, καὶ Ζεὺς Βῆλος καὶ Ἀπόλλων. Κατὰ τούτους γίνονται Πόντος καὶ Τυφὼν καὶ Νηρεὺς, πατὴρ Πόντου. Ἀπὸ δὲ τοῦ Πόντου γίνεται Σιδὼν, ἣ καθ' ὑπερβολὴν εὐφωνίας πρώτη ὕμνον ᾠδῆς εὗρε, καὶ Ποσειδῶν. (22) Τῷ δὲ Δημαροῦντι γίνεται Μελκάθρος, ὁ καὶ Ἡρακλῆς. Εἶτα πάλιν Οὐρανὸς πολεμεῖ Πόντῳ, καὶ ἀποστὰς Δημαροῦντι προστίθεται· ἔπεισί τε Πόντῳ ὁ Δημαροῦς, τροποῦταί τε αὐτὸν ὁ Πόντος. Ὁ δὲ Δημαροῦς φυγῆς θυσίαν ηὔξατο. Ἔτει δὲ τριακοστῷ δευτέρῳ τῆς ἑαυτοῦ κρατήσεως καὶ βασιλείας, ὁ Ἦλος, τοῦτ' ἐστὶν ὁ Κρόνος, Οὐρανὸν τὸν πατέρα λοχήσας ἐν τόπῳ τινὶ μεσογείῳ, καὶ λαβὼν ὑποχείριον, ἐκτέμνει αὐτοῦ τὰ αἰδοῖα, σύνεγγυς πηγῶν τε καὶ ποταμῶν. Ἔνθα ἀφιερώθη Οὐρανὸς, καὶ ἀπηρτίσθη αὐτοῦ τὸ πνεῦμα καὶ ἀπέσταξεν αὐτοῦ τὸ αἷμα τῶν αἰδοίων εἰς τὰς πηγὰς καὶ τῶν ποταμῶν τὰ ὕδατα, καὶ μέχρι τούτου δείκνυται τὸ χωρίον. »

23. Τοσαῦτα μὲν δὴ τὰ τοῦ Κρόνου καὶ τοιαῦτά γε τὰ σεμνὰ τοῦ παρ' Ἕλλησι βοωμένου βίου τῶν ἐπὶ Κρόνου, οὓς καί φασι γεγονέναι πρῶτον χρύσεόν τε γένος μερόπων ἀνθρώπων, τῆς μακαριζομένης ἐκείνης τῶν παλαιῶν εὐδαιμονίας. Πάλιν ὁ συγγραφεὺς τούτοις ἐπιφέρει μεθ' ἕτερα λέγων·

---

regnum capessit. Hoc in certamine captà Cœli concubina, cujus ille singulari amore flagrabat. Eam Saturnus Dagoni in uxorem dedit, apud quem susceptum ex Cœlo fœtum enixa Demaroontem nominavit. (17) Tum vero Saturnus sedes suas muro cingit, Byblumque condit urbem Phœniciæ principem. Mox Atlantem fratrem, quod eum suspectum haberet, suadente Mercurio alta terra defossum obruit. Per idem ferme tempus Dioscurorum nepotes quum tumultuariis ratibus navigiisque conflatis navigarent, ad Cassium montem ejecti templum eo loco dedicarunt. (18) Jam vero socios Eli, qui Saturnus idem erat, Eloim quasi Saturnios appellarunt, qui ejusdem Saturni æquales etiam dicebantur. Porro Sadidum filium Saturnus, quod secus aliquid de illo suspicaretur, gladio suo jugulavit, manusque paternas exstincti sanguine cruentavit, ac paulo post filiam quoque suam capite truncavit, ut reliqui omnes dii hanc Saturni mentem penitus obstupescerent. (19) At Cœlus quum interim exularet, post aliquod temporis intervallum Astarten filiam virginem cum duabus aliis sororibus, Rhea nimirum ac Dione, summisit, quæ Saturnum fraude insidiisque tollerent. Verum Saturnus amore blanditiisque captas sorores ambas secum matrimonio copulavit. Quod ubi Cœlus audiisset, Fatum ac Pulchritudinem cum aliis sociis adversus eum expeditionem suscipere jussit, quam pariter utramque Saturnus illecebris delinitam apud se retinuit. Præterea Cœlus, inquit, deus Bætylia reperit, animatos lapides insolenti arte molitus. (20) Ceterum Astarte filias septem Titanidas sive Dianas Saturno peperit, simulque Rhea totidem filios, quorum postremus, ut primum lucem aspexit, consecratus est. Quin etiam ex Dione quidem puellas, ex Astarte vero mares præterea duos Cupidinem Amoremque suscepit. Dagon autem, quod frumentum et aratrum invenisset, Aratrius Juppiter nuncupatus est. Sydyco, quem justum interpretamur, una ex Titanidis, Æsculapium peperit. (21) Saturno præterea liberi tres in Peræa nati, Saturnus ejusdem cum patre nominis, Juppiter Belus, et Apollo. His propemodum æquales Pontus, Typho et Nereus Ponti pater. Ex Ponto Neptunus et Sido nascuntur. Sidonis autem ea suavitas et elegantia vocis erat, ut hymni modulate canendi artem princeps inveniret. (22) A Demaroonte Melcathrus (*Melcarthus; Melicarthus*), qui et Hercules, procreatur : moxque Cœlus ad Demaroontis sese partes adjungens, Ponto a quo defecerat, denuo bellum movet. At Pontus Demaroontem, qui magno impetu suos in fines incubuerat, in fugam vertit; ille autem felicis fugæ gratia sacrificium vovit. Porro Saturnus anno occupati regni altero supra tricesimum, ubi Cœlum patrem mediterraneo quodam in loco structis insidiis captum in potestatem habuisset, verenda ipsi juxta fontes fluviosque amputavit : quo loco Cœlus idem postea consecratus est. Tum vero dispertitus ejus ac dissipatus spiritus est, et sanguis e vulnere defluens in vicinorum fontium ac fluviorum aquas distillavit et locus etiamnum ostenditur. »

23. Hæc sunt quum Saturni, tum eorum quæ Saturni ætate vixerunt, decantati a Græcis ævi laudes egregiæ, quos etiam princeps atque aureum hominum articulatæ

24. « Ἀστάρτη δὲ ἡ μεγίστη καὶ Ζεὺς Δημαροῦ καὶ Ἄδωδος βασιλεὺς θεῶν ἐβασίλευον τῆς χώρας Κρόνου γνώμῃ. Ἡ δὲ Ἀστάρτη ἐπέθηκε τῇ ἰδίᾳ κεφαλῇ βασιλείας παράσημον κεφαλὴν ταύρου· περινοστοῦσα δὲ τὴν οἰκουμένην εὗρεν ἀεροπετῆ ἀστέρα, ὃν καὶ ἀνελομένη ἐν Τύρῳ τῇ ἁγίᾳ νήσῳ ἀφιέρωσε. Τὴν δὲ Ἀστάρτην Φοίνικες τὴν Ἀφροδίτην εἶναι λέγουσι. Καὶ ὁ Κρόνος δὲ περιιὼν τὴν οἰκουμένην Ἀθηνᾷ τῇ ἑαυτοῦ θυγατρὶ δίδωσι τῆς Ἀττικῆς τὴν βασιλείαν. Λοιμοῦ δὲ γενομένου καὶ φθορᾶς, τὸν ἑαυτοῦ μονογενῆ υἱὸν Κρόνος Οὐρανῷ τῷ πατρὶ ὁλοκαρποῖ (l. ὁλοκαυτοῖ), καὶ τὰ αἰδοῖα περιτέμνεται, ταὐτὸ ποιῆσαι καὶ τοὺς ἅμ' αὐτῷ συμμάχους καταναγκάσας. Καὶ μετ' οὐ πολὺ ἕτερον αὐτοῦ παῖδα ἀπὸ Ῥέας ὀνομαζόμενον Μοὺθ ἀποθανόντα ἀφιεροῖ. Θάνατον δὲ τοῦτον καὶ Πλούτωνα Φοίνικες ὀνομάζουσι. (25) Καὶ ἐπὶ τούτοις ὁ Κρόνος Βύβλον μὲν τὴν πόλιν τῇ θεᾷ Βααλτίδι, τῇ καὶ Διώνῃ, δίδωσι, Βηρυτὸν δὲ Ποσειδῶνι καὶ Καβείροις Ἀγρόταις τε καὶ Ἁλιεῦσιν, οἱ καὶ τὰ τοῦ Πόντου λείψανα εἰς τὴν Βηρυτὸν ἀφιέρωσαν. Πρὸ δὲ τούτων θεὸς Τάαυτος (Ταυθὸς Gsfd.) μιμησάμενος τὸν οὐρανὸν τῶν θεῶν (μιμ. τῶν συνόντων θεῶν Gsfd. e 5 codd. τῶν οὐρανοέντων s. οὐρανιώνων?) ὄψεις, Κρόνου τε καὶ Δαγῶνος καὶ τῶν λοιπῶν, διετύπωσε τοὺς ἱεροὺς στοιχείων χαρακτῆρας. (26) Ἐπενόησε δὲ καὶ τῷ Κρόνῳ παράσημα βασιλείας, ὄμματα τέσσαρα ἐκ τῶν ἐμπροσθίων καὶ ὀπισθίων μερῶν, δύο δὲ ἡσυχῇ μύοντα, καὶ ἐπὶ τῶν ὤμων πτερὰ τέσσαρα, δύο μὲν ὡς ἱπτάμενα, δύο δὲ ὡς ὑφειμένα. Τὸ δὲ σύμβολον ἦν, ἐπειδὴ Κρόνος κοιμώμενος ἔβλεπε καὶ ἐγρηγορὼς ἐκοιμᾶτο· καὶ ἐπὶ τῶν πτερῶν ὁμοίως, ὅτι ἀναπαυόμενος ἵπτατο καὶ ἱπτάμενος ἀνεπαύετο. Τοῖς δὲ λοιποῖς θεοῖς δύο ἑκάστῳ πτερώματα ἐπὶ τῶν ὤμων, ὡς ὅτι δὴ συνίπταντο τῷ Κρόνῳ. Καὶ αὐτῷ δὲ πάλιν ἐπὶ τῆς κεφαλῆς πτερὰ δύο· ἓν ἐπὶ τοῦ ἡγεμονικωτάτου νοῦ, καὶ ἓν ἐπὶ τῆς αἰσθήσεως. (27) Ἐλθὼν δὲ ὁ Κρόνος εἰς νότου χώραν, ἅπασαν τὴν Αἴγυπτον ἔδωκε θεῷ Τααύτῳ (Ταυθῷ Gsfd. hic et in sqq.); ὅπως βασίλειον αὐτῷ γένηται. Ταῦτα δέ, φησί, πρῶτοι πάντων ὑπομνηματίσαντες οἱ ἑπτὰ Συδὲκ παῖδες Κάβειροι, καὶ ὁ ἴδιος (al. καὶ ὄγδοος) αὐτῶν ἀδελφὸς Ἀσκληπιός, ὡς αὐτοῖς ἐνετείλατο θεὸς Τάαυτος. Ταῦτα πάντα ὁ Θαβίων, ὃς πάμπρωτος τῶν ἀπ' αἰῶνος γεγονότων Φοινίκων ἱεροφάντης ἀλληγορήσας, τοῖς τε φυσικοῖς καὶ κοσμικοῖς πάθεσιν ἀναμίξας, παρέδωκε τοῖς ὀργεῶσι καὶ τελετῶν κατάρχουσι προφήταις· οἱ δὲ τὸν τῦφον αὔξειν ἐκ παντὸς ἐπινοοῦντες, τοῖς αὐτῶν διαδόχοις παρέδωκαν καὶ τοῖς ἐπεισάκτοις· ὧν εἷς ἦν καὶ Εἰσίριος (1), τῶν τριῶν γραμμάτων εὑρετής, ἀδελφὸς Χνᾶ τοῦ [πρώτου] μετονομασθέντος Φοίνικος. »

28. Εἶθ' ἑξῆς αὖθις ἐπιλέγει· « Οἱ δὲ Ἕλληνες, εὐφυίᾳ πάντας ὑπερβαλλόμενοι, τὰ μὲν πρῶτα πλεῖστα ἐξιδιώσαντο, εἶτα καὶ τοῖς προκοσμήμασι ποικίλως ἐξετραγῴδησαν, ταῖς τε τῶν μύθων ἡδοναῖς θέλγειν

(1) ὧν εἷς ἦν καὶ εισιριος A. ὧν εἷς ἔτι καὶ C. εἷς ἔτι καὶ D. E. F. G. εἷς ἴριος H. ὧν εἷς ἦν καὶ Ἴσιρις Steph. ὧν εἷς ἦν Ἴσιρις Viger. γρ. ἶρις S. καὶ ἴριος V. » *Gaisfd.*

loquentium genus, ob jactatam illam veterum felicitatem nuncupare solent. Verum noster hic scriptor interjectis quibusdam ita prosequitur :

24. « Astarte vero, quæ maxima nominatur, Juppiter Demaroon et rex deorum Adodus in ea regione Saturno consentiente regnarunt. Astarte capiti suo, tanquam insigne regni, tauri caput imposuit : quumque terrarum orbem peragraret, lapsam de cœlo stellam reperit eamque in Tyro sancta insula consecravit. Ceterum hanc ipsam Astarten Phœnices Venerem esse memorant. At vero Saturnus, dum orbem lustrat universum, Minervæ filiæ totius Atticæ regnum tradit, ac diræ pestilentiæ inclementia exitioque commotus, filium, quem unum ex legitima uxore susceperat, Cœlo patri totum flammis consumptum immolat, tum sibi ipsa verenda circumscindit, sociosque omnes ad simile factum per vim adigit : nec multo post Muth filium, quem ex Rhea genuerat, vita functum consecrat, quem Phœnices modo Mortem, modo Plutonem appellant. (25) Deinde Saturnus Byblum urbem deæ Baaltidi, quæ etiam Dione vocabatur, Neptuno autem et Cabiris, Agricolis item et Piscatoribus Berytum dono dedit, ubi Ponti reliquias iidem consecrarunt. Ante hos vero Taautus deus, cœlestium deorum, Saturni, Dagonis reliquorumque vultus imitatus sacros signorum characteres expressit. (26) Quin etiam insigne regni Saturno ejusmodi excogitavit, oculos in vultu binos ac totidem in occipite, quorum duo placide connivere ac nictare viderentur : alas item singulis in humeris geminas, ex quibus explicatæ duæ, duæ vero contractæ ac demissæ forent. Atque oculorum symbolo significatum volebat Saturnum et dormiendo cernere et dormire vigilando ; alarum autem, et volare quiescendo et volando quiescere : ceteris autem diis alas in humeris duas tantum attribuit, quippe qui Saturnum ipsum volando sequerentur. Ad ejusdem Saturni caput alas propterea geminas affinxit, quarum altera mentis principatum, altera sentiendi vim indicaret. (27) Saturnus autem quum in Meridiem venisset, Taautum deum Ægypti universæ regem creavit. Atque hæc principes omnium, inquit, Cabiri septem liberi Sydyk cum Æsculapio fratre octavo, ipsiusmet Taauti jussu in commentarios tabulasque retulerant. Thabion autem, primus apud Phœnices ex omni memoria sacrorum interpres, eadem allegoriis quibusdam interpretatus cum rerum naturalium et eorum, quæ passim hoc in mundo contingunt, affectionibus conjungens, prophetis orgia celebrantibus et sacrificiorum mysteriorumque principibus tradidit. Qui deinceps inanem hanc ostentationem, quam omni spe omnique studio augere conati erant, suis quoque successoribus et initiatis reliquere. Horum unus Isiris quidam fuit, trium literarum inventor, frater illius Chnæ, qui primus postea Phœnix vocatus est. »

28. Quibus postea hæc subjicit (Philo) : « At vero Græci, homines præ ceteris gentibus politi admodum et elegantis ingenii, primum quidem istorum pleraque sibi tanquam propria vindicarunt : sed quum aures atque animos fabularum voluptate permulcere vellent, novis eadem ac multi-

ἐπινοοῦντες παντοίως ἐποίκιλλον. Ἔνθεν Ἡσίοδος οἵ τε κυκλικοὶ περιηχημένοι θεογονίας καὶ γιγαντομαχίας καὶ Τιτανομαχίας ἔπλασαν ἰδίας καὶ ἐκτομάς, οἷς συμπεριφερόμενοι ἐξενίκησαν τὴν ἀλήθειαν. Σύντροφοι δὲ τοῖς ἐκείνων πλάσμασιν αἱ ἀκοαὶ ἡμῶν γενόμεναι, καὶ προληφθεῖσαι πολλοῖς αἰῶσιν, ὡς παρακαταθήκην φυλάσσουσιν, ἣν παρεδέξαντο μυθοποιίαν, καθάπερ καὶ ἀρχόμενος εἶπον, ἥτις συνεργηθεῖσα χρόνῳ δυσεξίτητον τὴν κατοχὴν αὐτοῖς εἴργασται, ὥστε τὴν μὲν ἀλήθειαν δοκεῖν λῆρον, τὸ δὲ τῆς ἀφηγήσεως νόθον, ἀλήθειαν. »

29. Ταῦτα ἀπὸ τῆς Σαγχουνιάθωνος προκείσθω γραφῆς, ἑρμηνευθείσης μὲν ἀπὸ Φίλωνος τοῦ Βυβλίου, δοκιμασθείσης δὲ ὡς ἀληθοῦς ὑπὸ τῆς Πορφυρίου τοῦ φιλοσόφου μαρτυρίας.

3.

Porphyrius De abstin. II, 56, et ex eo Euseb. IV, 16, p. 156, A : Φοίνικες δὲ ἐν ταῖς μεγάλαις συμφοραῖς ἢ πολέμων ἢ αὐχμῶν ἢ λοιμῶν ἔθυον τῶν φιλτάτων τινὰ ἐπιψηφίζοντες Κρόνῳ. Καὶ πλήρης γε ἡ Φοινικικὴ ἱστορία τῶν θυσάντων, ἣν Σαγχουνιάθων μὲν τῇ Φοινίκων γλώττῃ συνέγραψε, Φίλων δὲ ὁ Βύβλιος εἰς τὴν Ἑλλάδα γλῶσσαν δι' ὀκτὼ βιβλίων ἡρμήνευσεν.

Novem libri erant sec. Euseb. (fr. 1). Quorum primus introductione, ut videtur, absumptus, reliqui octo Sanchoniathonis narrationem exhibuere.

4.

Eusebius Pr. Ev. IV, 16, p. 156, D : Ἐκ δὲ τοῦ πρώτου συγγράμματος τῆς Φίλωνος Φοινικικῆς ἱστορίας παραθήσομαι ταῦτα· « Ἔθος ἦν τοῖς παλαιοῖς ἐν ταῖς μεγάλαις συμφοραῖς τῶν κινδύνων ἀντὶ τῆς πάντων φθορᾶς τὸ ἠγαπημένον τῶν τέκνων τοὺς κρατοῦντας ἢ πόλεως ἢ ἔθνους εἰς σφαγὴν ἐπιδιδόναι λύτρον τοῖς τιμωροῖς δαίμοσι· κατεσφάττοντο δὲ οἱ διδόμενοι μυστικῶς. Κρόνος τοίνυν, ὃν οἱ Φοίνικες Ἦλ προσαγορεύουσι, βασιλεύων τῆς χώρας, καὶ ὕστερον μετὰ τὴν τοῦ βίου τελευτὴν εἰς τὸν τοῦ Κρόνου ἀστέρα καθιερωθείς, ἐξ ἐπιχωρίας νύμφης Ἀνωβρὲτ λεγομένης υἱὸν ἔχων μονογενῆ, ὃν διὰ τοῦτο Ἰεοὺδ ἐκάλουν, τοῦ μονογενοῦς οὕτως ἔτι καὶ νῦν καλουμένου παρὰ τοῖς Φοίνιξι, κινδύνων ἐκ πολέμου μεγίστων κατειληφότων τὴν χώραν, βασιλικῷ κοσμήσας σχήματι τὸν υἱὸν βωμόν τε κατασκευασάμενος κατέθυσε. »

5.

Euseb. Pr. Ev. I, 10, p. 40, A : Ὁ δ' αὐτὸς (sc. Φίλων) ἐν τῷ Περὶ τῶν Ἰουδαίων συγγράμματι ἔτι καὶ ταῦτα περὶ τοῦ Κρόνου γράφει·

« Τάαυτος (Ταυθὸς Gsfd.), ὃν Αἰγύπτιοι Θὼθ (Θωὺθ Gsfd. ex 2 codd.) προσαγορεύουσι, σοφίᾳ διενεγκὼν παρὰ τοῖς Φοίνιξι, πρῶτος τὰ κατὰ τὴν θεοσέβειαν ἐκ τῆς τῶν χυδαίων ἀπειρίας εἰς ἐπιστημονικὴν ἐμπειρίαν διέταξεν. Ὧ μετὰ γενεὰς πλείους θεὸς Σουρμουβηλὸς Θουρώ τε, ἡ μετονομασθεῖσα Χούσαρθις (Εὔσαρθις Gaisf. ex 4 codd.), ἀκολουθήσαντες, κεκρυμμένην τοῦ Τααύτου καὶ ἀλληγορίαις ἐπεσκιασμένην τὴν θεολογίαν ἐφώτισαν. »

Καὶ μετὰ βραχέα φησίν·

« Ἔθος ἦν τοῖς παλαιοῖς ἐν ταῖς μεγάλαις συμφοραῖς

---

plicibus postea commentorum, quasi ornamentorum, accessionibus supra modum exaggerarunt. Atque hinc Hesiodus et poetæ cyclici, quorum fabellis omnia circumsonant, propria sibi quædam Gigantum ac Titanum certamina sectionesque (*v. Welcker. Cycl. p.* 95) confinxere. Quæ quum illi passim et ubique jactarent, veritatem ipsam oppresserunt Aures vero nostræ jam inde ab infantia illorum fictionibus assuetæ, et opinionibus per multa secula propagatis occupatæ, quam semel accepere fabularum vanitatem, perinde ac depositum aliquod, ut statim ab initio dixi, custodiunt, quod ab ipso tempore vires ac robur acceperit, possessionemque ita confirmavit suam, ut eam excutere longe difficillimum sit, jamque veritas ipsa nugarum, adulterinæ vero ac spuriæ narrationes loco veritatis habeantur. »

29. Verum satis ista sunto, quæ ex Sanchoniathonis operibus hucusque retulimus, quæ quum a Philone Byblio conversa græceque reddita sunt, tum Porphyrii philosophi testimonio tanquam vera comprobantur.

3.

Phœnices in magnis calamitatibus vel belli vel siccitatis vel pestilentiæ ex carissimis aliquem Saturno sacrificandum destinabant. Multaque ejusmodi sacrificiorum exempla præbet Phœnicia historia, quam Phœnicum lingua Sanchoniatho conscripsit, Philo Byblius vero græce per octo libros interpretatus est.

4.

E libro primo Historiæ Phœniciæ Philonis apponam hæc: « Mos erat apud veteres in magnis calamitatibus eos penes quos aut civitatis aut gentis imperium esset, ut publicum cunctorum exitium redimerent, ad sacrificium aliquos diis infestis devovere. Hi vero mysticis cæremoniis mactabantur. Saturnus igitur, quem Phœnices *El* vocant, rex regionis, et post obitum in astrum ejus nominis consecratus, e puella indigena, cui Anobret nomen, filium habens unigenam, quem propterea *Jeud* nominabant (quæ vox etiamnunc apud Phœnices *unigenam* significat), periculis gravissimis ex bello regioni imminentibus, hunccе filium regio cultu ornatum ad aram ad hoc exstructam immolavit. »

5.

Idem Philo in eo libro, quem de Judæis scriptum reliquit, hæc præterea de Saturno commemorat :

« Taautus ille, quem Thoth Ægyptii vocant, quum magna apud Phœnices sapientiæ laude floreret, quæ ad religionem cultumque deorum pertinebant, primus ex humilium ac plebeiorum capitum inscientia vindicata, accommodato ad scientiæ leges ordine exposuit. Cui quum Surmubelus deus et Thuro, quæ mutato nomine Chusarthis appellata, longo ævorum intervallo successissent, occultam ipsius et allegoriarum involutam umbris theologiam illustrarunt. » Idem paullo post dicit :

« Hoc apud veteres in more positum erat, ut in summis

τῶν κινδύνων ἀντὶ τῆς πάντων φθορᾶς τὸ ἀγαπημένον τῶν τέκνων τοὺς κρατοῦντας ἢ πόλεως ἢ ἔθνους εἰς σφαγὴν ἐπιδιδόναι, λύτρον τοῖς τιμωροῖς δαίμοσι. Κατεσφάττοντο δὲ οἱ διδόμενοι μυστικῶς. »

« Κρόνος τοίνυν, ὃν οἱ Φοίνικες Ἦλον (vgo Ἰσραήλ. V. Gsfd.) προσαγορεύουσι, βασιλεύων τῆς χώρας, καὶ ὕστερον μετὰ τὴν τοῦ βίου τελευτὴν εἰς τὸν τοῦ Κρόνου ἀστέρα καθιερωθεὶς ἐξ ἐπιχωρίας νύμφης Ἀνωβρὲτ λεγομένης υἱὸν ἔχων μονογενῆ (ὃν διὰ τοῦτο Ἰεδοὺδ [al. Ἱρουδ s. Ἱεούδ] ἐκάλουν, τοῦ μονογενοῦς οὕτως ἔτι καὶ νῦν καλουμένου παρὰ τοῖς Φοίνιξι,) κινδύνων ἐκ πολέμου μεγίστων κατειληφότων τὴν χώραν, βασιλικῷ κοσμήσας σχήματι τὸν υἱὸν βωμόν τε κατασκευάσας ἄσμενος κατέθυσε. »

Priorem hujus fragmenti partem usque ad verba διδόμενοι μυστικῶς Moversius (l. l. p. 118) non tam Philoni vindicandam censet, quam Porphyrio (ex qua sua hausit Eusebius); verum inde a Κρόνος τοίνυν ipsissima verba Philonis afferri. — Ceterum ex fragm. 4 colligas Philonis σύγγραμμα περὶ Ἰουδαίων partem Phœnicicæ historiæ fuisse : modo recte se titulus habeat. Nam proclivis suspicio est, caput hoc Phœnicicæ historiæ inscriptum fuisse : Περὶ τῶν Ἰεουδαίων : eumque titulum confusum esse cum alio Philonis opere Περὶ Ἰουδαίων, ad quod sequens pertinet fragmentum.

6.

Origenes C. Celsum I, 15, p. 334 ed. Ben. : Ἑκαταίου τοῦ ἱστορικοῦ φέρεται περὶ Ἰουδαίων βιβλίον, ἐν ᾧ προστίθεται μᾶλλον ὡς σοφῷ τῷ ἔθνει ἐπὶ τοσοῦτον ὡς καὶ Ἑρέννιον Φίλωνα ἐν τῷ Περὶ Ἰουδαίων συγγράμματι πρῶτον μὲν ἀμφιβάλλειν, εἰ τοῦ ἱστορικοῦ ἐστι τὸ σύγγραμμα, δεύτερον δὲ λέγειν, ὅτι, εἴπερ ἐστὶν αὐτοῦ, εἰκὸς αὐτὸν συνηρπάσθαι ὑπὸ τῆς παρὰ Ἰουδαίοις πιθανότητος καὶ συγκατατεθεῖσθαι αὐτῷ (αὐτῶν?) τῷ λόγῳ. Cf. fragm. Hecat. Abderit.

E PHOENICICON LIBRO SECUNDO.

7.

Joh. Lydi De mens. ed. Hase p. 274 : Οἱ δὲ Φοίνι]κες κατὰ τ[ὸν τῆ]ς ὁμωνυμίας [τρόπον, εἴτε κατ]ά τινα ἀ[λληγορ]ίαν, ἄλλως πως περὶ Κρόνου ἔχου[σιν, ὡς ἐκ τῆ]ς δευτέρας τῶν [Φο]ινικικῶν τοῦ Ἑρεννίου Φίλωνος [ἔστι λαβεῖ]ν· καὶ βασιλεῦσαι δὲ αὐτὸν ἡ ἱστορία πα[ρα]δίδωσιν, [ὡς ἔμπρο]σθεν ἀφηγησάμην, κ[ατά] τε τὴν Λιβύην καὶ Σικελίαν, [οἰκίσαι τε τοὺς τό]πους, καὶ [πόλ]ιν κτίσαι, ὡς ὁ Χάραξ φησὶ τ[ὴν τότε μὲν λεγ]ομένην Κρονίαν, νῦν δὲ Ἱερὰν πόλιν, ὡ[ς Ἰ]σίγον[ος περὶ Ἑλλην]ικῶν θεῶν, καὶ Πολέμων καὶ Αἰσχύλος ἐν τῇ Αἴτνῃ π[αραδιδόασιν.

8.

Steph. Byz. : Νίσιβις, πόλις ἐν τῇ Περαίᾳ τῇ πρὸς τῷ Τίγρητι ποταμῷ. Φίλων ἐν Φοινικικοῖς Νάσιβίς φησι διὰ τοῦ α'. Οὐράνιος δὲ διὰ τοῦ ε Νέσιβις. Σημαίνει δὲ, ὥς φησι Φίλων, Νάσιβις τὰς στήλας, ὡς δὲ Οὐράνιος, Νέσιβις, φησὶ, σημαίνει τῇ Φοινίκων φωνῇ λίθοι συγκείμενοι καὶ συμφορητοί.

(ΠΕΡΙ ΤΩΝ ΦΟΙΝΙΚΩΝ ΣΤΟΙΧΕΙΩΝ.)

9.

Euseb. P. E. I, 10, p. 40, D : Ὁ δ' αὐτὸς πάλιν περὶ τῶν Φοινίκων στοιχείων ἐκ τῶν Σαγχου-

---

reipublicæ calamitatibus, penes quos aut civitatis aut gentis imperium esset, ii liberorum carissimi ultoribus dæmonibus jugulati sanguine quasi pretio publicum exitium pestemque redimerent. Qui vero tum ad sacrificium devovebantur, mysticis quibusdam ceremoniis jugulabantur. »

« Saturnus igitur, quem Phœnices *El* vocant, quemque post obitum in astrum ejusdem nominis consecrarunt, quum iis in locis regnaret, ac filium unigenam ex nympha quadam indigena, quam Anobretem vocabant, suscepisset, eumque propterea Jedud appellatum, quod ea vox apud Phœnices unigenam etiamnum significet, quumque gravissimum belli periculum universam in regionem incubuisset, illum ipsum regio cultu ornatum ad aram ab sese prius erectam ultro immolavit. »

6.

Hecatæi quoque circumfertur de Judæis libellus, in quo hujus gentis usque adeo sapientiam probat, ut Herennius Philo in suo De Judæis libro dubitet primum an illius historici scriptum illud sit, deinde addat, si quidem illius opus sit, verisimile esse illum fuisse captum veritatis specie quam præferre ei videbatur Judæorum doctrina, illique assensum præbuisse.

7.

Phœnices contra, sive nominis similitudine ducti sive per allegoriam quandam, aliter de Saturno habent, quemadmodum ex libro secundo Phœniciorum Herennii Philonis licet deprehendere. Et regnasse eum historia tradit, sicut superius exposui, in Libya et Sicilia, incolisque frequentasse loca et condidisse urbem, ut Charax ait, quæ Cronia vocaretur tunc, nunc Hierapolis, quemadmodum Isigonus de diis Græcis et Polemo et Æschylus in Ætna tradunt.

8.

Nisibis, urbs in Transeuphratensi regione quæ est ad Tigrim amnem. Philo in Phœnicis *Nasibin* per *a* literam, Uranius *Nesibin* per *e* literam scribunt. Vox *Nasibis*, ut Philo ait, columnas significat; Uranius vero inquit vocem *Nesibis* lingua Phœnicia significare lapides collectos et coacervatos.

(DE LITERIS PHŒNICUM.)

9.

Jam considera cujusmodi ea sint, quæ idem Philo *de literis Phœnicum* ex Sanchoniathonis scriptis expressa

νιάθωνος μεταβαλὼν, θέα ὁποῖά φησι περὶ τῶν ἑρπυστικῶν καὶ ἰοβόλων θηρίων, ἃ δὴ χρῆσιν μὲν ἀγαθὴν ἀνθρώποις οὐδεμίαν συντελεῖ, φθορὰν δὲ καὶ λύμην, οἷς ἂν τὸν δυσαλθῆ καὶ χαλεπὸν ἰὸν ἐγχρίμψειεν, ἀπεργάζεται. Γράφει δὲ καὶ ταῦτα πρὸς λέξιν ὧδέ πως λέγων·

« Τὴν μὲν οὖν τοῦ δράκοντος φύσιν καὶ τῶν ὄφεων αὐτὸς ἐξεθείασεν ὁ Τάαυτος, καὶ μετ' αὐτὸν αὖθις Φοίνικές τε καὶ Αἰγύπτιοι· πνευματικώτατον γὰρ τὸ ζῷον πάντων τῶν ἑρπετῶν, καὶ πυρῶδες ὑπ' αὐτοῦ παρεδόθη· παρ' ὃ καὶ τάχος ἀνυπέρβλητον διὰ τοῦ πνεύματος παρίστησι, χωρὶς ποδῶν τε καὶ χειρῶν ἢ ἄλλου τινὸς τῶν ἔκτοσθεν, δι' ὧν τὰ λοιπὰ ζῷα τὰς κινήσεις ποιεῖται· καὶ ποικίλων σχημάτων τύπους ἀποτελεῖ, καὶ κατὰ τὴν πορείαν ἑλικοειδεῖς ἔχει τὰς ὁρμὰς, ἐφ' ὃ βούλεται τάχος· καὶ πολυχρονιώτατον δέ ἐστιν, οὐ μόνον τε ἐκδυόμενον τὸ γῆρας νεάζειν, ἀλλὰ καὶ αὔξησιν ἐπιδέχεσθαι μείζονα πέφυκε· καὶ ἐπειδὰν τὸ ὡρισμένον μέτρον πληρώσῃ, εἰς ἑαυτὸν ἀναλίσκεται, ὡς ἐν ταῖς ἱεραῖς ὁμοίως αὐτὸς ὁ Τάαυτος κατέταξε γραφαῖς. Διὸ καὶ ἐν ἱεροῖς τοῦτο τὸ ζῷον καὶ ἐν μυστηρίοις συμπαρείληπται. Εἴρηται δὲ ἡμῖν περὶ αὐτοῦ ἐν τοῖς ἐπιγραφομένοις Ἐθωθιων (*) ὑπομνήμασιν ἐπιπλεῖον· ἐν οἷς κατασκευάζεται, ὅτι ἀθάνατον εἴη, καὶ εἰς ἑαυτὸν ἀναλύεται, ὥσπερ πρόκειται· οὐ γὰρ θνήσκει ἰδίῳ θανάτῳ, εἰ μὴ βίᾳ τινὶ πληγὲν τοῦτο τὸ ζῷον. Φοίνικες δὲ αὐτὸ Ἀγαθὸν δαίμονα καλοῦσιν. Ὁμοίως καὶ Αἰγύπτιοι Κνὴφ ἐπονομάζουσι· προστιθέασι δὲ αὐτῷ ἱέρακος κεφαλὴν διὰ τὸ πρακτικὸν τοῦ ἱέρακος. Καί φησιν ὁ Ἐπήεις [ὁ πήεις cod. A. H.] ἀλληγορῶν (ὁ ὀνομασθεὶς παρ' αὐτοῖς μέγιστος ἱεροφάντης καὶ ἱερογραμματεύς· ὃν μετέφρασεν [εἰς Ἑλλάδα φωνὴν, hæc plurimi codd. om.] Ἀρεῖος Ἡρακλεοπολίτης) κατὰ λέξιν οὕτως· « Τὸ πρῶτον ὂν θειότατον ὄφις ἐστὶν ἱέρακος ἔχων μορφὴν ἄγαν ἐπίχαρις· ὃς εἰ ἀναβλέψειε, φωτὸς τὸ πᾶν ἐπλήρου ἐν τῇ πρωτογόνῳ χώρᾳ αὐτοῦ· εἰ δὲ καμμύσειε, σκότος ἐγίνετο. Ἔμφασιν διδοὺς ὁ Ἐπήεις, ὅτι καὶ διάπυρόν ἐστι διὰ τοῦ φάναι διηύγασε· φωτὸς γὰρ ἴδιόν ἐστι τὸ διαυγάσαι. » Παρὰ Φοινίκων δὲ καὶ Φερεκύδης λαβὼν τὰς ἀφορμὰς ἐθεολόγησε περὶ τοῦ παρ' αὐτῷ λεγομένου Ὀφίονος Θεοῦ καὶ τῶν Ὀφιονιδῶν, περὶ ὧν αὖθις λέξομεν. Ἔτι μὴν οἱ Αἰγύπτιοι τῆς αὐτῆς ἐννοίας τὸν κόσμον γράφοντες, περιφερῆ κύκλον ἀεροειδῆ καὶ πυρωπὸν χαράσσουσι, καὶ μέσα τεταμένον ὄφιν ἱερακόμορφον (οἱονεὶ συνεκτικὸν ἀγαθὸν δαίμονα addit Joh. Lyd. De mens. III, 50, ubi eadem), καὶ ἔστι τὸ πᾶν σχῆμα, ὡς τὸ παρ' ἡμῖν Θῆτα· τὸν μὲν κύκλον κόσμον μηνύοντες, τὸν δὲ μέσον ὄφιν συνεκτικὸν τούτου ἀγαθὸν δαίμονα σημαίνοντες. Καὶ Ζωροάστρης δὲ ὁ μάγος ἐν τῇ Ἱερᾷ συναγωγῇ τῶν Περσικῶν φησὶ κατὰ λέξιν· « Ὁ δὲ θεός ἐστι κεφαλὴν ἔχων ἱέρακος. Οὗτός

(*) Ἐθωθων A. ἐθωθῶν F. G. ἠθυχῶν C. ἐθωθὼν H; ἐθῶν θείων Scaliger. « Genitivum ὄφεων delitescere arbitror; nam de serpentum religione disputatio illa est. » LOBECK. Aglaoph. p. 1340. Titulum desidero ex nomine dei Θὼθ, s. Θωύθ, *deus serpens* (*v. Mov*. p. 500) formatum. — Ceterum verba inde a πνευματικώτατον γὰρ usque ad ἀναλίσκεται leguntur etiam ap. J. Lydum De mens. III, 17, non nominato fonte.

---

de reptilibus quibusdam ac venenum jaculantibus animalibus commemorat; quæ quum nullam hominibus utilitatem afferant, tum pestem iis atque interitum creant, in quos tetrum illud suum et exitiale venenum excusserint. Sic itaque ad verbum ille : « Taautus quidem draconis serpentiumque naturæ divinitatem aliquam tribuebat, quam ejus opinionem Phœnices et Ægyptii postea comprobarunt. Enimvero genus hoc animantis præ cunctis reptilibus vi et copia spiritus abundare docet, ejusque naturam igneam esse, quod etiam propterea celeritatem, inquit, præ se fert omni exceptione majorem, quum neque pedum neque manuum neque alterius cujusquam exterioris membri adminiculum habeat, cujusmodi sunt quibus ad motum reliquæ animantes uti solent. Præterea varias ac multiplices corporis formas ostendit, ac sinuosis intortum spiris, sese, quum libuerit, incitato vibrat impetu. Diuturnæ admodum vitæ est, nec solum exuto senio juvenescit, verum etiam majora corporis simul ac virium accipit incrementa, donec tandem confecto certo quodam annorum curriculo in se ipsum iterum dissolvatur, quemadmodum in sacris etiam tabulis idem Taautus scriptum reliquit. Id quod in causa fuit, cur hoc animantium genus in sacris pariter atque mysteriis adhiberi soleret. De hoc autem in commentariis, quos Etho thia inscripsimus, pluribus a nobis disputatum est, ubi ipsum immortale esse et in sese denuo, quemadmodum ante dicebam, resolvi demonstravimus. Nec etiam ejusmodi animal, nisi vi quadam percussum ante fuerit, morte naturali exstinguitur. Atque illud quidem Phœnices bonum dæmonem, Ægyptii vero Cnephum similiter nuncuparunt, eidemque caput accipitris ob præcipuam quandam ejus volucris vivacitatem addiderunt. Quin etiam Epeis ille, qui summus ab iis sacrorum interpres ac scriba nominatur, quemque Arius Heracleopolites Græca lingua donavit, sic ad verbum allegorice rem istam exposuit : « Unus omnium maxime divinus erat serpens ille, qui accipitris formam præ se ferebat, idemque adspectu jucundissimus, quippe enim ubi oculos aperuisset, continuo primogeniæ suæ regionis loca omnia luce complebat : sin autem conniveret, illico tenebræ succedebant. Ac natura quidem igneum illud esse vi ipsa verbi διηύγασεν, id est *illustrabat*, Epeis manifeste declaravit; lucis enim τὸ διαυγάσαι, hoc est *illustrare*, proprium est. » Pherecydes autem occasione ex Phœnicibus arrepta, theologicam de illo numine, quod Ophionem ipse nuncupat, deque Ophionidis instituit disputationem, nos autem de illis aliquid etiam postea subjiciemus. Ceterum Ægyptii mundum eodum consilio depingentes, rotundum circulum aerio colore, flammisque sparsum exprimunt, cujus in medio serpens extentus accipitris forma collocatur. Ac tota quidem figura Græco Theta persimilis, ita nimirum, ut circulo mundum exhibeant, serpente autem medio illum utrinque conjungente, bonum dæmonem significent. At vero Zoroastres Magus in sacro Persicorum rituum commentario, hæc totidem verbis habet : « Deus autem est accipitris capite, princeps omnium, expers interitus, sem-

ἐστιν ὁ πρῶτος ἄφθαρτος, ἀΐδιος, ἀγένητος, ἀμερὴς, ἀνομοιότατος, ἡνίοχος παντὸς καλοῦ, ἀδωροδόκητος, ἀγαθῶν ἀγαθώτατος, φρονίμων φρονιμώτατος· ἐστὶ δὲ καὶ πατὴρ εὐνομίας καὶ δικαιοσύνης, αὐτοδίδακτος, φυσικὸς, καὶ τέλειος, καὶ σοφὸς, καὶ ἱεροῦ φυσικοῦ μόνος εὑρετής. » Τὰ δὲ αὐτὰ καὶ Ὀστάνης φησὶ περὶ αὐτοῦ ἐν τῇ ἐπιγραφομένῃ Ὀκτατεύχῳ.

Πάντες δὲ τὰς ἀφορμὰς παρὰ Τααύτου λαβόντες, ἐφυσιολόγησαν, ὥσπερ πρόκειται. Καὶ τὰ μὲν πρῶτα στοιχεῖα τὰ διὰ τῶν ὄφεων, ναοὺς κατασκευασάμενοι, ἐν αὐτοῖς ἀφιέρωσαν, καὶ τούτοις ἑορτὰς καὶ θυσίας ἐπετέλουν καὶ ὄργια, θεοὺς τοὺς μεγίστους νομίζοντες καὶ ἀρχηγοὺς τῶν ὅλων. » Τοσαῦτα καὶ περὶ τῶν ὄφεων.

ΠΑΡΑΔΟΞΟΣ ΙΣΤΟΡΙΑ.

10.

Suidas : Παλαίφατος, Ἀβυδηνὸς, ἱστορικός. Κυπριακὰ, Δηλιακὰ, Ἀττικὰ, Ἀραβικά. Γέγονε δὲ ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος· παιδικὰ δὲ Ἀριστοτέλους τοῦ φιλοσόφου, ὡς Φίλων ἐν τῷ ει' στοιχείῳ τοῦ Περὶ παραδόξου ἱστορίας βιβλίον α', καὶ Θεόδωρος ὁ Ἰλιεὺς ἐν δευτέρῳ Τρωικῶν.

ἐν τῷ υ' στοιχ., et deinde πρώτου βιβλίου.. Eudocia. Küsterus scribi voluit aut ὡς Φίλων ἐν τῷ περὶ π. ἱ. βιβλίῳ πρώτῳ, aut ἐν τῷ ει' στοιχ. τ. π. π. ἱσ. βιβλίου πρώτου. Bernhardy redintegrandum censet: πλὴν καὶ οὗτος ἔγραψε (quæ verba ex glossa antecedente huc transfert) περὶ π. ἱστορίας, ὡς Φίλων ἐν τῷ * στοιχείῳ τοῦ πρώτου βιβλίου; Philonemque statuit Palæphati mentionem fecisse in libris De urbibus virisque illustribus. Verum quum constet Philonem Ἱστορίαν παράδοξον tribus libris (vid. fr. 1, 6) scripsisse, eamque versatam esse in sugillandis Græcorum de diis fabulis : probabile sane est eum Palæphati Atheniensis, qui de rebus mythicis earumque interpretatione varia scripsit, itemque Troicorum auctor fuit, mentionem injecisse; Suidam vero, qui in distinguendis Palæphatis dubius hæret, ad Abydenum retulisse, quæ ad mythographum pertinent. Ceterum ordo alphabeticus ab ejusmodi libro abhorrere videtur. Fortasse igitur scribendum : ἐν τῷ τῆς τριτεύχου τῆς περὶ παρ. ἱστ. βιβλίῳ α'.

ΠΕΡΙ ΠΟΛΕΩΝ ΚΑΙ ΟΥΣ ΕΚΑΣΤΗ ΑΥΤΩΝ ΕΝΔΟΞΟΥΣ ΗΝΕΓΚΕ.

11.

Steph. Byz. : Μεγάλη πόλις... Ἔστι καὶ Ἰβηρίας Μεγάλη πόλις, ὡς Φίλων.

12.

Idem : Ἀγάθη, πόλις Λιγύων ἢ Κελτῶν. Σκύμνος δὲ Φωκαέων αὐτήν φησιν ἐν τῇ Εὐρώπῃ. Τιμοσθένης δὲ ἐν τῷ Σταδιασμῷ Ἀγαθὴν Τύχην αὐτήν φησιν. Εἰ δ' οὕτω λέγοιτο, καὶ ὀξύνοιτ' ἂν ὡς ἐπιθετικὸν, ὡς τὸ Ἡραῖον τεῖχος καὶ Ἥραιον, καὶ Ἑρμαῖος λόφος καὶ Ἕρμαιος. Ἔστι δὲ καὶ ἄλλη πόλις, ὡς Φίλων, Λιγυστίων, ἀπὸ λίμνης Λιγυστίας *. Τάχα δ' ἡ αὐτή ἐστι τῇ πρώτῃ, ὡς Εὔδοξος· βαρύνεται δέ.

13.

Idem : Ἀρτέμιτα, νῆσος Τυρρηνικὴ παρὰ τὴν Αἰθάλειαν νῆσον, ὡς Φίλων.

Ἐγέστα, πόλις Σικελίας, ἔνθα θερμὰ ὕδατα, ὡς Φίλων, ἀπὸ Ἐγέστου τοῦ Τρωός.

---

piternus, sine ortu, sine partibus, maxime dissimilis, omnis boni moderator, integerrimus, bonorum optimus, prudentium prudentissimus, legum æquitatis et justitiæ parens, se tantum præceptore doctus, naturalis, perfectus sapiens, et sacræ vis physicæ unus inventor. » Eadem insuper Ostanes de illo tradit in eo, quod Octateuchum inscripsit volumine.

Reliqui autem omnes principem illum secuti, de rerum natura, quemadmodum ante dictum est, philosophati sunt : ac primis elementis serpentium forma, in templis quæ construxerant, solenni ritu dedicatis quum sacrificia, tum festos quoque dies et orgia celebrarunt, quod illos deorum maximos esse rerumque omnium principes ac moderatores putarent. » Verum hæc de serpentibus satis.

HISTORIA MIRABILIUM.

10.

Palæphatus, Abydenus historicus, scripsit Cypriaca, Deliaca, Attica, Arabica. Vixit sub Alexandro Macedone, et Aristotelis philosophi deliciæ fuit, ut auctores sunt Philo libro primo De historia Mirabilium, et Theodorus Iliensis libro secundo Troicorum.

DE URBIBUS ET QUOS QUÆQUE EARUM VIROS ILLUSTRES TULERIT.

11.

***Megalopolis*, urbs Iberiæ, ut Philo ait.**

12.

***Agathe*, urbs Ligurum sive Celtarum. Scymnus Phocæensium in Europa coloniam dicit. Timosthenes in Stadiasmo Agathen Tychen (*Bonam Fortunam*) appellat. Quodsi vero ita dicitur, etiam accentum in ultima syllaba vox Ἀγαθὴ, utpote adjectivum, habuerit, quemadmodum Heræum tichos et Heræum, Hermæus lophos et Hermæus dicitur. Est vero etiam alia urbs Agathe Ligurum, Philone teste, quæ a lacu Liguriæ distat **. Fortasse autem eadem quæ prior est, ut Eudoxus. Accentum in penultima habet.**

31.

***Artemita*, insula Tyrrhenica prope Æthaliam insulam, Philone teste.**

***Segesta*, Siciliæ urbs, ubi aquæ calidæ, Philone testante, ab Segeste Trois filio nomen habet.**

14.

Steph. Byz. : Ἀνδανία, πόλις Μεσσήνης... Τὸ ἐθνικὸν Ἀνδανιεύς, ὡς Φίλων ἐν τῇ Περὶ πόλεων.

Φαραὶ, πόλις Μεσσήνης... Ἔστι δ' ἄλλη Κρήτης, ἄποικος τῆς ἐν Μεσσήνῃ, ὡς Φίλων.

Ἀζανία... μοῖρα τῆς Ἀρκαδίας... Ἔστι καὶ Μασσαλίας (?) ἄλλη, ὡς Φίλων.

Ἄνθεια, πόλις Πελοποννήσου, πλησίον Ἄργους, ὡς Φίλων.

Λάμπη... ἔστι καὶ τρίτη τῆς Ἀργολίδος, ὡς Φίλων.

Βοῦρα, πόλις Ἀχαΐας... Ἐκ ταύτης ἦν Πυθέας, ζωγράφος, οὗ ἐστιν ἔργον ὁ ἐν Περγάμῳ ἐλέφας, ἀπὸ τοιχογραφίας ὤν, ὡς Φίλων.

Ἀθῆναι, πόλεις κατὰ μὲν Ὧρον πέντε, κατὰ δὲ Φίλωνα ἕξ.

Κῦνος, ἐπίνειον Ὀποῦντος, ὡς Φίλων καὶ Παυσανίας (X, 1, 2).

15.

Idem : Ἄργουρα, πόλις Θεσσαλίας, ἡ πρότερον Ἄργισσα... Τὸ ἐθνικὸν δὲ ἔδει Ἀργουραῖος, ὡς καὶ Φίλων. Ἀπολλόδωρος δὲ (fr. 152) κτλ.

Μελίτεια, πόλις Θετταλίας... Θεόπομπος δὲ Μελίτειαν αὐτήν φησιν.. Ἔφορος λ'· « Οἱ δὲ τύραννοι τῶν Φερῶν καὶ Μελιταιεῖς, φίλοι πρότερον ὑπάρχοντες. »

Μελίτεια. Φίλων οὕτω γράφει, τὰ αὐτὰ πράγματα τῇ εἰρημένῃ προσάπτων.

Βουθόη, πόλις Ἰλλυρίας, ὡς Φίλων, διὰ τὸ Κάδμον ἐπὶ ζεύγους βοῶν ὀχούμενον ταχέως ἀνύσαι τὴν ἐς Ἰλλυριοὺς ὁδόν.

Δυρράχιον, πόλις Ἰλλυρική, Ἐπίδαμνος κληθεῖσα ἀπὸ Ἐπιδάμνου. Τούτου θυγάτηρ Μέλισσα, ἧς καὶ Ποσειδῶνος Δυρράχιος· ἀφ' ἧς ἐστιν ἐν Ἐπιδάμνῳ τόπος Μελισσώνιος, ἔνθα Ποσειδῶν αὐτῇ συνῆλθεν. « Μετὰ δὲ τὸν Ῥιζονικὸν [κόλπον] Λίσσος ἐστὶ πόλις καὶ Ἀκρόλισσος καὶ Ἐπίδαμνος Κερκυραίων κτίσμα, ἡ νῦν Δυρράχιον ὁμωνύμως τῇ χερρονήσῳ πρότερον λεγομένη, ἐφ' ἧς ἵδρυται, » ὡς Φίλων (Στράβων?). Eadem Constant. Porphyrogenit. De them. II, 9.

15. a.

Eustath. ad Dionys. 752 : Ὅτι Φροῦροι Σκυθικὸν ἔθνος βαρυτόνως, πρὸς ἀντιδιαστολὴν τοῦ φρουροί, ὅπερ ὀξυνόμενον δηλοῖ τοὺς φύλακας. Τινὲς δὲ Φρῦνοι γράφουσιν ὁμωνύμως τῷ ζῴῳ· φρῦνοι γάρ, καθὰ καὶ ὁ Φίλων γράφει, οἱ βάτραχοι.

16.

Stephan. Byz. : Βόσπορος, πόλις Πόντου κατὰ τὸν Κιμμέριον κόλπον, ὡς Φίλων.

Ἀμισός... [τὸ ἐθνικὸν] Ἀμισηνός· λέγεται καὶ Ἀμίσιος, ὡς Φίλων ἐν τῷ Περὶ πόλεων.

Τίος, πόλις Παφλαγονίας τοῦ Πόντου, ἀπὸ Τίου ἱερέως, τὸ γένος Μιλησίου, ὡς Φίλων.

Μυοῦς, πόλις Ἰωνίας, ὡς Φίλων.

Ἄντισσα, πόλις Λέσβου... ἀφ' ἧς Τέρπανδρος ὁ Ἀντισσαῖος, διασημότατος κιθαρῳδός, ἀπὸ Ἀντίσσης τῆς Μάκαρος θυγατρός· ἐν τοῖς Φίλωνος. Ἔστι καὶ νῆσος μία τῶν Κυκλάδων (?), καὶ τρίτη Ἰνδικῆς, ἣν ἀναγράφει Φίλων καὶ Δημοδάμας ὁ Μιλήσιος. V. Berkel. ad h. l.

Ἁλικαρνασσός, πόλις Καρίας... Ἐκαλεῖτο δὲ Ἰσθμὸς καὶ Ζεφύριον, ὡς Φίλων, καὶ Ζεφυρία.

Τελμισσός, πόλις Καρίας, ὡς δὲ Φίλων καὶ Στράβων (p. 665), Λυκίας· ἔστι γὰρ ἀμφοτέρων ὅριον μετὰ Δαίδαλα.

14.

Andania, urbs Messeniæ. Gentile Andaniensis, ut Philo in libris De urbibus.

Pharæ, urbs Messeniæ. Alia in Creta est, Messeniacæ colonia, ut Philo ait.

Azania, pars Arcadiæ. Est etiam Azania Massiliæ, teste Philone.

Anthea, urbs Peloponnesi, prope Argos, ut Philo.

Lampe, urbs Argolidis, ut Philo.

Bura, urbs Achaiæ. Hinc oriundus Pytheas pictor, cujus opus est Pergami elephas in muro pictus, ut Philo ait.

Athenæ urbes secundum Orum quinque, secundum Philonem sex numerantur.

Cynus, Opuntis navale, ut Philo et Pausanias aiunt.

15.

Argura, urbs Thessaliæ, quæ prius Argissa. Gentile debet esse Arguræus, ut etiam est apud Philonem.

Melitæa, urbs Thessaliæ. Theopompus *Meliteam* scribit. Ephorus libro trigesimo : « Tyranni Pherarum et Melitæenses, qui amici prius fuerant. » — *Meliteam* Philo quoque scribit easdem res ei attribuens.

Buthoe, urbs Illyriæ, ut Philo ait, nomen inde habet, quod boum jugo vehens Cadmus celeriter iter in Illyriam absolvit.

Dyrrachium, urbs Illyrica, prius Epidamnus dicta ab Epidamno, cui filia fuit Melissa, ex qua Neptunus genuit Dyrrhachium. Ab eadem locus quidam Epidamni Melissonius vocatur, ubi Neptunus cum eo rem habuerat. « Post Rizonicum sinum urbs Lissus est et Acrolissus et Epidamnus Corcyræorum colonia, quæ nunc Dyrrhachium vocatur, sicut chersonesus in quo sita est urbs » (*verba Strabonis*, *lib.* VII), sicut Philo monet.

16.

Bosporus, urbs Ponti ad sinum Cimmerium, ut Philo docet.

Tius, urbs Paphlagoniæ ad Pontum, nomen habet a Tio sacerdote, genere Milesio, ut Philo auctor est.

Antissa, urbs Lesbi, e qua Terpander Antissæus citharœdus celeberrimus. Nominata urbs ab Antissa Macarei filia, uti est in Philonis libris. Est etiam Antissa inter Cyclades insulas et... tertia Indica, quam notavit Philo et Demodamas Milesius.

Halicarnassus, urbs Cariæ. Vocabatur olim Isthmus et Zephyrium, Philone teste, et Zephyria.

Ὀλβία, πόλις... Παμφυλίας, ὡς Φίλων.

Αἴγειρα... Φίλων δέ φησι Κιλικίας πόλιν εἶναι Αἴγειραν.

17.

Steph. B.: Λαοδίκεια, πόλις τῆς Συρίας, ἡ πρότερον Λευκὴ ἀκτὴ λεγομένη καὶ πρὸ τούτου Ῥάμιθα. Κεραυνωθεὶς γάρ τις ἐν αὐτῇ ποιμὴν ἔλεγε Ῥαμάνθας, τουτέστιν ἀφ' ὕψους ὁ θεός· ῥάμαν γὰρ τὸ ὕψος, ἄθας δὲ ὁ θεός. Οὕτω Φίλων.

Γέρασα, πόλις τῆς Κοίλης Συρίας, τῆς τεσσαρεσκαιδεκαπόλεως (τῆς χώρας δεκαπόλεως conj. Berkel., laudato Plinio V, c. 18). Ἐξ αὐτῆς Ἀρίστων ῥήτωρ ἀστεῖος, ὡς Φίλων, καὶ Κήρυκος σοφιστὴς καὶ Πλάτων νομικὸς ῥήτωρ, πᾶσαν παίδευσιν ὡς μίαν ἀποστοματίζων καὶ ἐν συνηγορίαις καὶ παρεδρευταῖς καὶ θρόνοις τὴν ὀρθότητα τῶν νόμων ἐπιτηδεύων.

Ἐλαία... Ἔστι καὶ πόλις Φοινίκης Ἐλαία μεταξὺ Τύρου καὶ Σιδῶνος, ὡς Φίλων.

Ἰόπη, πόλις Φοινίκης, πλησίον Ἰαμνίας, ὡς Φίλων, ὡς δὲ Διονύσιος, Παλαιστίνης.

Μαρσύα, πόλις Φοινίκης, ὡς Ἀλέξανδρος καὶ Φίλων.

Βαβυλὼν, Περσικὴ πόλις, μητρόπολις, Σελευκία καλουμένη, κτίσμα Βαβυλῶνος, ἀνδρὸς σοφοῦ, παιδὸς Βήλου (v. l. Μήδου, quod etiam ap. Eustath.) σοφωτάτου, οὐχ ὡς Ἡρόδοτος, ὑπὸ Σεμιράμιδος· ταύτης γὰρ ἀρχαιοτέρα ἔτεσι χιλίοις δύο, ὡς Ἑρέννιος. Pro χιλίοις δύο (‚αβ') ap. Eustathium ad Dionys. v. 1005, qui Stephan. exscripsit, est: χιλίοις ὀκτακοσίοις (‚αω'). Pro Ἑρέννιος cod. Rhed. Ἐρρένιος; complures codices Ἐράννιος, Eustath. in Dion. nomen auctoris tacet; verum in Hexam. p. 233 legi Οὐράνιος ex Allatio refert Reinesius.

18.

Idem: Ἄσπις, πόλις Λιβύης, ὡς Φίλων.

ΣΕΡΗΝΟΥ ΕΠΙΤΟΜΗ.

18 a.

Etym. M. p. 207, 40: Βουχεραΐς, κρήνη ἐν Πλαταιαῖς, ἥτις ὠνόμασται. Πόλυβος ἐξ Ἄργους ἐπέκτισε Πλαταιὰς μετὰ τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμὸν, βοὸς αὐτῷ ἡγουμένης κατὰ χρησμὸν, ὥς ποτε Κάδμῳ· ἣν ἐκεῖσε κατακλιθεῖσαν τῷ κέρατι πατάξαι τὴν γῆν, καὶ κρήνην ἀναφανῆναι, ἣν ἀπὸ τοῦ κέρατος τοῦ βοὸς Βουχεραΐδα καλεῖσθαι. Οὕτω Θέων ἐν τοῖς Ὑπομνήμασι τοῦ α' Αἰτίου (Αἰτίων?) Καλλιμάχου. Οὕτω καὶ Σερῖνος (l. Σερῆνος) ἐν τῇ Ἐπιτομῇ τῶν Φίλωνος περιπόλων (l. Περὶ πόλεων). Πολύιδος (ὃς Πολυίδου?) λέγει τὸ χρησμόν.

18 b.

Idem p. 149, 50: Ἀρσινόη, πόλις ἐν Συρίᾳ ἐπὶ βουνῷ κειμένη· ἐπὶ δὲ τοῦ βουνοῦ πηγὰς ἐξερεύγεται (l. ἐξερεύγεσθαι) πλείονας, καὶ ποταμοὺς γίνεσθαι μεγάλους, ἀφ' ὧν ἡ πόλις ὠνόμασται· ἄρσαι γὰρ τὸ ποτίσαι· ἀφ' οὗ καὶ ἄρσην ὁ τὴν γυναῖκα ποτίζων τῇ σπορᾷ. Οὕτω Σερῖνος (l. Σερῆνος) ἐν τῇ Ἐπιτομῇ τῶν Φίλωνος. Quæ de voce ἄρσην interponuntur, non e Sereno, sed ex Herodiano ἐν τῷ Περὶ γάμου καὶ συμβιώσεως fluxerint, uti conjicias ex Etym. M. v. ἄρσην. Arsinoen hanc notare videtur Stephan. Byz.:

Telmissus, urbs Cariæ, vel, ut Philo et Strabo dicunt, Lyciæ. Utriusque enim est limes post Dædala.

Olbia, urbs Pamphyliæ, teste Philone.

Ægira, Ciliciæ urbs, teste Philone.

17.

Laodicea, urbs Syriæ, quæ prius Leuce Acte vocabatur, et primum Ramitha. Quidam enim pastor fulmine ictus dixit *Ramanthas*, hoc est *ab alto deus; Ramam* enim altitudinem, *athas* vero deum significat. Sic Philo.

Gerasa, urbs Cœlesyriæ, una ex quattuordecim (*decem?*) hujus regionis urbibus. Ex hac oriundi sunt Aristo rhetor urbanus, uti Philon ait, et Cerycus sophista, et Plato causidicus, omnem disciplinam ut unam memoriter exponens, et in causarum patrociniis et inter assessores et in cathedris legibus recte applicandis studens.

Elæa etiam Phœniciæ urbs est inter Tyrum et Sidonem sita, ut Philo ait.

Jope, urbs Phœniciæ, prope Jamniam, ut Philo auctor est. Secundum Dionysium vero urbs Palæstinæ est.

Marsya, urbs Phœniciæ, ut Alexander et Philo.

Babylon, Persica urbs, metropolis, quæ Seleucia vocatur. Condita est a Babylone, viro sapiente, Beli sapientissimi filio, non vero a Semiramide. Nam Babylon urbs mille et duobus (*octingentis?*) annis antiquior est Semiramide uti ait Herennius.

18.

Aspis, urbs Libyæ, ut Philo auctor est.

SERENI EPITOME.

18 a.

Bucerais: fons apud Platæenses sic dicitur. Polybus ex Argis denuo incolis Platæas frequentavit post Deucalionis diluvium, bovem ex oraculi jussu ducem sequens, sicuti alio tempore Cadmus. Hanc isto loco decumbentem aiunt cornu feriisse terram, eoque fontem excitasse, quem a bovis cornu Buceraidem appellaverint. Sic Theon in Commentariis ad Ætiorum Callimachi librum primum. Sic etiam Serenus in Epitome operis Philonis De urbibus. Oraculum illud Polyidus dedit.

18 b.

Arsinoe, urbs Syriæ in clivo sita, in quo fontes erumpere aiunt complures, eosque magnos evadere fluvios, a quibus urbs nomen habeat; nam ἄρσαι est *irrigare*. Inde etiam ἄρσην (*mas*) dicitur, quippe qui feminam irrigat semine. Sic Serenus in Epitome Philonis.

Ἀρσινόη... τρίτη, πόλις Συρίας ἐν Αὐλῶνι· ἡ περίμετρος αὐτῆς στάδια ὀκτακισχίλια (!). Damasceno agro urbem proximam fuisse Berkelius conjicit e Strabone XVI, 755 : Ὑπὲρ δὲ τοῦ Μαρσύου ἐστὶν ὁ καλούμενος Αὐλὼν βασιλικὸς καὶ ἡ Δαμασκηνὴ χώρα διαφερόντως ἐπαινουμένη. Ceterum ignota urbs. Cf. Droysen. *Hellen*. II, p. 700.

ΠΕΡΙ ΒΙΒΛΙΟΘΗΚΗΣ ΚΤΗΣΕΩΣ.

E LIBRO NONO,

quo τὰ Ἰατρικὰ continebantur.

19.

Schol. Oribasii in Maji Class. auct. tom. IV, p. 11 : Οἱ περὶ Διονύσιον τὸν κυρτόν] Ὁ Φίλων ἐν τῷ θ' Περὶ βιβλιοθήκης κτήσεως (κτίσεως lib.) καὶ Ἕρμιππος ἐν τῷ ε' Περὶ ἐνδόξων ἀνδρῶν ἰατρῶν καὶ ὁ Σωρανὸς ἐν ταῖς τῶν Ἰατρῶν διαδοχαῖς ὅτι καὶ ὀξυτόνως λέγεται, κυρτός ὡς φοξός, διὰ σωματικὴν ἀσθένειαν, βαρυτόνως δέ, ὡς ἵππος, πύργος, ἐπεὶ ἐκ μεσογείου πόλεως τῆς Αἰγύπτου λεγομένης Κύρτου ὑπῆρχεν, ἤ, ὥς φασί τινες, διὰ τὸ ἁλίσκεσθαι τοὺς ἀντιλέγοντας ὑπ' αὐτοῦ ὥσπερ τοὺς ἰχθῦς ὑπὸ τῶν ἁλιευτικῶν κύρτων.

Cf. Stephan. Byz. : Κύρτος, πόλις Αἰγύπτου ἐν τῇ μεσογείῳ. Ἐκ ταύτης Διονύσιος ἦν διάσημος ἰατρὸς ἀπὸ τῆς πατρίδος, οὐκ ἀπὸ τοῦ σώματος Κυρτὸς ὀνομαζόμενος, οὗ μέμνηται Ἑρέννιος Φίλων ἐν τῷ Περὶ ἰατρικῶν. Ὁ τόνος τοῦ μὲν ἐθνικοῦ ὀξὺς ὁμόφωνος τῷ πάθει, τοῦ δὲ κυρίου τῆς πόλεως βαρὺς, ὡς τὸ Πόντος καὶ κόντος. Cf. Hermippus fr. 73 a, p. 52.

20.

St. B. v. Δυρράχιον : Ἑρέννιος Φίλων ἐν τοῖς Ἰατρικοῖς Δυρραχηνὸν ἀναγράφει Φιλωνίδην οὕτως· « Ἀσκληπιάδης ἀκουστὰς ἔσχε Τίτον Αὐφίδιον Σικελὸν καὶ Φιλωνίδην Δυρραχηνὸν καὶ Νίκωνα Ἀκραγαντῖνον. » Καὶ πάλιν· « Φιλωνίδης δὲ ὁ Δυρραχηνὸς ἤκουσε μὲν Ἀσκληπιάδου, ἰατρεύσας δὲ ἐν τῇ πατρίδι ἐνδόξως συνετάξατο βιβλία με'. »

ASPASIUS BYBLIUS.

Suidas : Ἀσπάσιος Βύβλιος, σοφιστὴς, συγχρονῶν Ἀριστείδῃ καὶ Ἀδριανῷ. Ἔγραψε Περὶ Βύβλου, Περὶ στάσεων ἐσχηματισμένων, Μελέτας, Τέχνας, Ὑπομνήματα, Λαλιὰς, Ἐγκώμιον εἰς Ἀδριανὸν τὸν βασιλέα καὶ εἰς ἄλλους τινάς. Cf. Eudoc. p. 67. — « Byblii sophistæ videntur judicia de Atticis oratoribus esse quæ apud Photium (cod. 265) p. 492, schol. Hermog. tom. V, p. 517, et schol. Æschin. C. Tim. p. 105, 9 exstant. » *Bernhardy*. Adde Hermog. De f. orat. in Bekk. Anecd. p. 1463 not. (Ὁ γράφων μὲν, μὴ περὶ τὴν κρίσιν δὲ πραγματευόμενος ἑνὶ πτερῷ, φαίη τις ἄν, καὶ ὀφθαλμῷ ἐναβρύνεται, καὶ τοῖς τῶν ἑαυτοῦ πονημάτων πταίσμασιν ἧττον ἐφιστάνει, ὥσπερ ὁ Πολέμων καὶ ὁ Ἀσπάσιος καὶ ὁ τῆς Γάζης Προκόπιος, ἀκαίρως μὲν καὶ κατακορῶς χρώμενος ταῖς τροπαῖς καὶ ἐπιθέτοις ἐν τοῖς λόγοις, ὑπεραττικίζων δὲ καὶ ἐν ταῖς Ἐπιστολαῖς.) Ulpian. ad Demosth. Lept. p. 11. Cf. Westermann. *Gesch. d. gr. Bereds*. § 94, 14. — Præter Byblium Suidas alios duos Aspasios affert, *Aspasium Ravennatem*, qui sub Alexandro Mammeæ vixit, et *Aspasium Tyrium*, incertæ ætatis. De hoc ita Suidas :

Ἀσπάσιος Τύριος, σοφιστὴς, ἱστορικός. Ἔγραψε Περὶ Ἠπείρου καὶ τῶν ἐν αὐτῇ ἱστορίαν σύμμικτον ἐν βιβλίοις κ', Περὶ τέχνης ῥητορικῆς καὶ ἄλλα. In his, nisi fallor, pro περὶ Ἠπείρου scribendum est Περὶ Τύρου. Fortasse auctor ejus non diversus est ab Aspasio Byblio. Denique nescio an interpungendum sit post verba ἐν αὐτῇ, ita ut duo laudentur opera, De Tyro libri et Historia miscellanea.

DE COMPARANDA BIBLIOTHECA.

(DE MEDICIS.)

19.

Philo libro nono De comparanda bibliotheca et Hermippus libro quinto De claris medicis et Soranus in Medicorum successionibus dicunt Dionysium vocari tum κυρτόν (*gibbosum*), oxytone ut φοξός, propter corporis imbecillitatem, tum Κύρτον, paroxytone, ut ἵππος, πύργος, quod ex Cyrto Ægypti interioris urbe oriundus fuit, vel, ut nonnulli tradunt, quod adversarios suos disputando ceperit, sicut pisces κύρτοις, *nassis*, capiuntur.

20.

Herennius Philo medicos recensens memorat Philonidem Dyrrhachenum verbis hisce : « Asclepiades auditores habuit Titum Aufidium Siculum et Philonidem Dyrrhachenum et Niconem Agrigentinum. » Et iterum : « Philonides Dyrrhachenus audivit Asclepiadem, et medicinam in patria urbe magna cum laude exercens libros composuit quadraginta quinque. »

FAVORINUS ARELATENSIS.

Suidas : Φαβωρῖνος, Ἀρελάτου τῆς ἐν Γαλλίᾳ πόλεως, ἀνὴρ πολυμαθὴς κατὰ πᾶσαν παιδείαν, γεγονὼς δὲ τὴν τοῦ σώματος ἕξιν ἀνδρόγυνος, ὃν φασιν ἑρμαφρόδιτον· φιλοσοφίας μεστὸς, ῥητορικῇ δὲ μᾶλλον ἐπιθέμενος· γεγονὼς ἐπὶ Τραϊανοῦ τοῦ Καίσαρος, καὶ παρατείνας μέχρι τῶν Ἀδριανοῦ χρόνων τοῦ βασιλέως. Ἀντεφιλοτιμεῖτο γοῦν καὶ ζῆλον εἶχε πρὸς Πλούταρχον τὸν Χαιρωνέα ἐς τὸ τῶν συνταττομένων βιβλίων ἄπειρον. Γέγραπται γοῦν αὐτῷ φιλόσοφά τε καὶ ἱστορικὰ, ὧν πολὺς ἀριθμός. Ἔστι δὲ καὶ τῶν βιβλίων αὐτοῦ ταῦτα· Περὶ τῆς Ὁμήρου φιλοσοφίας. Περὶ Σωκράτους καὶ τῆς κατ' αὐτὸν ἐρωτικῆς τέχνης. Περὶ Πλάτωνος. Περὶ τῆς διαίτης τῶν φιλοσόφων· καὶ ἄλλα. Οὗτος ἔγραψε καὶ Γνωμολογικά.

Plura de Favorini persona, vita, declamationibus, scriptisque rhetoricis et philosophicis afferunt Philostratus in Vit. Soph. I, c. 8, p. 206 sq. ed. Kayser. (cll. p. 75, 8. 206, 21. 232, 25. 249, 30. 350, 6. 380, 22); Lucian. Eunuch. c. 7, Demonact. c. 12 et 13; Dion. Cass. LXIX, 3; Suidas v. Ἀδριανός; Spartian. Vit. Hadrian. c. 16; Gellius N. A. II, 22. XI, 5. XIV, 1 et 2. XVI, 3. XVII, 10. 12. XX, 1; Plutarch. Moral. p. 334 et 896 ed. Didot; Galen. tom. I, p. 6. IV, p. 317. 368. Phrynichus v. πλόκιον, p. 260 Lobeck.; Bekker. Anecd. Gr. p. 37, 31; Stobæus in Florileg. 4, 91. 14, 11 et 12. 22, 39. 29, 69. 49, 14 et 18. 57, 10. 62, 43. 64, 27. 65, 8. 66, 3 et 6. 94, 29. 95, 14. 105, 62. 108, 76. 115, 17 et 22-24. 116, 44. 119, 16; S. Maximus tom. II, p. 566. 610. 627. 571. 590. 635; Anton. Melissa lib. I, c. 52. 70. lib. II, c. 17. Cf. Gregorius Comentt. II De Phavorino. Lauban. 1755, 4, et Forsham. Dissertat. De Phavorino. Abo, 1789, 4. Fabricius, Bibl. Gr. tom. III, p. 173 sqq. ed. Harl.; Emperius De oratione Corinthiaca falso Dioni Chrysostomo adscripta. Brunsvig. 1832, p. 12 sqq.; Bæhr. in *Paulys Realencycl.* v. *Favorinus*.

Inter scripta Favorini duo memorantur, quæ ad historiam pertinent : Παντοδαπὴ ἱστορία sive Παντοδαπαὶ ἱστορίαι sive Παντοδαπὴ ὕλη ἱστορική, et Ἀπομνημονεύματα. Historia Omnigena ordine digesta erat alphabatico, ut colligitur e Photii cod. 161, ubi Sopater Eclogarum librum tertium hausisse dicitur e Favorini Παντοδαπῆς ὕλης ἱστορ., ἐκ τοῦ ν καὶ ξ καὶ καθεξῆς, πλὴν τοῦ ταῦ, μέχρι τοῦ ω. Quæ e libro octavo afferuntur, de Platone et de Pythagora sunt; adeo ut in hoc libro ad literam π devenisse auctor videatur. Quodsi de eodem Platone etiam secundus liber citatur (fr. 21), probabiliter pro ἐν β' scribendum est ἐν η'. Fragmenta tantum non omnia apud Diogenem Laertium et Stephanum Byzantium leguntur. Epitome hujus, opinor, operis, laudatur semel (fr. 51). Alterum opus, quod Ἀπομνημονεύματα inscribitur, ex uno Diogene Laertio novimus. Quare non audeo discernere, num argumentum operis in sola historia philosophica versatum sit, an de aliis quoque rebus sermo fuerit. — Laudatur denique Favorinus Περὶ τῆς Κυρηναϊκῆς πολέως (fr. 52); sed quæritur utrum peculiare opus, an locus Ἱστορίας παντοδαπῆς significetur, an denique cum Bernhardyo reponendum sit Π. τῆς Κυρ. πολιτείας, *De secta philosophorum Cyrenaicorum*.

ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΑ.

E LIBRO PRIMO.

1.

Diogenes L. I, 79 : Γέγονε δὲ καὶ ἕτερος Πιττακὸς νομοθέτης, ὥς φησι Φαβωρῖνος ἐν Ἀπομνημονευμάτων πρώτῳ καὶ Δημήτριος ἐν Ὁμωνύμοις, ὃς καὶ μικρὸς προσηγορεύθη.

2.

Idem IX, 20, de Xenophane Colophonio : Δοκεῖ δὲ * πεπρᾶσθαι ὑπὸ τῶν Πυθαγορικῶν Παρμενίσκου καὶ Ὀρεστάδου, καθά φησι Φαβωρῖνος ἐν Ἀπομνημονευμάτων πρώτῳ.

3.

Idem VIII, 73, de Empedocle : Ἔτι τε πολλὰς τῶν πολιτίδων ἀπροίκους ὑπαρχούσας αὐτὸν προικίσαι διὰ τὸν παρόντα πλοῦτον· διὸ δὴ πορφύραν τ' ἀναλαβεῖν

COMMENTARII.

1.

Fuit et alter Pittacus legislator, cujus et Favorinus in primo Commentariorum et Demetrius in Cognominibus meminit, qui et minor appellatus est.

2.

Creditur Xenophanes Colophonius a Pythagoreis Parmenisco et Orestade, ut Favorinus in primo Commentariorum ait, veniisse (?).

3.

Multis itidem civium, quæ sine dote erant, dotem de-

αὐτὸν καὶ στρόφιον ἐπιθέσθαι χρυσοῦν, ὡς Φαβωρῖνος ἐν Ἀπομνημονευμάτων πρώτῳ· ἔτι τ' ἐμβάδας χαλκᾶς καὶ στέμμα Δελφικόν. Cf. Neanthis fr. 22, p. 6.

Diog. L. VIII, 53 : Ἐγὼ δ' εὗρον ἐν τοῖς Ὑπομνήμασι Φαβωρίνου ὅτι καὶ βοῦν ἔθυσε τοῖς θεωροῖς ὁ Ἐμπεδοκλῆς ἐκ μέλιτος καὶ ἀλφίτων, καὶ ἀδελφὸν ἔσχε Καλλικρατίδην.

Idem VIII, 63 : Αὐτοὺς δὲ τούτους τοὺς Καθαρμοὺς (sc. Ἐμπεδοκλέους) ἐν Ὀλυμπίᾳ διαρραψῳδῆσαι λέγεται Κλεομένην τὸν ῥαψῳδὸν, ὡς καὶ Φαβωρῖνος ἐν Ἀπομνημονεύμασι.

4.

Idem II, 23 : Καὶ Πυθώδε ἐλθεῖν (sc. Σωκράτην) Ἀριστοτέλης φησίν· ἀλλὰ καὶ εἰς Ἰσθμὸν, ὡς Φαβωρῖνος ἐν τῷ πρώτῳ τῶν Ἀπομνημονευμάτων.

5.

Idem II, 39 : Φαβωρῖνος δέ φησιν ἐν τῷ πρώτῳ τῶν Ἀπομνημονευμάτων μὴ εἶναι ἀληθῆ τὸν λόγον τὸν Πολυκράτους κατὰ Σωκράτους· ἐν αὐτῷ γὰρ, φησὶ, μνημονεύει τῶν ὑπὸ Κόνωνος τειχῶν ἀνασταθέντων, ἃ γέγονεν ἔτεσιν ἓξ τῆς τοῦ Σωκράτους τελευτῆς ὕστερον. Καὶ ἔστιν οὕτως ἔχον. Ἡ δ' ἀντωμοσία τῆς δίκης τοῦτον εἶχε τὸν τρόπον· ἀνάκειται γὰρ ἔτι καὶ νῦν, φησὶ Φαβωρῖνος, ἐν τῷ Μητρῴῳ· « Τάδε ἐγράψατο καὶ ἀντωμόσατο Μέλητος Μελήτου Πιτθεὺς Σωκράτει Σωφρονίσκου Ἀλωπεκῆθεν· ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσηγούμενος· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων. Τίμημα θάνατος. » Cf. fr. 38.

6.

Idem III, 10 : Τὸν μέντοι Πόλλιν (qui Platonem vendiderat) λόγος ὑπό τε Χαβρίου ἡττηθῆναι καὶ μετὰ ταῦτα ἐν Ἑλίκῃ καταποντωθῆναι, τοῦ δαιμονίου μηνίσαντος αὐτῷ διὰ τὸν φιλόσοφον, ὡς καὶ Φαβωρῖνός φησιν ἐν πρώτῳ τῶν Ἀπομνημονευμάτων. Cf. fr. 24.

7.

Idem III, 25 : Ἐν δὲ τῷ πρώτῳ τῶν Ἀπομνημονευμάτων Φαβωρίνου φέρεται ὅτι Μιθριδάτης ὁ Πέρσης ἀνδριάντα Πλάτωνος ἀνέθετο εἰς τὴν Ἀκαδημίαν καὶ ἐπέγραψε, « Μιθριδάτης ὁ Ῥοδοβάτου Πέρσης Μούσαις εἰκόνα ἀνέθετο Πλάτωνος, ἣν Σιλανίων ἐποίησε. »

8.

Idem V, 75, de Demetrio Phalereo : Πολλὰ δὲ καὶ κάλλιστα τῇ πατρίδι ἐπολιτεύσατο. Καὶ γὰρ προσόδοις καὶ κατασκευαῖς ηὔξησε τὴν πόλιν, καίπερ οὐκ εὐγενὴς ὤν. Ἦν γὰρ ἐκ τῆς Κόνωνος οἰκίας, ὡς Φαβωρῖνος ἐν πρώτῳ τῶν Ἀπομνημονευμάτων φησὶν, ἀλλ' ἀστῇ καὶ εὐγενεῖ συνῴκει Λαμίᾳ τῇ ἐρωμένῃ, καθάπερ ὁ αὐτὸς ἐν τῷ πρώτῳ φησίν· ἀλλὰ καὶ ὑπὸ Κλέωνος πεπονθέναι ἐν τῷ δευτέρῳ ἱστορεῖ.

E LIBRO SECUNDO.

9.

Idem V, 21, de Aristotele : Φησὶ δὲ Φαβωρῖνος ἐν τῷ δευτέρῳ τῶν Ἀπομνημονευμάτων ὡς ἑκάστοτε λέγοι, « ὦ φίλοι, οὐδεὶς φίλος· » ἀλλὰ καὶ ἐν τῷ ἑβδόμῳ τῶν Ἠθικῶν ἐστι.

---

disse Empedoclem de copia divitiarum, ideoque et purpuram eum induisse, et strophium aureum circumdedisse Favorinus in primo Commentariorum auctor est; crepidas item æreas et Delphicam sumpsisse coronam.

In Favorini Commentariis reperi Empedoclem et bovem mactasse legatis ad festum missis confectum ex melle et farina, fratremque habuisse Callicratidem.

Eas ipsas Expiationes (Empedoclis carmen) cecinisse fertur Cleomenes rhapsodus, quemadmodum et Favorinus in Commentariis ait.

4.

Aristoteles Socratem et Delphos venisse narrat : Isthmum quoque Favorinus in primo Commentariorum adiisse refert.

5.

Favorinus in primo Commentariorum genuinam non esse Polycratis in Socratem orationem tradit, quod in ea facta sit mentio murorum a Conone instauratorum : id vero factum esse dicit sexto anno post mortem Socratis. Atque ita se res habet. Formula accusationis erat his verbis concepta : servatur enim hactenus, ut tradit Favorinus, in Metroo : « Hanc accusationem detulit et jurejurando confirmavit Meletus Meleti filius Pittheensis adversus Socratem Sophronisci filium Alopecensem : jura violat Socrates, quos ex majorum instituto suscepit civitas, deos esse negans, alia vero nova dæmonia inducens : contra jus et fas juvenes corrumpit. Pœna illi mors. »

6.

Pollidem a Chabria superatum et postea in Helice fuisse submersum fama est, ex ira numinis propter læsum Platonem, ut Favorinus quoque in primo Commentariorum meminit.

7.

In primo Commentariorum Favorini fertur Mithridates Persa Platonis statuam in Academia locasse ita inscriptam : *Mithridates Rhodobati filius Persa Musis imaginem Platonis dicavit Silanionis opus.*

8.

Demetrius Phalereus diu atque præclare rempublicam administravit : namque et reditibus et ædificiis civitatem auxit, quamvis ignobilis. Erat enim, ut Favorinus in primo Commentariorum ait, ex Cononis familia, sed amicam habuit civem Atticam nobilem Lamiam, ut idem auctor est in libro primo : sed et a Cleone eum perpessum esse in secundo tradit.

9.

Refert Favorinus in secundo Commentariorum Aristotelem crebro dicere solitum, « Cui amici, amicus nemo. » Id etiam legitur in libro septimo ejus de Moribus.

10.

Φησὶ δὲ καὶ Φαβωρῖνος ἐν δευτέρῳ Ἀπομνημονευμάτων ὡς Ἀριστοτέλης αὐτοῦ (sc. Σπευσίππου) τὰ βιβλία τριῶν ταλάντων ὠνήσατο.

11.

Diog. L. VI, 88, de Cratete Thebano : Χάριεν δ' αὐτοῦ Φαβωρῖνος ἐν δευτέρῳ τῶν Ἀπομνημονευμάτων φέρει. Φησὶ γὰρ, Παρακαλῶν περί του τὸν γυμνασίαρχον, τῶν ἰσχίων αὐτοῦ ἥπτετο· ἀγανακτοῦντος δὲ, ἔφη· « Τί γὰρ οὐχὶ καὶ ταῦτα σά ἐστι καθάπερ καὶ τὰ γόνατα; » Ἔλεγέ τ' ἀδύνατον εἶναι ἀδιάπτωτον εὑρεῖν, ἀλλ' ὥσπερ ἐν ῥοιᾷ ἀεὶ καὶ σαπρόν τινα κόκκον εἶναι.

E LIBRO TERTIO.

12.

Idem III, 40, de Platone : Καὶ ἐτελεύτα μὲν ὃν εἴπομεν τρόπον, Φιλίππου βασιλεύοντος ἔτος τρισκαιδέκατον, καθὰ καὶ Φαβωρῖνός φησιν Ἀπομνημονευμάτων τρίτῳ· ὑφ' οὗ καὶ ἐπιτιμηθῆναί φησιν αὐτὸν Θεόπομπος.

Alium locum libri tertii vide fr. 17.

E LIBRO QUINTO.

13.

Idem III, 62 : Νοθεύονται δὲ τῶν διαλόγων ὁμολογουμένως Μίδων ἢ Ἱπποτρόφος, Ἐρυξίας ἢ Ἐρασίστρατος, Ἀλκυών, Ἀκέφαλοι ἢ Σίσυφος, Ἀξίοχος, Φαίακες, Δημοδόκος, Χελιδών, Ἑβδόμη, Ἐπιμενίδης· ὧν ἡ Ἀλκυὼν Λέοντός τινος εἶναι δοκεῖ, καθά φησι Φαβωρῖνος ἐν τῷ πέμπτῳ τῶν Ἀπομνημονευμάτων.

14.

Idem IX, 23, de Parmenide : Καὶ δοκεῖ πρῶτος πεφωρακέναι τὸν αὐτὸν εἶναι Ἕσπερον καὶ Φωσφόρον, ὥς φησι Φαβωρῖνος ἐν πέμπτῳ τῶν Ἀπομνημονευμάτων· οἱ δὲ Πυθαγόραν. Καλλίμαχος δέ φησι μὴ εἶναι αὐτοῦ τὸ ποίημα. Λέγεται δὲ καὶ νόμους θεῖναι τοῖς πολίταις, ὥς φησι Σπεύσιππος ἐν τῷ Περὶ φιλοσόφων. Καὶ πρῶτος ἐρωτῆσαι τὸν Ἀχιλλέα λόγον, ὡς Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ.

E LIBRIS INCERTIS.

15.

Idem III, 48 : Διαλόγους τοίνυν φασὶ πρῶτον γράψαι Ζήνωνα τὸν Ἐλεάτην· Ἀριστοτέλης δ' ἐν πρώτῳ Περὶ ποιητῶν Ἀλεξαμενὸν Στυρέα ἢ Τήιον, ὡς καὶ Φαβωρῖνος ἐν Ἀπομνημονεύμασι.

16.

Idem VIII, 90, de Eudoxo Cnidio : Ὅτε δὲ συνεγένετο ἐν Αἰγύπτῳ Χονούφιδι τῷ Ἡλιουπολίτῃ, ὁ Ἆπις αὐτοῦ θοἰμάτιον περιελιχμήσατο. Ἔνδοξον οὖν αὐτὸν ἀλλ' ὀλιγοχρόνιον ἔφασαν οἱ ἱερεῖς ἔσεσθαι, καθά φησι Φαβωρῖνος ἐν Ἀπομνημονεύμασιν.

ΠΑΝΤΟΔΑΠΗ ΙΣΤΟΡΙΑ.

E LIBRO OCTAVO.

17.

Idem VIII, 12, de Pythagora, : Λέγεται δὲ καὶ πρῶτος κρέασιν ἀσκῆσαι ἀθλητὰς, καὶ πρῶτόν γ' Εὐ-

---

10.

Speusippi libros Aristotelem tribus talentis emisse Favorinus in secundo Commentariorum auctor est.

11.

Cratetis Thebani facetum quiddam Favorinus in secundo Commentariorum refert. Ait enim, Quum pro quodam intercederet apud gymnasii principem, ejus coxas tetigit : illo indignante, Quid enim, ait ille, nonne et ista tua sunt sicut et genua? Dicebatque fieri non posse ut inveniretur qui lapsus non sit, sed veluti in malo Punico granum semper aliquod esse putridum.

12.

Moritur Plato quo diximus modo, tertio decimo Philippi regis anno, ut Favorinus in tertio Commentariorum refert, a quo et objurgatum fuisse illum Theopompus auctor est.

13.

Ex dialogis qui Platoni inscribuntur, hi sine ulla controversia adulterini sunt : Midon sive Hippotrophus, Eryxias sive Erasistratus, Alcyon, Acephali sive Sisyphus, Axiochus, Phæaces, Demodocus, Chelidon, Septima, Epimenides. Ex his Alcyon Leontis cujusdam esse fertur, ut Favorinus in quinto Commentariorum dicit.

14.

Primus Parmenides animadvertisse fertur eundem esse Vesperum atque Luciferum, ut Favorinus in quinto Commentariorum ait; alii Pythagoram dicunt. Callimachus autem negat ejus poema esse. Fertur civibus quoque suis tulisse leges, ut Speusippus in libro De philosophis ait. Primus item argumentatione usus esse dicitur ea quæ appellatur Achilles, ut Favorinus ait in Omnimoda historia.

15.

Dialogos primum Zenonem Eleaten scripsisse ferunt : Aristoteles vero in primo De poetis Alexamenum Styreum sive Teium, sicut et Favorinus in Commentariis tradit.

16.

Eudoxus Cnidius quum adhuc in Ægypto cum Chonuphide Heliopolitano esset, Apis illius pallium circumlambit. Celebrem ergo illum fore sed non longævum ex eo ostento sacerdotes dixere, ut Favorinus in Commentariis refert.

OMNIGENA HISTORIA.

17.

Fertur Pythagoras primus athletas nutrisse carnibus, et in his primum quidem Eurymenem, ut in tertio Commen-

ρυμένην, καθά φησι Φαβωρῖνος ἐν τρίτῳ τῶν Ἀπομνημονευμάτων, τῶν πρότερον ἰσχάσι ξηραῖς καὶ τυροῖς ὑγροῖς, ἀλλὰ καὶ πυροῖς σωμασκούντων αὐτοὺς, καθάπερ ὁ αὐτὸς Φαβωρῖνος ἐν ὀγδόῃ Παντοδαπῆς ἱστορίας φησίν.

18.

Diog. L. VIII, 47 : Ἐρατοσθένης δέ φησι, καθὸ καὶ Φαβωρῖνος ἐν τῇ ὀγδόῃ Παντοδαπῆς ἱστορίας παρατίθεται, τοῦτον (Πυθαγόραν) εἶναι τὸν πρῶτον ἐντέχνως πυκτεύσαντα ἐπὶ τῆς ὀγδόης καὶ τετταρακοστῆς Ὀλυμπιάδος, κομήτην καὶ ἁλουργίδα φοροῦντα· ἐκκριθέντα τ' ἐκ τῶν παίδων καὶ χλευασθέντ' αὐτίκα προσβῆναι τοὺς ἄνδρας καὶ νικῆσαι. Δηλοῦν δὲ τοῦτο καὶ τοὐπίγραμμα ὅπερ ἐποίησε Θεαίτητος·

Πυθαγόρην τινὰ, Πυθαγόρην, ὦ ξεῖνε, κομήτην,
  ᾀδόμενον πύκτην εἰ κατέχεις Σάμιον,
Πυθαγόρης ἐγώ εἰμι· τὰ δ' ἔργα μου εἴ τιν' ἔροιο
  Ἠλείων, φήσεις αὐτὸν ἄπιστα λέγειν.

Τοῦτον ὁ Φαβωρῖνός φησιν ὅροις χρήσασθαι διὰ τῆς μαθηματικῆς ὕλης, ἐπὶ πλέον δὲ Σωκράτην καὶ τοὺς ἐκείνῳ πλησιάσαντας, καὶ μετὰ ταῦτ' Ἀριστοτέλην καὶ τοὺς στωικούς. Ἀλλὰ μὴν καὶ τὸν οὐρανὸν πρῶτον ὀνομάσαι κόσμον καὶ τὴν γῆν στρογγύλην· ὡς δὲ Θεόφραστος, Παρμενίδην· ὡς δὲ Ζήνων, Ἡσίοδον. Τούτῳ φασὶν ἀντιπαρατάσσεσθαι Κύλωνα καθάπερ Ἀντίλοχον Σωκράτει.

19.

Idem VIII, 15 : Τῶν ἑξακοσίων οὐκ ἐλάττους ἐπὶ τὴν νυκτερινὴν ἀκρόασιν ἀπήντων αὐτοῦ (Πυθαγόρου)· καὶ εἴ τινες ἀξιωθεῖεν αὐτὸν θεάσασθαι, ἔγραφον πρὸς τοὺς οἰκείους ὡς μεγάλου τινὸς τετυχηκότες. Μεταποντῖνοί γε μὴν τὴν μὲν οἰκίαν αὐτοῦ Δήμητρος ἱερὸν ἐκάλουν, τὸν στενωπὸν δὲ μουσεῖον, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπαῖς ἱστορίαις.

20.

Idem III, 24, de Platone : Οὗτος πρῶτος ἐν ἐρωτήσει λόγον παρήνεγκεν, ὥς φησι Φαβωρῖνος ἐν ὀγδόῃ Παντοδαπῆς ἱστορίας· καὶ πρῶτος τὸν κατὰ τὴν ἀνάλυσιν τῆς ζητήσεως τρόπον εἰσηγήσατο Λεωδάμαντι τῷ Θασίῳ.

21.

Idem III, 57 : Εἰσὶ τοίνυν, φησὶν, οἱ πάντες αὐτῷ γνήσιοι διάλογοι ἓξ καὶ πεντήκοντα, τῆς μὲν Πολιτείας εἰς δέκα διαιρουμένης — ἣν καὶ εὑρίσκεσθαι σχεδὸν ὅλην παρὰ Πρωταγόρᾳ ἐν τοῖς ἀντιλογικοῖς φησι Φαβωρῖνος ἐν Παντοδαπῆς ἱστορίας β' (l. η') — τῶν δὲ Νόμων εἰς δυοκαίδεκα.

22.

Idem III, 37, de Platone : Φησὶ δ' Ἀριστοτέλης τὴν τῶν λόγων ἰδέαν αὐτοῦ (Πλάτωνος) μεταξὺ ποιήματος εἶναι καὶ πεζοῦ λόγου. Τοῦτον μόνον παραμεῖναι Πλάτωνι Φαβωρῖνός πού φησιν ἀναγινώσκοντι τὸν περὶ ψυχῆς, τοὺς δ' ἄλλους ἀναστῆναι πάντας.

23.

Idem III, 3 : Καὶ ἐγεννήθη (Πλάτων) κατά τινας ἐν Αἰγίνῃ ἐν τῇ Φειδιάδου οἰκίᾳ τοῦ Θάλητος, ὥς φησι

---

tariorum ait Favorinus, antea caricis siccis et molli caseo et tritico solitos corpora nutrire, ut ait idem Favorinus in octavo Omnimodæ historiæ.

18.

Pythagoram Eratosthenes, quem et Favorinus in octavo Omnimodæ historiæ libro testem citat, primum fuisse tradit, qui quadragesima octava Olympiade secundum artem pugilatu certaverit, comatum atque purpuratum; prohibitumque puerorum certamine atque irrisum, continuo viros petiisse ac vicisse. Declarare autem hoc etiam epigramma, quod fecit Theætetus :

Hospes, Pythagoram si, Pythagoramque comatum,
  nosti percelebrem tu pugilem Samium,
Pythagoras ego sum : mea sed si facta rogaris
  Eleum, dices hæc superare fidem.

Hunc Favorinus ait definitionibus per mathematicam usum materiam, frequentius id fecisse Socratem et qui ab eo fluxere, postmodum autem Aristotelem ac Stoicos. Primumque cœlum appellasse mundum, terramque rotundam : id autem Theophrastus Parmenidi, Zeno Hesiodo assignant. Huic aiunt adversatum esse Cylonem, quemadmodum Antilochum Socrati.

19.

Haud minus sexcentis erant qui noctu ad Pythagoram audiendum confluebant : ac si qui præsentia illius frui meruissent, scribebant suis tanquam magnum quiddam ac præclarum consecuti. Metapontini nempe illius domum Cereris delubrum vocabant, angiportumque Museum, ut Favorinus in Omnimodis historiis tradit.

20.

Primus Plato, ut Favorinus ait in octavo Omnigenæ historiæ, argumentationem per interrogationes introduxit, primusque inquisitionis modum analyticum Leodamanti Thasio præinduxit.

21.

Sunt, ut aiunt, omnes Platonis dialogi, de quibus nihil ambigitur, quinquaginta sex, Republica in decem divisa libros (quam et apud Protagoram totam ferme inveniri in Contradictionibus tradit Favorinus in secundo (*octavo*) Omnigenæ historiæ), Legibus in duodecim divisis.

22.

Orationis Platonicæ genus inter carmen et pedestrem orationem medium tenere ait Aristoteles. Hunc solum Platoni assedisse Favorinus quodam loco ait, quum librum de Anima recitaret, reliquos vero omnes surrexisse.

23.

Plato natus est secundum quosdam in Ægina in Phidiadæ domo, ejus qui Thaletis filius fuit, ut Favorinus ait

Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, τοῦ πατρὸς αὐτοῦ μετὰ καὶ ἄλλων πεμφθέντος κληρούχου, καὶ ἐπανελθόντος εἰς Ἀθήνας, ὁπόθ' ὑπὸ Λακεδαιμονίων ἐξεβλήθησαν βοηθούντων Αἰγινήταις.

24.

Diog. L. III, 19 : Παρέδωκε δ' αὐτὸν (sc. Διονύσιος ὁ τύραννος Πλάτωνα) Πόλλιδι τῷ Λακεδαιμονίῳ κατὰ καιρὸν διὰ πρεσβείαν ἀφιγμένῳ, ὥστε ἀποδόσθαι. Κἀκεῖνος ἀγαγὼν αὐτὸν εἰς Αἴγιναν ἐπίπρασκεν. Ὅτε καὶ Χάρμανδρος Χαρμανδρίδου ἐγράψατο αὐτῷ δίκην θανάτου κατὰ τὸν παρ' αὐτοῖς τεθέντα νόμον, τὸν πρῶτον ἐπιβάντα Ἀθηναίων τῇ νήσῳ ἄκριτον ἀποθνήσκειν. Ἦν δ' αὐτὸς ὁ θεὶς τὸν νόμον, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ. Εἰπόντος δέ τινος, ἀλλὰ κατὰ παιδιὰν, φιλόσοφον εἶναι τὸν ἐπιβάντα, ἀπέλυσαν. Cf. fr. 6.

E LIBRIS INCERTIS.

25.

Idem VIII, 83 : Ἀλκμαίων Κροτωνιάτης. Καὶ οὗτος Πυθαγόρου διήκουσε καὶ τὰ πλεῖστά γ' ἰατρικὰ λέγει, ὅμως δὲ καὶ φυσιολογεῖ ἐνίοτε, « Δύο τὰ πολλά ἐστι τῶν ἀνθρωπίνων. » Δοκεῖ δὲ πρῶτος φυσικὸν λόγον συγγεγραφέναι, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, καὶ τὴν σελήνην καθόλου ταύτην ἔχειν ἀΐδιον φύσιν.

26.

Idem II, 11, de Anaxagora : Δοκεῖ δὲ πρῶτος, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, τὴν Ὁμήρου ποίησιν ἀποφήνασθαι εἶναι περὶ ἀρετῆς καὶ δικαιοσύνης· ἐπὶ πλέον δὲ προστῆναι τοῦ λόγου Μητρόδωρον τὸν Λαμψακηνὸν, γνώριμον ὄντα αὐτοῦ, ὃν καὶ πρῶτον σπουδάσαι τοῦ ποιητοῦ περὶ τὴν φυσικὴν πραγματείαν.

27.

Idem II, 1, de Anaximandro : Εὗρε δὲ καὶ γνώμονα πρῶτος καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων ἐν Λακεδαίμονι, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, καὶ ὡροσκόπια κατεσκεύασε.

28.

Idem V, 5, de Aristotele : Ὁ δ' οὖν Ἀριστοτέλης ἐλθὼν εἰς τὰς Ἀθήνας καὶ τρία πρὸς τοῖς δέκα τῆς σχολῆς ἀφηγησάμενος ἔτη ὑπεξῆλθεν εἰς Χαλκίδα, Εὐρυμέδοντος αὐτὸν τοῦ ἱεροφάντου δίκην ἀσεβείας γραψαμένου, ἢ Δημοφίλου, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, ἐπειδήπερ τὸν ὕμνον ἐποίησεν εἰς τὸν προειρημένον Ἑρμείαν, ἀλλὰ καὶ ἐπίγραμμα ἐπὶ τοῦ ἐν Δελφοῖς ἀνδριάντος τοιοῦτον·

Τόνδε ποτ' οὐχ ὁσίως παραβὰς μακάρων θέμιν ἁγνὴν
ἔκτεινεν Περσῶν τοξοφόρων βασιλεὺς,
οὐ φανερῶς λόγχῃ φονίοις ἐν ἀγῶσι κρατήσας
ἀλλ' ἀνδρὸς πίστει χρησάμενος δολίου.

29.

Idem V, 9, de eodem : Τοῦτον πρῶτον Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ λόγον δικανικὸν ὑπὲρ ἑαυτοῦ συγγράψαι φησὶν ἐπ' αὐτῇ ταύτῃ τῇ δίκῃ καὶ λέγειν ὡς Ἀθήνησιν

Ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ.

---

in Omnigena historia, patre ipsius eo cum aliis misso colono, Athenasque reverso quum a Lacedæmoniis, qui Æginetis opem tulerunt, expulsi sunt.

24.

Dionysium (Neanthes narrat) Pollidi Lacedæmonio, qui per id temporis legatus ad ipsum venerat, Platonem tradidisse venundandum. Eum ille in Æginam abductum vendidit. Quo tempore Charmander Charmandridis filius eum capitis reum fecit. Secundum promulgatam enim apud eos legem capitale erat, si quis Atheniensium eam insulam adiisset : atque ipse eam legem tulerat, ut Favorinus memorat in Omnigena historia. Ceterum quum a quodam fuisset per jocum dictum, philosophum eum esse qui ascendisset, absolutum dimiserunt.

25.

Alcmæon Crotoniata. Hic quoque Pythagoræ auditor fuit et utplurimum quidem in medicina versatur, interdum tamen etiam de natura disputat, ubi dicit, *Duo pleraque sunt rerum humanarum.* Fertur autem primus de naturæ ratione scripsisse, ut Favorinus in Omnimoda tradit historia, lunamque hanc sempiternam habere naturam dixit.

26.

Videtur Anaxagoras, ut Favorinus in Omnigena historia testatur, primus Homeri carminum argumentum esse dixisse virtutem et justitiam : eamque rationem pluribus exposuisse Metrodorum Lampsacenum, ejus familiarem, qui etiam primus operam dederit illustrandis iis quæ in Homerica poesi pertinent ad rerum naturalium cognitionem.

27.

Primus Anaximander gnomonem invenit, ipsumque Lacedæmone in loco captandæ umbræ idoneo statuit, ut ait Favorinus in Omnigena historia : eo conversiones solis et æquinoctia notantur. Horoscopia quoque fabricatus est.

28.

Aristoteles Athenas profectus quum illic tredecim annos scholæ præfuisset, clam Chalcidem concessit, quod ab Eurymedonte hierophanta impietatis accusatus esset, sive, ut Favorinus ait in Omnigena historia, a Demophilo, quia hymnum in eum quem prædiximus Hermiam scripserit, et ejusmodi præterea epigramma statuæ Delphis positæ incidi curaverit :

Rex hunc Persarum dominusque sagittiferorum
occidit, violans jusque nefasque, virum.
Nam neque collato certamine vicit aperte,
insidiosi hominis sed famulante fide.

29.

Aristotelem primum orationem judicialem pro se ipso scripsisse, quum hujus criminis argueretur, Favorinus in Omnigena historia auctor est, ac dixisse, Athenis

Et pyra nata pyris, ficusque in ficubus exstant.

30

Diog. L. IV, 54, de Bione Borysthenita : Καὶ ὕστερόν ποτε ἐμπεσὼν εἰς νόσον, ὡς ἔφασκον οἱ ἐν Χαλκίδι — αὐτόθι γὰρ καὶ κατέστρεψε — περίαπτα λαβεῖν ἐπείσθη καὶ μεταγινώσκειν ἐφ' οἷς ἐπλημμέλησεν εἰς τὸ θεῖον. Ἀπορίᾳ δὲ καὶ τῶν νοσοκομούντων δεινῶς διετίθετο, ἕως Ἀντίγονος αὐτῷ δύο θεράποντας ἀπέστειλε. Καὶ ἠκολούθει γε αὐτῷ ἐν φορείῳ, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ.

31.

Idem IV, 63, de Carneade : Οὗτός ποτε Μέντορος τοῦ Βιθυνοῦ μαθητοῦ ὄντος καὶ παρ' αὐτὸν ἐλθόντος εἰς τὴν διατριβήν, ὡς ἐπείρα αὐτοῦ τὴν παλλακὴν ὁ Μέντωρ, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, μεταξὺ λέγων παρῴδησεν εἰς αὐτόν·

Πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτής,
Μέντορι εἰδόμενος ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν·
τοῦτον σχολῆς τῆσδ' ἐκκεκηρῦχθαι λέγω·

καὶ ὃς ἀναστὰς ἔφη·

Οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα.

32.

Idem V, 77, de Demetrio Phalereo : Ἐπιβουλευθεὶς γὰρ ὑπό τινων δίκην θανάτου οὐ παρὼν ὦφλεν. Οὐ μὴν ἐκυρίευσαν τοῦ σώματος αὐτοῦ, ἀλλὰ τὸν ἰὸν ἀπήρυγον εἰς τὸν χαλκόν, κατασπάσαντες αὐτοῦ τὰς εἰκόνας καὶ τὰς μὲν ἀποδόμενοι, τὰς δὲ βυθίσαντες, τὰς δὲ κατακόψαντες εἰς ἀμίδας· λέγεται γὰρ καὶ τοῦτο. Μία δὲ μόνη σώζεται ἐν ἀκροπόλει. Φαβωρῖνος δέ φησιν ἐν Παντοδαπῇ ἱστορίᾳ τοῦτο ποιῆσαι τοὺς Ἀθηναίους Δημητρίου κελεύσαντος τοῦ βασιλέως. Ἀλλὰ καὶ τῷ ἔτει τῆς ἀρχῆς αὐτοῦ ἐπέγραψαν ἀνομίας, ὡς Φαβωρῖνος.

33.

Idem IX, 34, de Democrito : Φαβωρῖνος δέ φησιν ἐν Παντοδαπῇ ἱστορίᾳ λέγειν Δημόκριτον περὶ Ἀναξαγόρου ὡς οὐκ εἴησαν αὐτοῦ αἱ δόξαι αἵ τε περὶ ἡλίου καὶ σελήνης, ἀλλ' ἀρχαῖαι, τὸν δ' ὑφῃρῆσθαι· διασύρειν τ' αὐτοῦ τὰ περὶ τῆς διακοσμήσεως καὶ τοῦ νοῦ, ἐχθρῶς ἔχοντα πρὸς αὐτὸν ὅτι δὴ μὴ προσήκατο αὐτόν.

34.

Idem VI, 25, de Diogene Cynico : Καί ποτε Πλάτωνα ἐν δείπνῳ πολυτελεῖ κατανοήσας ἐλάας ἁψάμενον, « Τί, φησίν, ὁ σοφὸς εἰς Σικελίαν πλεύσας τῶν τραπεζῶν τούτων χάριν, νῦν παρακειμένων οὐκ ἀπολαύεις; « Καὶ ὅς, » Ἀλλὰ νὴ τοὺς θεούς, φησί, Διόγενες, κἀκεῖ τὰ πολλὰ πρὸς ἐλάας καὶ τὰ τοιαῦτα ἐγινόμην. » Ὁ δέ, « Τί οὖν ἔδει πλεῖν εἰς Συρακούσας; ἢ τότε ἡ Ἀττικὴ οὐκ ἔφερεν ἐλάας; » Φαβωρῖνος δέ φησιν ἐν Παντοδαπῇ ἱστορίᾳ Ἀρίστιππον εἰπεῖν τοῦτο.

35.

Idem VI, 73, de eodem : Μηδέν τε ἄτοπον εἶναι ἐξ ἱεροῦ τι λαβεῖν ἢ τῶν ζῴων τινὸς γεύσασθαι· μηδ' ἀνόσιον εἶναι τὸ καὶ τῶν ἀνθρωπείων κρεῶν ἅψασθαι, ὡς δῆλον ἐκ τῶν ἀλλοτρίων ἐθῶν· καὶ τῷ ὀρθῷ λόγῳ

30.

Postremo Bion incidens in malam valetudinem, ut dixerunt qui erant in Chalcide — illic enim et obiit — ligaturas suscipere inductus est et pœnitentiam agere super his quæ peccarat in Deum. Eorum vero inopia qui infirmum curarent et foverent diro cruciatus est, donec Antigonus duos illi famulos misit. Secutusque est eum in lectica, ut Favorinus tradit in Omnigena historia.

31.

Carneades aliquando, quum Mentor Bithynus discipulus atque auditor pellicem ipsius tentasset, ut Favorinus refert in Omnigena historia, inter dicendum in illum Mentorem sic jocatus est :

Tetricus hic quidam versatur homuncio et idem
vanus inersque senex, par Mentori membra loquelamque :
Exterminato, præco, nostra hunc ex schola.

At ille continuo exsurgens intulit :

Præcones clamant : conciti protinus illi.

32.

Demetrius Phalereus a nonnullis circumventus insidiis, absens capitis damnatus est. Neque tamen ipsum comprehendere potuerunt, sed virus suum in æra evomuerunt et statuas, quas dejectas partim vendiderunt, alias summerserunt, aliasque conflaverunt in matulas : nam hoc quoque fertur. Una autem sola servata est in arce. Fecisse autem hoc Athenienses Demetrio jubente rege, Favorinus auctor est in Omnigena historia. Sed etiam annum, quo Archon fuit, ἀνομίας (*illegitimi imperii*) nomine appellarunt, auctore Favorino.

33.

Refert Favorinus in Omnimoda historia Democritum de Anaxagora dixisse, non illius esse, quæ ejus dicuntur de sole ac luna opiniones, verum illo antiquiores, ipsumque sibi ea furatum esse : carpere item quæ ille de mundi compositione et mente dixisset, infesto adversus illum animo, quod scilicet ipsum non recepisset.

34.

Diogenes, quum vidisset aliquando Platonem in lauto convivio olivis vescentem, Quid, inquit, sapiens vir in Siciliam hujusmodi mensarum gratia profectus, appositis modo non frueris? Et ille, At hercle, inquit, Diogenes, et illic oleis et reliquis ejusmodi utplurimum vescebar. Et ille, Quid igitur, inquit, Syracusas navigare oportebat? an tunc Attica oleas non ferebat? Favorinus in Omnigena historia Aristippum hoc dixisse tradit.

35.

Diogenes nihil esse iniquum dixit ex templo quippiam auferre aut quodvis gustare animal : neque nefas esse humanis vesci carnibus, idque ex peregrinarum gentium consuetudine liquere : atque recta ratione omnia in omnibus

πάντ' ἐν πᾶσι καὶ διὰ πάντων εἶναι λέγων. Καὶ γὰρ ἐν τῷ ἄρτῳ κρέως εἶναι καὶ ἐν τῷ λαχάνῳ ἄρτου, καὶ τῶν σωμάτων τῶν λοιπῶν ἐν πᾶσι διά τινων ἀδήλων πόρων καὶ ὄγκων εἰσκρινομένων καὶ συνατμιζομένων, ὡς δῆλον ἐν τῷ Θυέστῃ ποιεῖ, εἴ γ' αὐτοῦ αἱ τραγῳδίαι καὶ μὴ Φιλίσκου τοῦ Αἰγινήτου ἐκείνου γνωρίμου ἢ Πασιφῶντος τοῦ Λουκιανοῦ, ὅν φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ μετὰ τὴν τελευτὴν αὐτοῦ συγγράψαι.

De *Parmenide* locum vide in fr. 14 et 38.

36.

Diog. L. IX, 50, de Protagora : Διήκουσε δ' ὁ Πρωταγόρας Δημοκρίτου. Ἐκαλεῖτό τε Σοφία, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ.

37.

Idem II, 20, de Socrate : Καὶ Ἀριστοφάνης αὐτὸν κωμῳδεῖ ὡς τὸν ἥττω λόγον κρείττω ποιοῦντα. Καὶ γὰρ πρῶτος, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, μετὰ τοῦ μαθητοῦ Αἰσχίνου ῥητορεύειν ἐδίδαξε.

38.

Idem II, 38 : Ἀπηνέγκατο μὲν οὖν τὴν γραφὴν (contra Socratem) ὁ Μέλητος· εἶπε δὲ τὴν δίκην Πολύευκτος, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ. Συνέγραψε δὲ τὸν λόγον Πολυκράτης, ὥς φησι Ἕρμιππος. Hoc negat Favorinus in Ἀπομνημονευμάτων libro I (v. fragm. 5).

39.

Idem IX, 29, de Zenone Eleata : Οὗτος καὶ τὸν Ἀχιλλέα πρῶτος λόγον ἠρώτησε· Φαβωρῖνος δέ φησι Παρμενίδην καὶ ἄλλους συχνούς.

Præterea Diogenes Favorinum laudat, IX, 87, de modis Pyrrhonianis. Hoc fragmentum referri debet ad decem libros Περὶ τρόπων Πυρρωνείων, de quibus vide Gellium N. A. XI, 5.

40.

Stephan. Byz. v. Αἰθίοψ· Τὴν γὰρ Αἰθιοπίαν γῆν πρώτην φασὶ παγῆναι· πρῶτοι καὶ θεοὺς ἐτίμησαν καὶ νόμοις ἐχρήσαντο. Ὀνομάζουσι δὲ αἰτίους τούτων Μίθραν καὶ Φλεγύαν (Φλεγύας libri), ἄνδρας Αἰθίοπας τὸ γένος, ὡς Φαβωρῖνος.

41.

St. B. : Ἀκτή. Οὕτως ἡ Ἀττικὴ ἐκαλεῖτο ἀπὸ Ἀκταίου τινός. Ἀνὴρ δὲ ἦν αὐτόχθων, ὡς Φαβωρῖνος, ὃς ἐβασίλευσεν ἐκεῖ καὶ ἀφ' ἑαυτοῦ οὕτω τὴν χώραν ὠνόμασε καὶ τοὺς λαούς.

42.

St. B. : Ἀραχωτοί, πόλις Ἰνδικῆς, ἀπὸ ποταμοῦ Ἀραχωτοῦ, ῥέοντος ἀπὸ τοῦ Καυκάσου, ὡς Φαβωρῖνος καὶ Στράβων ἑνδεκάτῃ (p. 513).

43.

St. B. : Αὐταριάται, ἔθνος Θεσπρωτικόν· Χάραξ ἐν ἑβδόμῃ Χρονικῶν καὶ Φαβωρῖνος ἐν Παντοδαπαῖς καὶ Ἐρατοσθένης.

44.

St. B. : Βισαλτία, πόλις καὶ χώρα Μακεδονίας, ἀπὸ Βισάλτου τοῦ Ἡλίου καὶ Γῆς. Περὶ ταύτην οἱ λα.

---

et per omnia esse dicens. Namque et in pane carnes esse et in olere panem, quum et reliqua corpora in omnibus per occultos quosdam meatus ac tumores ingerantur atque una evaporent, sicut in Thyeste declarat, si quidem ipsius sunt tragœdiæ et non Philisci Æginetæ ipsius familiaris sive Pasiphontis Luciani filii, quem scribit Favorinus in Omnigena historia post obitum ejus scripsisse.

36.

Audivit Protagoras Democritum, vocabaturque Sapientia, ut Favorinus in Omnimoda historia refert.

37.

Exagitatur Socrates ab Aristophane, ut qui deteriorem causam superiorem faceret. Primus quippe, ut Favorinus in Omnigena scribit historia, cum Æschine discipulo artem dicendi docuit.

38.

Accusationem contra Socratem ad judices detulit Melitus; orationem accusatoriam in judicio dixit Polyeuctus, ut Favorinus ait in Omnigena historia; scripserat vero eam Polycrates, ut Hermippus tradit.

39.

Zeno Eleates etiam primus syllogismo usus est qui Achilles appellatur, quamvis Favorinus Parmenidem et alios plures proferat.

40.

Æthiopiam terram omnium primam formatam esse dicunt. Ac primi Æthiopes deos coluerunt legibusque usi sunt, quarum auctores Mithram et Phlegyam, Æthiopes genere, appellant, testante Favorino.

41.

Acte. Sic Attica vocabatur ab Actæo quodam, viro indigena, qui ibi regnavit atque regionem ejusque incolas de suo nomine appellavit, teste Favorino.

42.

Arachoti, in India, nomen habent ab Arachoto fluvio, qui de Caucaso defluit, ut Favorinus tradit et Strabo libro undecimo.

43.

Autariatæ, gens Thesprotica. Charax Chronicorum libro septimo, Favorinus in Historia Omnigena et Eratosthenes.

44.

Bisaltia, urbs et regio Macedoniæ, nomen habet a Bisalte, Solis et Terræ filio. In hac regione qui capiuntur le-

γοὶ σχεδὸν πάντες ἁλίσκονται δύο ἥπατα ἔχοντες, ὡς Θεόπομπος ἔχει καὶ Φαβωρῖνος.

45.

St. B. : Κρεμμύων, κώμη Κορίνθου. Εὔδοξος ἕκτῳ Γῆς περιόδου. Ὁ πολίτης Κρεμμυώνιος. Ἐν ᾗ μυθεύουσι τὰ περὶ τὴν Κρεμμυωνίαν ὗν, ἣν μητέρα τοῦ Καλυδωνίου κάπρου φασὶ καὶ ἕνα τῶν Θησέως ἄθλων. Φαβωρῖνος δὲ ὅτι τοῦ Ἐρυμανθίου καὶ τοῦ Καλυδωνίου μήτηρ ἦν. Τὸ δὲ κύριον ὄνομα αὐτῆς ἐκαλεῖτο Φαῖα.

46.

St. B.: Σφακτηρία.... Ἔστι καὶ νῆσος Σφακτηρία, ἧς μνημονεύει Παυσανίας ἐν τρίτῳ Περιηγήσεως Ἑλλάδος (III, 5, 5). Ἐκαλεῖτο καὶ Σφαγία, ὡς Φαβωρῖνος.

47.

St. B. : Χελιδόνιοι, ἔθνος Ἰλλυρικόν... εἰσὶ καὶ Χελιδόνιαι πέτραι, ὧν πολλάκις ἐμνήσθημεν. Δύο δέ εἰσι κεκλημέναι, ἡ μὲν Κορύδελα, ἡ δὲ Μελανίππεια, ὡς Φαβωρῖνος ἐν ταῖς Παντοδαπαῖς.

48.

St. B. : Ὠκεανός, ὁ ποταμὸς ὁ περιέχων τὴν γῆν Φαβωρῖνος ἐν ταῖς Παντοδαπαῖς ἱστορίαις· « Προσαγορεύουσι δὲ τὴν ἔξω θάλατταν ἐκεῖ μὲν οἱ πολλοὶ τῶν βαρβάρων Ὠκεανὸν, οἱ δὲ τὴν Ἀσίαν οἰκοῦντες Μεγάλην θάλατταν, οἱ δ' Ἕλληνες Ἀτλαντικὸν πέλαγος. » Ἐκλήθη δ' οὕτω παρὰ τὸ ὠκέως νάειν, ὅ ἐστι ῥεῖν.

49.

Julius Valerius De reb. Alex. I, c. 13, in Pseudocallisthen. ed. Didot. : *De ea* (sc. *de institutione Alexandri M.*) *si quid inquirere curiosius voles, sat tibi, lector, habeto græcum Favorini librum, qui Omni genere historiæ superscribitur. Illic etiam generis Alexandri inveneris seriem, cui generis principium præstitisse ferunt Oceanum et Thetidem, exinque fluxisse per Acrisium Danaumque atque Persea multosque alios in Perdiccæ genera vel Philipporum. Nam ne Olympiadi quidem secus propago generosa est : cui diligentia pari a mundi principio per Saturnum atque Neptunum, tum etiam Telamona seriem generis attexuit, ad tertiumque Neoptolemum docet prosapiam defluxisse, cujus* [*uxor*] *Anasafia* (sic) *mater Olympiadis cluit.* Cf. idem I, 42; Pausanias I, 11.

50.

Etym. M. p. 711, 48 : Σητάνειοι... Φαβωρῖνος δὲ Περὶ παντοδαπῆς ὕλης οὕτως· « Τητάνειος σῖτος· » δηλοῖ δὲ ἡ λέξις τὸν καθαρόν· καὶ σητανείους πυροὺς, ἐπετείους· Ὧρος.

ΕΠΙΤΟΜΗ.

E LIBRO QUARTO.

51.

St. B. : Ῥοπεῖς, ἔθνος, οὗ μέμνηται Φαβωρῖνος ἐν Ἐπιτομῇ τετάρτῃ, τῆς Παμφυλίας.

52.

(ΠΕΡΙ ΚΥΡΗΝΑΪΚΗΣ ΠΟΛΕΩΣ.)

St. B. v. Ἀλεξάνδρεια. Τὸ ἐθνικὸν Ἀλεξανδρεύς.... Δίδυμος δὲ παρατίθεται χρῆσιν ἐξ Ἐρατοσθένους τὸ Ἀλεξανδρίτης. Φαβωρῖνος δὲ ἐν τῷ Περὶ Κυρηναϊκῆς πόλεως Ἀλεξανδρειώτην φησί.

---

pores fere omnes duo habent jecora, ut Theopompus narrat et Favorinus.

45.

Cremmyon, vicus Corinthi. Eudoxus sexto Periodi. Civis Cremmyonius. Hic illa de sue Cremmyonia contigisse perhibent, quam matrem apri Calydonii statuunt, et unum ex Thesei certaminibus. Tradit vero Favorinus, eam Erymanthii et Calydonii apri matrem fuisse, quæ nomine proprio Phæa sit appellata.

46.

Sphacteria etiam insula est, cujus meminit Pausanias tertio Periegeseos Græciæ. Vocabatur etiam Sphagia, ut Favorinus tradit.

47.

Chelidonii, gens Illyrica. Sunt etiam Chelidoniæ petræ, quarum sæpius meminimus. Duæ sunt; altera Corydela, altera Melanippia vocatur, ut Favorinus in Omnigenis.

48.

Oceanus fluvius terram ambiens. Favorinus in Omnigena historia : « Appellant autem externum mare multi quidem ex barbaris Oceanum; qui vero Asiam incolunt, Magnum mare; Græci denique, Atlanticum pelagus. » Sic autem vocatum fuit quod celeriter fluat.

50.

Favorinus in Omnigena silva : « Hornum frumentum. »

EPITOME.

51.

Rhopenses, Pamphyliæ gens, cujus meminit Favorinus libro quarto Epitomes.

(DE CYRENAICA URBE.)

52.

Alexandria. Gentile Alexandreus. Didymus vero ex Eratosthene citat formam *Alexandrites*. Favorinus autem De Cyrenaica urbe *Alexandriotes* dicit.

Bernnardyus ad Suidam v. Φαϐωρῖνος legendum censet Περὶ Κυρηναϊκῆς πολιτείας, *De Cyrenaica secta*, librumque hunc partem vel appendicem fuisse operis in quo de Socrate ejusque discipulis auctor egerit.

HADRIANUS CÆSAR.

Ælius Spartianus in Hadrian. c. 16 : *Famæ celebris Adrianus tam cupidus fuit, ut libros vitæ suæ, scriptos a se, libertis suis literatis dederit, jubens ut eos suis nominibus publicarent : nam Phlegontis libri Adriani esse dicuntur.* Inter Phlegontis scripta libros *De vita Hadriani* non memorat Suidas v. Φλέγων, ipsumque Hadrianum laudat Dio Cassius. Reliqua Hadriani scripta prosaica et poetica nihil curamus.

ΒΙΟΣ ΑΔΡΙΑΝΟΥ.

Ælius Spartianus in Hadriano c. 7 : *Nigrini insidias, quas ille sacrificanti Adriano, conscio sibi Lusio et multis aliis, paraverat, quum eum etiam successorem sibimet Adrianus destinasset, evasit. Quare Palma Terracinæ, Celsus Baiis, Nigrinus Faventiæ, Lusius in itinere, senatu jubente, invito Adriano (ut ipse in Vita sua dicit) occisi sunt.*

Dio Cassius LXIX, 11 : Ὁ γὰρ Ἀντίνοος ἦν μὲν ἐκ Βιθυνίου, πόλεως Βιθυνίδος, ἣν καὶ Κλαυδιούπολιν καλοῦμεν· παιδικά τε αὐτοῦ ἐγεγόνει, καὶ ἐν τῇ Αἰγύπτῳ ἐτελεύτησεν· εἴτ' οὖν εἰς τὸν Νεῖλον ἐκπεσὼν, ὡς Ἀδριανὸς γράφει, εἴτε καὶ ἱερουργηθεὶς, ὡς ἀλήθεια ἔχει.

ARRIANUS NICOMEDENSIS.

Historica opera præter Expeditionem Alexandri et Indica Arrianus scripsit hæc :

1. Τὰ μετὰ Ἀλέξανδρον βιϐλ. ι′.
2. Τὰ περὶ Τιμολέοντα τὸν Κορίνθιον.
3. Τὰ περὶ Δίωνα τὸν Συρακούσιον.
4. Βιθυνιακὰ ἐν βιϐλ. η′.
5. Παρθικὰ ἐν βιϐλ. ιζ′.
6. Ἀλανικὴ ἱστορία.
7. Βίον Τιλλιϐόρου τοῦ λῃστοῦ.

Idem in Dionys. 828 : Ἔθνος δὲ γυναικεῖον αἱ Ἀμαζόνες πρὸς τῷ Θερμώδοντι, διὸ καὶ ἀπὸ μητέρων ἐγενεαλογοῦντο, καθάπερ Ἀρριανὸς ἱστορεῖ.

Idem ib. : Ὅτι δὲ αἱ Ἀμαζόνες πολλοὺς ἐν Ἀσίᾳ κατέσχον τόπους ποτὲ, δηλοῦσι καὶ κρῆναί τινες Ἀμαζόνων ὁμώνυμοι, καὶ μὴν καὶ πόλεις, οἷον ἡ Ἔφεσος αὕτη, ἡ Ἀναία, ἡ Μύρινα, ἡ Αἰολικὴ Κύμη. Ἔστι δὲ καὶ Ἐλαία τόπος πρὸς τῇ Νικομηδείᾳ κατὰ τὸν Ἀρριανὸν ἀπὸ Ἐλαίας Ἀμαζόνος· καὶ πρὸς τῷ Πόντῳ δὲ Θίβα, τόπος διὰ τοῦ ι ἔχων τὴν παραλήγουσαν, ἀπὸ μιᾶς τῶν ὑφ' Ἡρακλέος ἀναιρεθεισῶν Ἀμαζόνων σχοῦσα τὴν κλῆσιν, « ὧν αἱ διάφοραι (τουτέστιν αἱ ὑπερέχουσαι) καὶ ἀξιολογώτεραι, κατὰ τὴν τοῦ Ἀρριανοῦ ἱστορίαν, εἰσὶν αὗται πρὸς ὄνομα, Τράλλα, Ἰσοκράτεια, Θίβα, Πάλλα, καὶ ἄλλαι. »

59.

Stephan. Byz. : Ἀμαζόνειον, τόπος ἐν τῇ Ἀττικῇ... Ἔστι καὶ ἄλλο διὰ τοῦ κ Ἀμαζονικὸν ἐν Βοιωτίᾳ. Ἔστι καὶ ἐν Βιθυνίᾳ Μαζαῖον κατὰ παραφθορὰν, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς. Τὸ ἐθνικὸν Μαζαεὺς, ὡς Μιδαεὺς καὶ Δορυλαεύς.

60.

Eustath. ad Dionys. 549 : Ὅτι ἐντὸς τῆς Μαιώτιδος νῆσος ἀπειρεσίη ἐστήρικται, ἣν καλοῦσι Ταυρικὴν, ἐν ᾗ Φαιναγόρα καὶ Ἑρμώνασσα, Ἰώνων ἄποικοι πόλεις, ὧν ἡγήσατο Φαιναγόρας τις καὶ Ἕρμων, ἀφ' ὧν οἱ τόποι καλοῦνται. Ἀρριανὸς δὲ οὕτω φησί· « Φαιναγόρεια, ἣν ἔκτισε Φαιναγόρας ὁ Τήιος, φεύγων τὴν τῶν Περσῶν ὕβριν· ἔτι δὲ Ἑρμώνασσα ἐπὶ Ἑρμωνάσσῃ τῇ γυναικὶ Σημάνδρου Μυτιληναίου τινὸς, οὗ τινὰς τῶν Αἰολέων εἰς ἀποικίαν μεταστήσαντος καὶ θανόντος ἐν τῷ τῆς πόλεως οἰκισμῷ, ἡ γυνὴ τῆς τε πόλεως ἐγκρατὴς ἐγένετο, καὶ τὸ ἑαυτῆς ὄνομα τῇ πόλει ἐπέθετο. »

61.

Idem ib. 803 : Κατὰ δὲ τὴν Ἀρριανοῦ ἱστορίαν ἐπώνυμός ἐστιν ἡ τῶν Χαλκηδονίων πόλις τῷ Κρόνου

56.

Trieres (*Treres*), a Triere, Ombriarei et Thraces filio, ut Arrianus ait in Bithynicis.

57.

Enyalius secundum plurimos Mars dicitur ab Enyo; nonnulli autem sicuti Palladem a Pallantis cæde, sic Enyalium quoque similem ob causam nomen habere narrant. Arrianus scilicet ita refert : « Mars in Thraciæ veniens regiones, ubi Enyalius habitabat, hospitio excipi ab eo voluit. Ille vero excipere noluit, dicens se non admittere hospitem nisi qui virtute bellica ipsum superaverit. Tum Mars : « Jam igitur hospitium mihi concedes; nam ego me præstantiorem te esse rebus bellicis contendo. » Quod illo negante, ad manus veniunt, et postquam diu certarunt, postremo Enyalius cecidit a Marte romphææ ictu percussus. Arduum hoc certamen quod juvenis adhuc Mars confecisset, Enyalius hinc nominatus est. »

58.

Amazones mulierum est populus ad Thermodontem; quare etiam a matribus generis seriem recensere solebant, ut Arrianus narrat.

Amazones multos in Asia locos tenuisse probant fontes Amazonum cognomines, nec non urbes, ut Ephesus, Anæa, Myrina et Cyme Æolica. Est etiam Elæa locus ad Nicomediam, Arriano teste, ab Elæa Amazone nomen ducens, et ad Pontum Thiba locus (per *i* literam in penultima), qui nominatus est ab una Amazonum ab Hercule interfectarum, inter quas præcipuæ et clarissimæ secundum Arriani historiam fuerunt Tralla, Isocratea, Thiba, Palla, aliæ.

59.

Amazonium locus in Attica. Est etiam in Bœotia quod per *c* literam dicitur Amazonicum. Porro in Bithynia quod per corruptionem abiit in Mazæum, ut Arrianus in Bithyniacis refert. Gentile Mazaeus, ut Midaeus, Dorilaeus.

60.

Intra paludem Mæotidem insula porrigitur ingens, quam vocant Tauricam, in qua Phænagora (*Phanagoria*) et Hermonassa urbes, Ionum coloniæ, quæ deductæ sunt Phænagora et Hermone ducibus, a quibus etiam nuncupatæ sunt. Arrianus vero ita dicit : « Phænagoria, quam condidit Phænagoras Teius, Persarum fugiens insolentiam; præterea Hermonassa, quæ vocatur de Hermonassa uxore Semandri Mytilenæi, qui quum Æoles nonnullos in coloniam deduxisset, et dum urbs condebatur, esset defunctus, uxor ejus imperio urbis potita est eique suum ipsius nomen imposuit. »

υἱῷ Χαλκηδόνι, ἀφ' οὗ πρῶτα μὲν ὁ ἐκεῖ που ῥέων ποταμὸς ἐκλήθη Χαλκηδὼν, ἔπειτα ἡ πόλις, Δωριέων ἀποικησάντων ὑστέροις χρόνοις, ὁμώνυμος γίνεται τῷ ποταμῷ. Ἱστορεῖ δὲ ὁ αὐτὸς καὶ ὅτι τοῖς Χαλκηδονίοις ἀποφρὰς νομίζεται παντὸς μηνὸς φθίνοντος ἐνάτη (ἤγουν ὡς τοῖς Ἀττικοῖς ἀρέσκει, αἱ εἰκοσταὶ πρῶται τῶν ὅλων μηνῶν ἀπαίσιοι αὐτοῖς κρίνονται), διότι ἐν τοιαύταις ἡμέραις ἄλλας τε δυστυχίας αὐτοὶ ἔπαθον, καὶ Φαρνάβαζος δὲ ὁ Πέρσης τοὺς αὐτῶν παῖδας ἐκτεμὼν εἰς τὸν Δαρεῖον ἀνέπεμψε. Κατασκῆψαι δέ φησιν αὐτοῖς καὶ νόσον ἐκ θεομηνίας, τὸ αὐτοὺς τὰ σφῶν ἀποτέμνειν αἰδοῖα, διότι θυσιῶν τινων κατημέλησαν.

62.

Steph. Byz. Ἀλμήνη, πόλις πρὸς τῷ Εὐξείνῳ πόντῳ, ὡς Ἀρριανός. Τὸ ἐθνικὸν Ἀλμήνιος, ὡς Παλλήνιος, ἢ Ἀλμηνίτης, ὡς Σινωπίτης. Urbs aliunde non nota; Ἀρμένη et Ἀμελητὸς memorantur in Anonymi Peripl. Ponti Euxin. § 24 et 17. Hic vel ille locus ap. Arrianum intelligendus. Gail. tom. III, p. 42, nostrum locum tanquam e Periplo Arriani desumptum posuit. Nescio quam ob causam, quum nulla ibi ejus mentio fiat, et commodissime ad Bithynica referatur.

63.

Eustathius ad Dion. 270 : Ὅτι Εὐρώπη ἡ χώρα ἐξ Εὐρώπης λέγεται, καθὰ καὶ ὁ Λυκόφρων (v. 1398) φησίν· ἀφ' ἧς ὁ Σαρπηδὼν, ὡς ἱστορεῖ Εὐριπίδης ἐν Ῥήσῳ (v. 29). Ἀγήνορος δὲ αὕτη θυγάτηρ, ἣν Ταῦρος ὁ τῆς Κρήτης βασιλεὺς ἐλῄσατο, ναυμαχίᾳ τὴν Τύρον ἑλών. Σημείωσαι δὲ ὅτι ἄλλος ἐστὶν οὗτος παρὰ τὸν Λύκιον Σαρπηδόνα. Σαρπηδὼν μὲν γὰρ οὗτος, ὁ τῆς ῥηθείσης Εὐρώπης, ἀδελφός ἐστι Μίνωος καὶ Αἰακοῦ κατὰ τὸν Ἀρριανόν· ὁ δὲ ἐκ Λυκίας Σαρπηδὼν ὁ Ὁμηρικὸς οὐκ ἂν εἴη τούτῳ σύγχρονος.

64.

Idem ad Il. β, 814, p. 356, 28 : Ἱστορεῖ δὲ ὁ γεωγράφος καὶ ὅτι Βάτεια ἀπὸ Βατείας προσηγόρευται, τῆς Δαρδάνου γυναικὸς, ἧς καὶ Ἀρριανὸς μεμνημένος φησὶν ὅτι Δάρδανος ἐκ Σάμου τῆς Θρᾳκίας ἐλθὼν τὰς τοῦ Τεύκρου βασιλέως θυγατέρας ἔγημε, Νησὼ καὶ Βάτειαν, καὶ ἐκ μὲν τῆς Νησοῦς ἦν αὐτῷ θυγάτηρ Σίβυλλα ἡ μάντις (ἀφ' ἧς καὶ ἄλλαι γυναῖκες ὅσαι ἐγένοντο μαντικαὶ, Σίβυλλαι ἐλέγοντο, οὐχ ὡς πρὸς αἵματος αὐτῇ οὖσαι, ἀλλὰ διὰ τὴν ὁμοίαν θεοφορίαν τυχοῦσαι τῆς ἐπικλήσεως), ἐκ Βατείας δὲ Ἐριχθόνιος καὶ Ἶλος.

65.

Idem in Dion. 391 : Ἰστέον δὲ ὅτι ὁ μὲν μῦθος τὴν τῷ Κάδμῳ προσοικήσασαν Ἁρμονίαν Ἄρεος καὶ Ἀφροδίτης γενεαλογεῖ. Ἀρριανὸς δὲ Ἀσιανήν τε αὐτὴν οἶδε καὶ Δαρδάνου ἀδελφήν· φησὶ γὰρ ὅτι « Κάδμος ὑπὸ τοῦ πατρὸς κατὰ ζήτησιν τῆς ἀδελφῆς Εὐρώπης σταλεὶς καὶ πλανώμενος περιπετὴς γέγονεν Ἁρμονίᾳ τῇ τοῦ Δαρδάνου ἀδελφῇ, ἁρπάσας δὲ καὶ εἰς τὰς νῆας ἐνθέμενος προσέσχε τῇ Βοιωτῶν γῇ, ἔνθα Θηβαίων ἐγένετο ἀρχηγὸς, πλούτῳ τε εὐδοκιμῶν καὶ τῇ ἄλλῃ σοφίᾳ. »

66.

Idem ad Hom. Il. δ, 407, p. 490 ed. Rom. : Ἐκ τῶν ῥηθέντων Θηβαϊκῶν πολέμων παροιμία ἐξέ-

61.

Secundum Arriani historiam Chalcedoniorum urbs nomen traxit a Saturni filio Chalcedone, a quo primum fluvius qui ibi est Chalcedon appellatus sit, deinde vero fluvii nomen urbi inditum, quam Dorienses postero tempore condiderunt. Idem Arrianus apud Chalcedonios narrat nonum ante finem mensis cujusque diem haberi nefastum, sive, ut Attici dicerent, diem vicesimum primum uniuscujusque mensis infaustum esse ab iis censeri, quod eo die tum alia passi sint infortunia, tum Pharnabazus Persa filios eorum castraverit et ad Darium miserit. Præterea etiam morbum ex deorum ira, quod sacra quædam neglexissent, eos invasisse, quo ad pudenda sibi præscindenda adigerentur.

62.

Almene (*Armene?*) urbs ad Pontum Euxinum, ut Arrianus refert. Gentile Almenius, quemadmodum Pallenius, vel Almenites, quemadmodum Sinopites.

63.

Europa terra nomen habet ab Europa, ut Lycophron dicit. Ejus filius fuit Sarpedon, testante Euripide in Rheso. Ipsa vero Europa fuit Agenoris filia, quam Taurus Cretæ rex, quum navali prœlio Tyrum cepisset, captivam abduxit. Ceterum nota hunc Sarpedonem diversum esse a Lycio. Nam Sarpedon, Europæ, quam modo dixi, filius, frater fuit Minois et Æaci secundum Arrianum, cujus æqualis esse vix possit Homericus ille ex Syria Sarpedon.

64.

Narrat Strabo Batiam (in agro Trojano locum) nomen habere a Batia, Dardani uxore, cujus Arrianus quoque mentionem faciens Dardanum e Samothracia profectum narrat Teucri regis filias uxores duxisse, Nesonem et Batiam, atque e Nesone filiam suscepisse Sibyllam vatem (a qua reliquæ mulieres, quotquot fatidicæ fuerint, Sibyllæ nominatæ sint, non inde quod sanguine junctæ illi, sed quod similiter divino instinctu vaticinatæ sint, nomen illud ferentes), e Batia autem filios genuisse Erichthonium et Ilum.

65.

Tenendem est ex vulgari fabula Harmoniam, quæ Cadmo nupsit, Martis et Veneris filiam dici. Arrianus vero eam Asiaticam novit et Dardani sororem. Dicit enim : « Cadmus a patre ad quærendam Europam sororem emissus, dum vagus oberrat, incidit in Harmoniam Dardani sororem, raptamque ac navi impositam in Bœotorum regionem abduxit, ubi Thebanorum princeps exstitit, vir divitiis clarus et sapientia. »

66.

Ex Thebaicis illis bellis ortum est proverbium, quod de inutilibus usurpatur, *Cadmea victoria*, quandoquidem

πεσεν ἐπὶ τῶν ἀλυσιτελῶν τὸ Καδμεία νίκη, ἐπειδή, φασί, Θηβαῖοι τὰ πρῶτα νικήσαντες ὕστερον ὑπὸ τῶν Ἐπιγόνων ἡττήθησαν. Ἀρριανὸς μέντοι ἐν τοῖς Βιθυνιακοῖς, ὡς καὶ προεδηλώθη, ἐπὶ μεγίστης νίκης τὴν παροιμίαν ἐδέξατο.

Eustath. ad Il. p. 361, 1 : Καδμείαν νίκην οἱ μὲν ἄλλοι οὐκ ἐπαινοῦντές φασι... Ἀρριανὸς δὲ τὴν μεγάλην καὶ ὅ φασι κατ' ἄκρας νοεῖ διὰ τὸ ἄκρως ἡττηθῆναι τοὺς περὶ τὸν Πολυνείκην ὑπὸ τῶν Καδμείων, ὡς μόνον περισωθῆναι τὸν Ἄδραστον.

67.

Idem ad Dion. 517 : Ὁ δὲ Ἀρριανὸς ἄλλως φησί· « Πάριος υἱὸς Ἰασίωνος, ᾧ ἐπώνυμον τὸ ἐν Ἑλλησπόντῳ Πάριον ὡς οἰκιστῇ. »

Idem ibid. : Ἀρριανὸς δέ φησι καὶ ὅτι Θάσος ἀπὸ Θάσου καλεῖται, Ποσειδῶνος υἱοῦ· καὶ ὅτι ἐκαλεῖτό ποτε καὶ Χρυσῆ νῆσος διὰ χρυσᾶ μέταλλα, ὧν καὶ Ἡρόδοτος μέμνηται (IV, 46).

68.

Idem ad Il. β, 824, p. 354, 14 : Ἐπεὶ δέ, φησὶ (sc. Στράβων), Λύκιοι οἱ περὶ Ζέλειαν, διὰ τοῦτο καὶ Λυκάων ἀρχηγὸς αὐτῶν καὶ Ἀπόλλων αὐτόθι τιμᾶται Λυκηγενής. Λέγει δὲ καὶ Ἀρριανὸς οὕτω· « Ζέλεια ἡ καὶ Λυκία, καὶ ὁ Ἀπόλλων ἐπὶ τῇδε τῇ Λυκίᾳ Λύκιος· διὸ καὶ Πανδάρου πατὴρ Λυκάων, οὐ πόρρω τοῦ τοιούτου ἔθνους πεσόντος τοῦ ὀνόματος· καὶ Λυκογενεῖ Ἀπόλλωνι ἐκεῖνος εὔχεται τῷ ἐπιχωρίῳ (Il. δ, 119). »

69.

Idem ad Dion. 874 : Ὅτι Κίλικες τὸ ἔθνος, καθά φησιν Ἀρριανός, ἀπὸ Κίλικος τοῦ Ἀγήνορος, ὃς ἐκ Φοινίκης κατὰ ζήτησιν Εὐρώπης σταλεὶς καὶ πολλὴν γῆν πλανηθεὶς οὐδενὶ μὲν ἴχνει τῆς παιδὸς ἐνέτυχε, τὴν δὲ πολλὴν τῆς Κιλίκων γῆς κατασχὼν ἀφ' ἑαυτοῦ τὴν ἐπωνυμίαν τῇ χώρᾳ δέδωκεν.

70.

Idem ib. 498 : Ἀρριανὸς δέ φησι· « Κρής, οὗ Κρήτη ἐπώνυμος, ὁ τὸν Δία κρύψας ἐν ὄρει Δικταίῳ, ὅτε Κρόνος ἐμάστευεν, ἐθέλων ἀφανίσαι αὐτόν. »

71.

Idem ib. 530 : Ἡ Μῆλος περὶ τὸ Κρητικὸν πέλαγος, ἀπό τινος ἀνδρὸς Μήλου κληθεῖσα κατὰ τὴν τοῦ Ἀρριανοῦ ἱστορίαν.

72.

Idem ib. 511 : Ἐκαλεῖτο δέ ποτε (Salamis ins.) Κυχρεία, ἀπό τινος Κυχρέως, οὗ καὶ Λυκόφρων (v. 451) καὶ Ἀρριανὸς (Ῥιανὸς?) μέμνηνται, ὃς Ὄφις μὲν ἐπεκλήθη διὰ τραχύτητα τρόπου, ἀπηλάθη δὲ τῆς νήσου ὑπὸ Εὐρυλόχου.

Hæc e Stephano Byzant. fluxisse videntur, ubi : Κυχρεῖος πάγος, περὶ Σαλαμῖνα. Σοφοκλῆς Τεύκρῳ. Ἀπὸ Κυχρέως τοῦ Σαλαμῖνος καὶ Ποσειδῶνος, ὃς Ὄφις ἐπεκλήθη διὰ τὴν τραχύτητα τῶν τρόπων· ὃν λυμαινόμενον τὴν νῆσον ἀπήλασεν Εὐρύλοχος· ἐδέξατο δ' ἐν Ἐλευσῖνι Δημήτηρ καὶ ἀμφίπολον ἐποίησεν· ἀπ' αὐτοῦ δὲ καὶ ἡ Σαλαμὶς Κυχρεία ἐκλήθη, ὡς Στράβων (IX, p. 393). Cf. Apollodor. III, 12, 6; Diodor. IV, 72; Pausan. I, 36, 1; Tzetzes ad Lyc. 110 et 451, ubi de eadem re Euphorio (p. 53 Meinek.) laudatur. Cf. idem ad Lyc. v. 175; et Etym. M. p. 707. 42 : Σαλαμὶς πόλις ἀπὸ Σαλαμῖνος τῆς Ἀσωποῦ θυγατρός, [supplet Meinek. : ἥτις Ποσειδῶνι μιγεῖσα ἔτεκε Κυχρέα] ὃς ἐλθὼν εἰς Σαλαμῖνα καὶ εὑρὼν Ὄφιν βασιλέα ἀνεῖλε καὶ αὐτὸς ἐβασίλευε.

73.

Idem ib. 525 : Ἀρριανὸς δὲ περὶ ταύτης φησίν,

Thebani primum victores deinde victi sunt ab Epigonis. Quanquam Arrianus in Bithynicis, de maxima aliqua victoria, sicuti jam antea significavi, proverbium illud accepit.

Cadmeam victoriam reliqui non in bonam partem accipere solent..., Arrianus vero egregiam summamque victoriam ea locutione significari putat, quod summa clade Polynices ejusque socii a Cadmeis affecti sint, adeo ut unus Adrastus ex iis superstes fuerit.

67.

Arrianus dicit : « Parius, Iasionis filius, a quo Parium Hellesponticum, utpote a conditore, nomen ducit. »

Arrianus narrat Thasum insulam a Thaso Neptuni filio nominari; olim nominatam etiam esse Chrysen insulam ob auri metalla, quorum Herodotus quoque meminit.

68.

Arrianus quoque dicit : « Zelea, quæ etiam Lycia nominatur; atque de hac Lycia Apollo Lycius ibi colitur; porro Pandari pater Lycaon dicitur, quod nomen non ita longe a gentis nomine abest. Denique Lycogenem Apollinem utpote patriæ suæ deum precibus Pandarus invocat. »

69.

Cilices secundum Arrianum nomen habent a Cilice Agenoris filio, qui e Phœnice ad quærendam Europam emissus, quum multas terras perlustrasset, nec ullum puellæ vestigium deprehendisset, majorem partem Cilicum regionis occupavit, ac suum ipsius nomen terræ huic indidit.

70.

Arrianus dicit : « Cres, a quo Creta nomen habet, Jovem in Dictæo monte abscondidit, quo tempore Cronus de medio tollere volens eum quærebat. »

71.

Melus, insula maris Cretici, a Melo quodam secundum Arriani historiam nomen accepit.

72.

Salamis insula olim Cychrea nominabatur a Cychreo quodam, cujus et Lycophron et Arrianus meminerunt. Is, Draco ob morum asperitatem cognominatus, ab Eurylocho insula pulsus est.

73.

Arrianus dicit : Delus insula, quæ, quum olim natatilis

ὅτι « Δῆλος ἡ πάλαι πλωτὴ οὖσα ἔστη, ὅτε ἡ Λητὼ ἐπέβη αὐτῆς διδύμους ἔχουσα παῖδας. »

74.

Eustath. in Il. γ, 17, p. 375, 3 : Οὐ μὴν καὶ λεοντῆς προσφυῶς πάνυ λεχθείη ἐνάπτεσθαι ὁ ἀνδρεῖος κατὰ τὸν πάλαι Ἡρακλῆν ἢ κατὰ τὸν ὕστερον Ζιήλαν τὸν παρὰ τῷ Ἀρριανῷ. In antecedentibus sermo est de locutionibus proverbialibus παρδαλέην ἐνεῖσθαι de viro ποικίλῳ, ἀλωπεκῆν ἐνεῖσθαι de viro κερδαλέῳ, etc. etc.

75.

Tzetzes. Chil. III, v. 950 :

Ὁ τοῦ Ζειποίτου μὲν υἱὸς, ἐκεῖνος Νικομήδης,
ὁ κτίσας Νικομήδειαν, πατὴρ ὁ τοῦ Προυσίου,
Προυσίου ἔχοντος ὀστοῦν ἓν τοὺς ὀδόντας πάντας...
Οὗτος ὁ τοῦ μονώδοντος τούτου πατὴρ Προυσίου,
τοῦ Κτήτορος τῆς πόλεως Προύσης τῆς παρ' Ὀλύμπῳ,
ὁ Νικομήδης ὁ ῥηθεὶς μέγιστον εἶχε κύνα,
ἐκ γένους ὄντα Μολοσσῶν, πιστότατον ἐκείνῳ.
Οὗτός ποτε τὴν δέσποιναν σύζυγον Νικομήδους,
μητέρα τοῦ Προυσίου δὲ, Ζιήλου καὶ Λυσάνδρας,
τὴν Διτιζήλην κλῆσιν μὲν, ἀπὸ Φρυγῶν δὲ γένους,
συμπαίζουσαν τῷ βασιλεῖ, νομίσας πολεμίαν,
ἐσπάσατο περιχανὼν τὸν δεξιὸν τὸν ὦμον,
καὶ ταύτης σάρκας καὶ ὀστᾶ συντρίψας τοῖς ὀδοῦσιν.
Ἥπερ θανοῦσα παρ' αὐταῖς ἀγκάλαις βασιλέως
Νικομηδείᾳ τέθαπτο μεγαλοπρεπεστάτως
ἐν τάφῳ ἀπὸ λίθου μὲν, ἀλλ' ἐγκεχρυσωμένῳ.
[Ὃς τάφος παρεξήρκεσε μέχρι καὶ Θεοφίλου·
ἐν δὲ τοῖς χρόνοις Μιχαὴλ παιδὸς τοῦ Θεοφίλου,
τοῦτον ἐκδιωρύξαντές τινες τῶν τυμβωρύχων,
σῶον ἐφεῦρον τὸν νεκρὸν τῆς γυναικὸς ἐκείνης
ἐν ἱματίῳ χρυσεργεῖ συμπεριεσταλμένον.
Ὅπερ λαβόντες καὶ πυρὶ βαλόντες καὶ χωνείᾳ
χρυσοῦ λίτρας ἠνέγκαντο πρὸς ἑκατὸν τρὶς δέκα.]
Ταῦτα περὶ θανάτου τε καὶ γυναικὸς τοῦ τάφου.
Τὸν κύνα δὲ γενόμενον ἐξ ὀφθαλμῶν ἐκείνου
στοργῇ τοῦ βασιλέως τε καὶ γυναικὸς τῇ λύπῃ
λόγος ἐμφέρεται πολλοῖς τὸν βίον ἀποπνεῦσαι.
Ἀρριανὸς Βιθυνικοῖς γράφει τὴν ἱστορίαν.

Quod Prusias, Nicomedis I filius, Zipœtæ nepos, μονόδους ille fuisse dicitur, falsissimum est, neque Arriani sed Tzetzæ error putari debet. Prusias ὁ μονόδους filius fuit Prusiæ IV τοῦ Κυνηγοῦ, anno 149 a. C. defuncti (Livius ep. 50; Valer. Max. I, 8, 12), ideoque a Nicomedis filio sex distat generationibus. Porro Prusam urbem non ab eo, quem Tzetzes dicit, sed a Prusa quodam Crœsi æquali conditam esse refert Strabo XII, p. 564. Plinius vero V, 32, *Prusa*, ait, *ab Annibale sub Olympo condita*. Vide Clinton. F. H. III, p. 412. De re cf. Plinius VIII, 40, 61 : *Memoratur et Nicomedis Bithyniæ regis* (*canis*), *uxore ejus Consingi* (sic) *lacerata propter lasciviorem cum marito jocum*. Secundam Nicomedis uxorem *Etazetam* dicit Memnon c. 22. Cf. Droysen. *Hellen.* II, p. 283.

75 a.

Tzetzes Chil. I, 798, de Hannibale :

Αὐτὸς δὲ φάρμακον πιὼν θνήσκει πρὸς Βιθυνίαν,
πρός τι χωρίον Λίβυσσαν καλούμενον τῇ κλήσει,
δοκῶν θανεῖν εἰς Λίβυσσαν πατρίδα τὴν οἰκείαν·
ἦν γὰρ Ἀννίβᾳ τις χρησμὸς οὕτω που γεγραμμένος·
Λίβυσσα κρύψει βῶλος Ἀννίβα δέμας.

Ad hæc schol. in Cramer. Anecd. III, p. 353 : Πρός τι χωρίον Λίβυσσαν] τὸ νῦν καλούμενον τὰ Βουτίου, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς γράφει.

Cf. Steph. Byz. : Λίβυσσα, φρούριον Βιθυνίας ἐπιθαλάσσιον. Plinius V, 45; Pausanias VIII, 11.

INCERTÆ SEDIS.

76.

Eustathius ad Dion. 222 : Τινὲς δὲ Νεῖλόν φασι ὠνομάσθαι ἀπὸ Νείλου τινὸς ἀπογόνου Ἄτλαντος, βασιλεύσαντος τῶν ἐκεῖ. Ἄλλοι δὲ, ὅτι Μέλας πρότερον καλούμενος μετεκλήθη Νεῖλος ἀπό τινος Νείλου βασι-

---

esset, fixa est quando Latona cum gemellis suis in eam egressa est.

74.

Leoninam gestare haud inepte diceretur vir fortis ad modum veteris Herculis, vel inter recentiores ad modum Zielæ, de quo Arrianus narrat.

75.

Zipœti filius ille Nicomedes,
Nicomediæ conditor, pater Prusiæ illius,
qui in unum os concretos dentes omnes habebat,
hic igitur Prusiæ unidentis pater,
Prusæ urbis ad Olympum conditor,
Nicomedes, quem dixi, maximum habebat canem
e Molossorum genere, domino fidelissimum.
Is quondam dominam, Nicomedis uxorem,
matrem Prusiæ Zielæ, et Lysandræ,
Ditizelen nomine, genere Phrygiam,
cum rege ludentem, inimicam putans,
convellit, dexterum rictu corripiens humerum
et carnes ejus atque ossa contundens dentibus.
Quare in ipsis ulnis regis mortua
Nicomediæ sepulta est splendidissime;
in sepulcro lapideo quidem, sed inaurato.
Hæc de morte mulieris et sepulcro.
Canem vero, quum ab oculis rex removisset,
regis desiderio, et præ mœrore ob necem mulieris
animam efflasse multi perhibent.
Arrianus in Bithynicis historiam hanc consignavit.

75 a.

Hannibal veneno hausto moritur in Bithynia
ad Libyssam locum quem sic nominant,
putans se in Libyssa sua patria obiturum.
Erat enim Hannibali oraculum in hanc sententiam :
« Libyssa teget gleba Hannibalis corpus. »

76.

Nonnulli Nilum nominatum esse dicunt a Nilo Atlantis nepote, qui ibi terrarum regnaverit. Secundum alios Melas prius appellatus fluvius deinde Nili nomen accepit a Nilo,

λικοῦ παιδὸς ἐκεῖ ῥίψαντος ἑαυτόν. Τινὰς μέντοι ἀπό τινος Νειλασίου κεκλῆσθαι, οὕτως αὐτὸν εἰπόντας, οὐκ εὖ λέγοντας ἀπελέγχει ὁ Ἀρριανός.

Fortasse ἐν τοῖς Μετὰ Ἀλέξανδρον Ptolemæi et Perdiccæ historia ansam dedit ut in hæc excurreret auctor. Quanquam quæ de Ægyptiorum ad Pontum coloniis feruntur, etiam in Bithyniacis occasionem de his disserendi præbere poterant.

77.

Eustath. in Il. p. 101, 38 : Τοιοῦτον δέ τι καὶ ὁ κρατερός, ὡς δηλοῖ παρ' Ἀρριανῷ τὸ « Θηβαίων ἐγένετο κρατερός », ἤγουν περιεγένετο τῶν Θηβαίων καί, αὐτόχρημα εἰπεῖν, ἐκράτησεν.

78.

Idem 1005 : Τοὺς δὲ Πέρσας, ὧν μετρόπολις ἡ Βαβυλών, Κηφῆναί ποτε καλεῖσθαί φησιν ὁ Ἀρριανός. Hæc ad Parthica retuleris.

79.

Suidas v. βουλυτός : Ἀρριανός· « Γίνεται μάχη κρατερὰ ἔστε ἐπὶ βουλυτὸν ἀγχώμαλος. » Occurrit vox βουλυτός in Exp. Al. II, 3, in Ind. c. 41. Nostrum locum e Parthicis petitum esse opinatur Bernhardyus.

80.

Id. v. ἐπαινέτης : Ἀρριανός· « Τοῦ δὲ ξὺν κόσμῳ δρωμένου ἐπαινέτης καὶ τοῦ ἀκοσμήτου ἐν τῷ παραυτίκα ἐπιτιμητής, καὶ τοῦ ἐσύστερον κολαστήρ (sic e codd. ABVE Bernhardyus; vgo κολαστής). » Similia habes in Exp. Alex. IV, 29 : Καὶ αὐτὸς ἐφειστήκει θεατὴς καὶ ἐπαινέτης τοῦ ξὺν προθυμίᾳ περαινομένου, κολαστὴς δὲ τοῦ ἐν τῷ παραχρῆμα ἐλλιποῦς.

81.

Eustath. ad Dion. 939, p. 886 ed. Bernh. : Ἀρριανὸς δὲ καὶ διφθέρας καθάπτεσθαι λέγει.

82.

Idem in Il. η, 171, p. 674, 9 : Τὴν δὲ ῥηθεῖσαν αἰτίαν τοῦ κλήρου ἀναπτύσσει που καὶ ὁ Ἀρριανός, λέγων περί τινος ὅτι εἰς κλῆρον τοὺς δεῖνα καθίστασθαι ἐδικαίου, οὐ θέλων ὡς γέρας αὐτὸ τῷ ἑτέρῳ ἀπονείμασθαι, οὐδὲ ἀτιμῶσαι τὸν οὐ προκριθέντα εἰς μάχην.

Idem in Il. γ', 204, p. 405, 17 : Τὸ ξεναγεῖν (ὅπερ ταὐτόν ἐστι τῷ προξενεῖν) γενικῇ συντάσσει ὁ Ἀρριανός.

Apud Steph. Byz. v. Ἄζωρος pro vulgata (quam retinuit Westermannus) Ἀρριανὸς lege Ῥιανὸς (e cod. Rhedig. et aliis nonnullis) sc. ἐν Θεσσαλικοῖς.

Juvene regio, qui in fluvium se dederat præcipitem. Eos vero, qui a Nilasio quodam, quem dicunt, vocatum esse perhibent, erroris coarguit Arrianus.

77.

Arrianus ait : « Thebanis superior fuit. »

78.

Persas, quorum metropolis Babylon, olim Cephenes appellatos esse Arrianus dicit.

79.

Arrianus : « Ad vesperam usque æquo marte acerrime pugnatum est. »

80.

Arrianus : « Eorum quæ recte et decenter fiebant, laudator ; quæ secus, in præsens verbis reprehensor, deinde vindex exsistebat. »

81.

Arrianus etiam διφθέρας καθάπτεσθαι, *pellibus indui*, dicit.

82.

Hanc quam dixi sortitionis causam Arrianus quoque alicubi explicat dicens quendam in sortem certos aliquos vocandos esse censuisse, quod noluerit alteri hoc tanquam honorem assignari, alterum autem offendi eo quod ipse ad pugnam subeundam non delectus sit.

Verbum ξεναγεῖν (quod idem significat atque προξενεῖν) genitivo jungit Arrianus.

PHLEGON TRALLIANUS.

Suidas : Φλέγων Τραλλιανὸς, ἀπελεύθερος τοῦ Σεβαστοῦ Καίσαρος (οἱ δ' Ἀδριανοῦ φασιν), ἱστορικός. Ἔγραψεν Ὀλυμπιάδας ἐν βιβλίοις ις' (ἔστι δὲ μέχρι τῆς σκθ' Ὀλυμπιάδος τὰ πραχθέντα πανταχοῦ), τὰ δ' αὐτὰ ἐν βιβλίοις η', Ἔκφρασιν Σικελίας, Περὶ μακροβίων καὶ θαυμασίων, Περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν βιβλία γ', Περὶ τῶν ἐν Ῥώμῃ τόπων καὶ ὧν ἐπικέκληνται ὀνομάτων, Ἐπιτομὴν Ὀλυμπιονικῶν ἐν βιβλίοις β', καὶ ἄλλα.

Phlegontem Hadriani fuisse, non vero Augusti libertum, ut Suidas putasse videtur, in aprico est. De vita hujus scriptoris accuratius quiddam non traditur. Libertum liberti nostri fuisse Ælium Maurum refert Spartianus in Severo c. 20.

Quod scripta Phlegontis attinet, ex parte superstites sunt libelli Περὶ θαυμασίων et Περὶ μακροβίων, quos una cum fragmento de ludorum Olympiorum institutione unus servavit codex miscellaneus sæc. X, olim Palatinus, Vaticanus, Parisiensis, nunc denuo Heidelbergensis, ex quo Phlegontea primus descripsit ediditque G. Xylander (Bas. 1568, 8). Iterum codicem excussit Bastius (v. *Lettre critique à M. Boissonade. Paris*, 1805, p. 59 sqq.). Initium libri Περὶ θαυμασίων in Ms. desideratur. Scriptum De longævis ita priori opusculo subjicitur, ut nulla sit separatio. Ad finem leguntur : Φλέγοντος Τραλλιανοῦ ἀπελευθέρου Καίσαρος Περὶ θαυμασίων καὶ μακροβίων. Tale quid Suidam fefellisse videtur.

Opus chronologicum secundum Photium (v. infra) inscribebatur Ὀλυμπιονικῶν καὶ Χρονικῶν συναγωγή ; apud Stephanum Byz. titulus modo Ὀλυμπιάδες (ut ap. Suidam), modo Χρονικά. Pertinuisse usque ad Ol. 229 (qua diem Hadrianus obiit), præter Suidam Eusebius (Chron. p. 195 Mai) quoque tradit, qui inter fontes suos recenset *Phlegontis, liberti Cæsaris*, XIV *libros, quibus Olympiades* 229 *continentur* (*). At pro XIV lege XVI, ut Suidas tradit. Nam sæpius laudatur liber decimus quintus; unde patet verba Eusebii traxisse vitium. Epitomen hujus operis vel ipse Phlegon vel alius quidam confecit libris duobus. Quodsi apud Suidam legitur : τὰ δ' αὐτὰ ἐν βιβλ. η', et deinde post alia : Ἐπιτομὴ Ὀλυμπιονικῶν ἐν βιβλ. β', utraque hæc ad idem opusculum pertinere puto, Suidam vero male distinxisse propterea, quod in auctore, unde alterum titulum deprompsit, scribæ errore legebatur ἐν βιβλ. η' pro ἐν βιβλ. β'. Ceterum de ratione horum Chronicorum ita habet Photius cod. 97 :

Ἀνεγνώσθη Φλέγοντος Τραλλιανοῦ, ἀπελευθέρου τοῦ αὐτοκράτορος Ἀδριανοῦ, Ὀλυμπιονικῶν καὶ Χρονικῶν συναγωγή. Προσφωνεῖ τὸ σύνταγμα πρὸς Ἀλκιβιάδην τινὰ, ὃς εἷς ἦν τῶν εἰς τὴν φυλακὴν τεταγμένων τοῦ Ἀδριανοῦ. Ἄρχεται δὲ τῆς συναγωγῆς ἀπὸ τῆς πρώτης Ὀλυμπιάδος, διότι τὰ πρότερα, καθὼς καὶ οἱ ἄλλοι σχεδόν τι πάντες φασὶν, οὐκ ἔτυχεν ὑπό τινος ἀκριβοῦς καὶ ἀληθοῦς ἀναγραφῆς, ἀλλὰ ἄλλο τι ἄλλος τῶν ἐπιτυχόντων καὶ οὐ συμφώνως ἔγραψαν, ὅσοις καὶ γράψαι πεφιλοτίμηται. Τὴν μὲν οὖν ἀρχὴν τοῦ συγγράμματος, ὥσπερ ἔφημεν, ἀπὸ τῆς πρώτης Ὀλυμπιάδος ποιεῖται, κάτεισι δὲ, ὡς αὐτός φησι, μέχρι τῶν Ἀδριανοῦ χρόνων. Ἐμοὶ δὲ ἀνεγνώσθη μέχρι τῆς ροζ' Ὀλυμπιάδος... Sequitur fr. 12. Deinde pergit : Ἔστι δὲ τὴν φράσιν οὔτε λίαν χαμαιπετὴς οὔτε τὸν Ἀττικὸν ἐς τὸ ἀκριβὲς διασώζων χαρακτῆρα. Ἄλλως τε δὲ καὶ ἡ περὶ τὰς ὀλυμπιάδας καὶ τὰ ἐν αὐταῖς τῶν ἀγωνισμάτων ὀνόματα καὶ πράξεις καὶ ἡ περὶ τοὺς χρησμοὺς ἄκαιρος φιλοπονία τε καὶ φιλοτιμία, εἰς κόρον ἀπάγουσα τὸν ἀκροατὴν καὶ μηδὲν ἄλλο τῶν ἐν τῷ λόγῳ προκύπτειν συγχωροῦσα, ἀηδῆ τε τὸν λόγον δεικνύει καὶ χάριτος οὐδὲν ἔχειν παρατίθησι. Χρησμοῖς δὲ παντοίοις ἐς ὑπερβολήν ἐστι κεχρημένος.

Eandem indolem prodit opus De Mirabilibus, de quo rectissime Westermannus (Paradoxogr. p. XL) : « Omnium miraculorum collectionum, si Pselli ineptias excipias, hæc longe est ineptissima, anili sapientia ac superstitiosa garrulitate plenissima, ab historiæ fide alienissima. Si quid habet pretii, hoc solis debet antiquorum quos continet reliquiis, quales sunt, ut simul omnes nominem, Antigonus, Antisthenes, Apollonius, Callimachus, Clitarchus, Craterus, Dicæarchus, Dorotheus, Eumachus, Hesiodus, Hiero nescio quis Alexandrinus sive Ephesius, Hippostratus, Megasthenes, Theopompus Sinopensis, quo item referantur per me licet versus Sibyllini, quibus auctor noster nihil prius habet, nihil antiquius. » Hæc Westermannus, qui in nitidissima sua Paradoxographorum editione Mirabilibus et Longævis Phlegontis etiam Chronicorum fragmenta subjunxit.

(*) E Phlegonte fluxisse Olympionicarum apud Eusebium recensum censet Niebuhrius (*Kl. Schriften*, p. 211). Attamen quæ Eusebius de Olympiorum institutione habet, non esse Phlegontis, sed alius auctoris ex comparato Phlegontis fragm. 1 intelligitur. Singulorum autem victorum recensum ex eodem fonte Eusebius hauserit, ex quo fluxerunt antecedentia. Rei indicium etiam ex eo elicueris, quod Phlegon. fr. 5 Icarum vocat Ὑπερασιέα, Eusebius vero Ὑπερησια. Ceterum Eusebium in Olympionicis contexendis præter alios etiam Phlegontem adhibuisse non negamus.

De reliquis Phlegontis scriptis quæ Suidas recenset aliunde non constat. In nullum eorum cadere videtur epistola Hadriani, quam ex Phlegontis libris affert Flavius Vopiscus in Saturnino (v. fr. 65), nisi forte credas eam depromptam esse ex Vita Hadriani, quam sub Phlegontis nomine Imperator in publicum emisisse dicitur (Ælius Spartianus in Hadrian. c. 16) (*).

ΟΛΥΜΠΙΑΔΕΣ Η ΧΡΟΝΙΚΑ.

E LIBRO PRIMO.

1.

Δοκεῖ (**) μοι χρῆναι εἰπεῖν τὴν αἰτίαν, δι' ἣν τὰ Ὀλύμπια τεθῆναι συμβέβηκεν. Ἔστι δὲ ἥδε. Μετὰ Πεῖσον καὶ Πέλοπα, ἔτι δὲ Ἡρακλέα, τοὺς πρώτους τὴν πανήγυριν καὶ τὸν ἀγῶνα τὸν Ὀλυμπίασιν ἐνστησαμένους, ἐκλειπόντων τῶν Πελοποννησίων τὴν θρησκείαν χρόνῳ τινί, εἰς ὃν ἀπὸ Ἰφίτου Ὀλυμπιάδες ὀκτὼ πρὸς ταῖς εἴκοσι καταριθμοῦνται εἰς Κόροιβον τὸν Ἠλεῖον, καὶ ἀμελησάντων τοῦ ἀγῶνος, στάσις ἐνέστη κατὰ τὴν Πελοπόννησον. Λυκοῦργος δὲ ὁ Λακεδαιμόνιος, υἱὸς ὢν τοῦ Πρυτάνεως, τοῦ Εὐρυπῶντος, τοῦ Σόου, τοῦ Προκλέως, τοῦ Ἀριστοδήμου, τοῦ Ἀριστομάχου, τοῦ Κλεοδαίου, τοῦ Ὕλλου, τοῦ Ἡρακλέους καὶ Δηιανείρας, καὶ Ἴφιτος ὁ Αἵμονος, ὡς δὲ ἔνιοι Πραξωνίδου, ἑνὸς τῶν ἀπὸ Ἡρακλέους, Ἠλεῖος, καὶ Κλεοσθένης ὁ Κλεονίκου Πεισάτης, βουλόμενοι εἰς ὁμόνοιαν καὶ εἰρήνην τὸ πλῆθος αὖθις ἀποκαταστῆσαι, τήν τε πανήγυριν τὴν Ὀλυμπικὴν ἔγνωσαν ἀνάγειν εἰς τὰ ἀρχαῖα νόμιμα καὶ ἀγῶνα γυμνικὸν ἐπιτελέσαι. Στέλλονται δὴ εἰς Δελφοὺς χρησόμενοι τῷ θεῷ, εἴ σφισιν συνεπαινεῖ ταῦτα ποιῆσαι. Ὁ δὲ θεὸς ἄμεινον ἔφη ἔσεσθαι ποιοῦσιν. Καὶ προσέταξεν ἐκεχειρίαν ἀγγεῖλαι ταῖς πόλεσιν ταῖς βουλομέναις μετέχειν τοῦ ἀγῶνος. Ὧν περιαγγελθέντων κατὰ τὴν Ἑλλάδα, καὶ ὁ δίσκος ἐγράφη τοῖς Ἑλλανοδίκαις, καθ' ὃν ἔδει τὰ Ὀλύμπια ἄγειν. Οὐχ ἄγαν δὲ προσιεμένων τὸν ἀγῶνα, ἀλλὰ δυσχεραινόντων τῶν (1) Πελοποννησίων, λοιμὸς ἐπιγενόμενος καὶ φθορὰ καρπῶν ἐλυμαίνετο αὐτούς. Οἱ δὲ ἀποστείλαντες (2) πάλιν τοὺς περὶ τὸν Λυκοῦργον ᾐτοῦντο τοῦ λοιμοῦ παῦλαν καὶ ἴασίν τινα. Ἡ δὲ Πυθία χρᾷ τάδε·

Ὦ γῆς ἀκρόπολιν πάσης Πελοπηίδα κλεινὴν
ναίοντες, πρέσβεις τε βροτῶν πάντων καὶ ἄριστοι,
φράζεσθ' ἐξ ἐμέθεν χρησμὸν θεοῦ, ὅττι κεν εἴπω.
Ζεὺς ὑμῖν τελετῆς μῆνιν ἔχει ἣν διέχρησεν,
οὕνεκ' ἀτιμάζοντες (3) Ὀλύμπια πασινάνακτος (4)
Ζηνὸς — τοῦ πρῶτος μὲν ἱδρύσατο καὶ θέτο τιμὴν
Πεῖσος, καὶ μετὰ τόνδε Πέλοψ, ὅτε δῆμον ἔναιεν (5)

(*) « Libellum qui inscribitur γυναῖκες ἐν πολεμικοῖς συνεταὶ καὶ ἀνδρεῖαι, descriptum ab Holstenio ex cod. Medicco, item a Tychsenio ex cod. Escorialense et editum ab Heerenio in *Bibliothek d. alt. Litt. u. Kunst* fasc. 6 Gott. 1789, Phlegontis esse videri adnotavit Holstenius in fronte apographi sui, in eandemque sententiam Heerenius quoque concessit. Nollem factum. Nam ut mittam, a nullo antiquo scriptore tale quid Phlegonti tribui, ipsum et dicendi et narrandi genus a Phlegonteo vehementer discrepat. » West. l. l. p. xli.

Inter Historicos ævi Hadrianei recensendus esse videri possit etiam *Sabinus*. Etenim in schol. ad Aristid. tom. III, p. 500 ed Dindorf., leguntur hæc : Ταῦτα δὲ καὶ Πλούταρχος καὶ Σαβῖνος καὶ πάντες οἱ τὸν Περικλέους βίον γράψαντες λέγουσιν. Verum Sabinum quoque Vitam Periclis data opera scripsisse ex verbis scholiastæ non sequitur, neque ullum opus historicum, contra vero Commentarii in Thucydidem Sabino tribuuntur. Suidas : Σαβῖνος, σοφιστής, γεγονὼς ἐπὶ Ἀδριανοῦ Καίσαρος. Ἔγραψεν εἰσαγωγὴν καὶ ὑποθέσεις μελετητικῆς ὕλης, εἰς βιβλία δ'. Εἰς Θουκυδίδην καὶ Ἀκουσίλαον (?) ὑπομνήματα καὶ ἕτερά τινα ἐξηγητικά. Commentarium in Thucydidem etiam scholiasta l. l. intellexerit.

(**) Hæc in codice post reliqua Phleg. scripta ponuntur, præfixo titulo Περὶ τῶν Ὀλυμπίων.

1. τῶν τε cod. — 2. ἀποστάντες cod.; em. Westerm. — 3. ἀτιμάζονται? Krause. — 4. λασιάνακτος cod., suprascripto πα. — 5. δημονναῖαν cod. Ἑλλὰς mascul. e Sophocle laudat Antiattic. Bekker p. 97, 4. Id si minus placet, legas ὅτε δὴ μόλεν αἶαν, id quod dicere licet pro ὅτε δὴ μόλ' ἐς αἶαν. Westermann. conj. : ὁ δ' ἄρ' ἔλλαχεν αἶαν Ἐ. s. Ἦλιδα, vel ὅτε δὴ λάχεν αἶαν Ἠ.

OLYMPIADES SEU CHRONICA.

1.

Exponenda mihi videtur causa, ob quam Olympia instituí contigit. Est autem hæc. Post Pisum, Pelopem atque Herculem, qui primi solennem conventum ac certamen Olympicum instituerant, quum Peloponnesii eam festivitatem aliquamdiu intermisissent, per id scilicet tempus quod ab Iphito ad Corœbum usque Eleum duodetriginta Olympiadum numeratur, certamenque neglexissent, seditio in Peloponneso est coorta. Ibi Lycurgus Spartanus, Prytanidis, Eurypontis, Soi, Proclis, Aristodemi, Aristomachi, Cleodei, Hylli, Herculis et Deianiræ, et Iphitus, Hæmonis aut (ut alii perhibent) Praxonidæ filius ab Hercule prognati, Eleus domo, ac Cleosthenes, Cleonici filius, Pisæus, ut populum ad concordiam pacemque reducerent, quum Olympicam festivitatem statuerunt ad pristinam formam redigere, tum certamen gymnicum edere. Itaque Delphos miserunt qui deum percontarentur, an hoc eorum probet consilium. Is respondit, bona eventura, si id exsequantur : jussitque ferias indici urbibus, quæ certaminis vellent esse participes. Quo oraculo in Græcia renuntiato, discus etiam conscriptus est a Græcorum judicibus, quos ipsi Hellanodicas vocant, formam agendorum Olympiorum indicans. Ceterum Peloponnesios non admodum id certamen gratum habentes, molesteque id ferentes, pestis invasit, frugumque pernicies afflixit. Itaque denuo Lycurgum ejusque socios ad oraculum ablegarunt, qui pestis amolitionem ac remedium poscerent. Pythia vero sic respondit :

O qui telluris famosam totius arcem
Mortales inter natuque et laude supremi
Incolitis, quæ fata dei cano discite jussu.
Neglecta altitonans irascitur ob sacra vobis
Juppiter, immenso qui maximus imperat orbi.
Cujus Olympia vos cultu spoliastis avito :
Quæ princeps Jovis ut Pisus celebraret honorem

Ἑλλάδα, θῆκε δ' ἔπειτ' ἔρωτιν καὶ ἔπαθλα θανόντι
Οἰνομάῳ, τρίτατος δ' ἐπὶ τοῖς παῖς Ἀμφιτρύωνος
Ἡρακλέης ἐτέλεσσ' ἔροτιν καὶ ἀγῶν' ἐπὶ μήτρῳ
Ταντολίδῃ Πέλοπι φθιμένῳ — τὸν δήποθεν ὑμεῖς (6)
λείπετε καὶ τελετήν. Ἧς χωσάμενος κατὰ θυμὸν
ὦρσε κακὸν (7) λιμὸν παρὰ τοῖς καὶ λοιμὸν, ὃν ἔστι
παῦσαι ἀνορθώσαντας ἑορτὴν τῷ πάλιν αὖθις.

Ταῦτα ἀκούσαντες ἀπήγγειλαν τοῖς Πελοποννησίοις, οἱ δὲ ἀπιστήσαντες τῷ χρησμῷ ἀπέστειλαν πάλιν καὶ αὐτοὶ ἀπὸ κοινοῦ δόγματος ἐπιστρεφέστερον ἐπερωτήσοντας τὸν θεὸν περὶ τῶν χρησθέντων. Ἡ δὲ Πυθία λέγει τάδε·

Ὦ Πελοποννήσου ναέται, παρὰ (8) βωμὸν ἰόντες
θύετε καὶ πείθεσθε τά κεν μάντεις ἐνέπωσιν,
Ἠλείων πρόπολοι, πατέρων νόμον ἰθύνοντες.

Τούτων χρησθέντων οἱ Πελοποννήσιοι ἐπέτρεψαν τοῖς Ἠλείοις ἀγῶνα τιθέναι τῶν Ὀλυμπίων καὶ ἐκεχειρίαν ἀγγέλλειν ταῖς πόλεσι. Καὶ Ἠλεῖοι δὲ μετὰ ταῦτα βουλόμενοι βοηθεῖν Λακεδαιμονίοις, ὅτε Ἕλος ἐπολιόρκουν, πέμψαντες εἰς Δελφοὺς ἐμαντεύοντο. Καὶ χρᾷ ἡ Πυθία τάδε·

Τὴν αὐτῶν ῥύεσθε πάτραν, πολέμου δ' ἀπέχεσθε,
κοινοδίκου φιλίης (9) ἡγούμενοι Ἑλλήνεσσιν,
ἔστ' ἂν πενταέτης (10) ἔλθῃ φιλόφρων ἐνιαυτός.

Χρησθέντων δὲ τούτων τοῦ μὲν πολεμεῖν ἀπέσχοντο, τῶν δὲ Ὀλυμπίων τὴν ἐπιμέλειαν ἐποιοῦντο. Καὶ ἐστέφετο μὲν οὐδεὶς ἐπὶ πέντε Ὀλυμπιάδας· τῇ δὲ ἕκτῃ ἔδοξεν αὐτοῖς μαντεύσασθαι, εἰ στέμματα περιθῶσι τοῖς νικῶσι, καὶ πέμπουσι τὸν βασιλέα Ἴφιτον εἰς θεοῦ. Ὁ δὲ θεὸς ἔφη τάδε·

Ἴφιτε, μήλειον καρπὸν μὴ θῇς ἐπὶ νίκῃ,
ἀλλὰ τὸν ἄγριον ἀμφιτίθει καρπώδη ἐλαιῶν,
ὃς νῦν ἀμφέχεται λεπτοῖσιν ὑφάσμασ' ἀράχνης.

Παραγενόμενος οὖν εἰς τὴν Ὀλυμπίαν, πολλῶν ἐν τῷ τεμένει κοτίνων ὄντων, εὑρὼν ἕνα περιεχόμενον ἀραχνίοις περιῳκοδόμησεν αὐτὸν, καὶ τοῖς νικῶσιν ἐκ τούτου ἐδόθη ὁ στέφανος. Πρῶτος δ' ἐστεφανώθη Δαϊκλῆς Μεσσήνιος, [ὃς] τῇ ἑβδόμῃ Ὀλυμπιάδι στάδιον ἐνίκα.

2.

Stephan. Byz.: Γέργις, πόλις Τροίας... ὁ πολίτης Γεργίθιος, τὸ θηλυκὸν Γεργιθία· ἀφ' οὗ Γεργιθία ἡ χρησμολόγος Σίβυλλα, ἥτις καὶ τετύπωτο ἐν τῷ νομίσματι τῶν Γεργιθίων, αὐτή τε καὶ ἡ σφὶγξ, ὡς Φλέγων ἐν Ὀλυμπιάδων πρώτῃ.

3.

Idem: Διὸς ἱερὸν, πολίχνιον Ἰωνίας μεταξὺ Λεβέδου καὶ Κολοφῶνος. Τὸ ἐθνικὸν Διοσιερίτης, ὡς Φλέγων ἐν πρώτῃ Ὀλυμπιάδων (sic Holsten.; ὀλυμπιάδος codd.; ὀλυμπιάδι edd.).

6. sic Sopingius pro vg. . ΠέλοπιΤανταλίδῃ δήτοθεν ὑμῖν λείπεις. — 7. κακὴν Xyl. nescio an e cod. — 8. περὶ vgo. παρὰ Euseb. p. 141 Mai, ubi et hoc et sequens Pythiæ responsum affertur, neque tamen id e Phlegonti desumptum, ut e reliquo narrationis apud Euseb. tenore intelligitur. — 9. sic Euseb., φιλίας editt. Phlegont. — 10. εὖτ' (l. ἔστ' ἂν) ἐνὶ τριόδοις gr. Euseb., quanquam nostra legisse videtur interpret. Armen.; nam vertit Majus: *ut cum annua celebritate gaudium annuum redeat*. Mutavit quidam lectionem, quem offendebat ille πενταετὴς ἐνιαυτός. Similiter ap. Phlegont. margo codicis: ἔστ' ἂν ἐνὶ συνόδοις ἔλθῃ.

Instituit: post huncque Pelops, quo Græcia rege
Floruit, unanimesque habuerunt mœnia cives,
Œnomao instituit certamina lumine casso.
Tertius hæc Pelopi satus Amphitruone dicavit
Tantalidæ, grati servans pia jura nepotis.
Hæc sacra et ludos abolere hos Juppiter ausis
Iratus pestem immisit diramque famemque.
Verum instauratis cessabunt hæc mala sacris.

Peloponnesii, ubi hoc eis renunciatum oraculum fuit, ei fidem derogantes, denuo communi de sententia miserunt ipsi, qui accuratius deum de oraculo interrogarent. Pythia autem hæc retulit:

O Peloponnesi cives, altaria circum
Ite, sacris factisque animis advertite dicta
Vatum, qui leges et jura paterna sequuntur,
Vatum Eleorum monitis parete volentes.

Hoc oraculo accepto Peloponnesii concesserunt Eleis, ut certamen Olympicum instituerent, et ferias urbibus denunciarent. Porro autem postea temporis Elei, quum opitulari vellent Lacedæmoniis Helos urbem oppugnantibus, Delphos consultum miserunt. Et respondit Pythia in hanc sententiam.

Exsortes belli patriam defendite vestram,
Et pacis Græcos communia jura docete
Auctores, anni veniant dum gaudia quinti.

Hoc oraculo dato, Elei bello abstinuerunt, et Olympia curaverunt. Quinque Olympiades ita sunt exactæ, ut coronaretur nemo. Sexta placuit oraculum scitari, an victoribus coronæ essent imponendæ, eamque ob rem missus ad fanum dei rex Iphitus. Deus sic est fatus:

Iphite, victorem malo donare caveto.
Verum silvestris fructu redimitor olivæ
Quem circum teneris inclusit aranea filis.

Quum ergo venisset Olympiam, inque luco multi essent oleastri, unum eorum deprehendens araneis circumdatum, ædificio cinxit: atque ea ex arbore corona data est victoribus. Primus coronatus est Daicles Messenius, Olympiade septima stadio victor.

2.

Gergis, urbs Troadis. Civis Gergithius, et feminino genere Gergithia. Ex ea urbe oriunda Gergithia fatidica Sibylla, quæ etiam expressa cernitur in nummis Gergithiorum, una cum Sphinge, ut Phlegon tradit in primo libro Olympiadum.

3.

Dioshieron, Ioniæ oppidulum inter Lebedum et Colophonem. Gentile Dioshierites, ut Phlegon ait primo libro Olympiadum.

E LIBRIS INCERTIS.

4.

Idem : Δυσπόντιον, πόλις Πισαίας, ἀπὸ Δυσπόντου τοῦ Πέλοπος, παρὰ τὴν ὁδὸν τὴν ἐξ Ἤλιδος εἰς Ὀλυμπίαν. Ἀπὸ ταύτης Ἀντίμαχος ἦν Ὀλυμπιονίκης, νικήσας ἐν Ὀλυμπιάδι [δ'] στάδιον. Φλέγων ἐν Ὀλυμπιάδι δ'· « Ἀντίμαχος, Ἠλεῖος ἐκ Δυσποντίου στάδιον. » Καὶ ἐν κζ'· « Δάϊππος Κροτωνιάτης πύξ, * Ἠλείων (l. Ἠλεῖος) ἐκ Δυσποντίου τέθριππον. » Excidisse nomen patet, ut Ἀρχιδάμας (Pausan. 6, 18, 4) aut Τηλέμαχος (id. 6, 13, 6) aut aliud, monente Westermanno.

5.

Idem : Ὑπερασία, πόλις, ἧς τὸ ἐθνικὸν Ὑπερασιεύς. Φλέγων εἰκοστῇ τρίτῃ Ὀλυμπιάδι. Pausanias IV, 15, 1 : ... τῆς τρίτης Ὀλυμπιάδος καὶ εἰκοστῆς, ἣν Ἴκαρος Ὑπερησιεὺς ἐνίκα στάδιον. In Eusebii Olympionicarum catalogo p. 144 : Ὀλυμπ. κγ'. Ἰκάριος Ὑπεριεσσιεύς (sic). Stephanus quoque alteram hanc gentilis formam affert v. Ὑπερησία, ubi gentiles Ὑπερησιεῖς, apud Theopompum vero Ὑπερασιεῖς vocari dicit.

6.

Idem : Σινώπη, πόλις διασαφεστάτη τοῦ Πόντου, κτίσμα Κρητίνου καὶ Κώου, ὥς φησι Φλέγων. Libri : Κτίσμα Μακριτίου Κώου. Non multo emendatiorem Stephanum habuit Eustathius, qui ad Dionys. Per. 772 : Κτίσμα κατά τινας Κριτίου ἀνδρὸς Κώου. Hinc Κριτίου ap. Steph. edidit Westermann. Vocem ἀνδρὸς de suo addidit Eustathius, vitiosa ap. Stephanum suum lectione seductus. Nam voce Κώου non patria Critiæ, sed aliud viri nomen significatur. Nimirum ita habet Scymnus Chius v. 949 (ed. Mein.), quo loco de coloniis Sinopen deductis loquitur : Μετὰ Κιμμερίους Κῷος, πάλιν δὲ Κρητίνης, οἱ γενόμενοι φυγάδες δρων Μιλησίων. Οὗτοι συνοικίζουσι δ' αὐτὴν, ἡνίκα Ὁ Κιμμερίων κατέδραμε τὴν Ἀσίαν στρατός. Codex habet Κριτίνης; Meinekius reposuit Κρητίνης, cujus nominis exempla affert ex Herodoto VII, 165 et 190, coll. Parthenio Erat. 13, Plutarch. Prov. I, 57. Res pertinet ad Ol. 36 vel 37. V. Raoul-Rochette. *Etabliss.* III, p. 331.

7.

Idem : Λῆνος, χώρα τῶν Πισαίων. Ὁ πολίτης Ληναῖος. Φλέγων τεσσαρακοστῇ ὀγδόῃ Ὀλυμπιάδι. Nomen gentile in nummo Caracallæ exstat, monente Holstenio.

7 a.

African. ap. Euseb. P. E. X, 10, p. 488, C : Κῦρος Περσῶν ἐβασίλευεν, ᾧ ἔτει Ὀλυμπιὰς ἤχθη νε', ὡς ἐκ τῶν Βιβλιοθηκῶν Διοδώρου καὶ τῶν Θάλλου καὶ Κάστορος ἱστοριῶν, ἔτι δὲ Πολυβίου καὶ Φλέγοντός ἐστιν εὑρεῖν, ἀλλὰ καὶ ἑτέρων οἷς ἐμέλησεν Ὀλυμπιάδων.

E LIBRO OCTAVO.

8.

Idem : Αὐγοῦσται, πόλις ἐν Κιλικίᾳ καὶ Ἰταλίᾳ. Οἱ πολῖται Αὐγουστανοί. Φλέγων ἐν Ὀλυμπιάδων (vgo. Ὀλυμπιάδι) η'.

9.

Idem : Κρέμη, πόλις Πόντου. Φλέγων ὀγδόῳ Χρονικῶν. Urbs ignota, nisi forte eadem est quæ Κρῶμνα.

E LIBRIS INCERTIS.

10.

Idem : Νίσιβις, πόλις Αἰγύπτου. Φλέγων ἑκατοστῇ τεσσαρακοστῇ Ὀλυμπιάδι. Urbs ignota, quantum sciam.

4.

Dyspontium, Pisæa urbs, a Dysponto Pelopis filio nomen nacta, ad viam quæ Elide Olympiam ducit, sita est. Ex ea oriundus Antimachus Olympionica, Olympiade quarta stadio victor. Phlegon in quarta Olympiade : « Antimachus Eleus ex Dyspontio stadio. » Idem in Olymp. vicesima septima : « Daippus Crotoniates, pugilatu, ** Eleus ex Dyspontio, quadrigis. »

5.

Hyperasia, urbs (*Achaiæ*), cujus gentile Hyperasiensis. Phlegon Olympiade vicesima tertia.

6.

Sinope, urbs clarissima a Coo et Cretine condita, ut Phlegon tradit.

7.

Lenus, Pisatarum regio. Civis Lenæus. Phlegon in Olympiade quadragesima octava.

7 a.

Cyrus Persarum rex factus est quo anno Olympias acta est quinquagesima quinta, ut legere licet in Bibliotheca Diodori, in Historiis Thalli et Castoris, in Polybio et Phlegonte aliisque qui ad Olympiadum annos res expendere student.

8.

Augustæ, urbs in Cilicia et Italia. Cives Augustani Phlegon octavo libro Olympiadum.

9.

Creme, urbs Ponti. Phlegon libro Chronicorum octavo.

10.

Nisibis, urbs Ægypti. Phlegon in Olympiade centesima quadragesima.

11.

Idem : Βέλιτρα, πόλις Ἰταλίας, οὐ Ῥώμης ἀπωτέρω, ὥς φησι Φλέγων Ὀλυμπιάδι ροδ΄.

12.

Photius cod. 97: Ἐμοὶ δὲ ἀνεγνώσθη μέχρι τῆς ροζ΄ Ὀλυμπιάδος, ἐν ᾗ ἐνίκα Ἑκατόμνως Μιλήσιος στάδιον καὶ δίαυλον καὶ ὁπλίτην, τρίς, Ὑψικλῆς Σικυώνιος δόλιχον, Γάϊος Ῥωμαῖος δόλιχον, Ἀριστωνυμίδας Κῷος πένταθλον, Ἰσίδωρος Ἀλεξανδρεὺς πάλην, ἄπτωτος περίοδον, Ἀτυάνας Ἱπποκράτους Ἀδραμυτίου παῖς πὺξ, Σφοδρίας Σικυώνιος παγκράτιον, Σωσιγενὴς Ἀσιανὸς παίδων στάδιον, Ἀπολλοφάνης Κυπαρισσιεὺς παίδων πάλην, Σωτήριχος Ἠλεῖος παίδων πὺξ, Κάλας Ἠλεῖος παίδων παγκράτιον, Ἑκατόμνως Μιλήσιος ὁπλίτην (οὗτος ἐν τῇ αὐτῇ τὰ τρία ἐστεφανώθη, στάδιον, δίαυλον, ὁπλίτην), Ἀριστόλοχος ὁ Ἠλεῖος τέθριππον, Ἀγήμονος Ἠλείου κέλης, Ἑλλανίκου Ἠλείου συνωρὶς, τοῦ αὐτοῦ πωλικὸν τέθριππον, Κλητία Ἠλείου πωλικὴ συνωρὶς, Καλλίππου Πηλίου πωλικὸς κέλης.

Λεύκολλος δὲ Ἀμισὸν ἐπολιόρκει, καὶ Μουρήναν ἐπὶ τῆς πολιορκίας καταλιπὼν μετὰ δυοῖν ταγμάτοιν αὐτὸς μετὰ τριῶν ἄλλων προῆγεν ἐπὶ Καβείρων, ὅπου διεχείμαζε. Καὶ Ἀδριανὸν ἐπέταξε πολεμῆσαι Μιθριδάτῃ καὶ πολεμήσας ἐνίκησε. Καὶ σεισμοῦ ἐν Ῥώμῃ γενομένου πολλὰ ταύτης συνέπεσε. Καὶ ἄλλα δὲ πλεῖστα ἐν ταύτῃ ξυνηνέχθη τῇ Ὀλυμπιάδι. Καὶ Ῥωμαίων τῷ τρίτῳ αὐτῆς ἔτει ἀπετιμήθησαν μυριάδες ἐνενήκοντα καὶ μία. Καὶ Σινατρούκην τὸν Πάρθων βασιλέα τελευτήσαντα διεδέξατο Φραάτης ὁ ἐπικληθεὶς Θεός. Καὶ Φαῖδρον τὸν Ἐπικούρειον διεδέξατο Πάτρων. Καὶ Οὐεργίλιος Μάρων ὁ ποιητὴς ἐγεννήθη τούτου τοῦ ἔτους εἰδοῖς Ὀκτωβρίαις, τῷ δὲ τετάρτῳ ἔτει Τιγράνης καὶ Μιθριδάτης ἀθροίσαντες πεζοὺς μὲν τέσσαρας μυριάδας, ἱππέας δὲ τρεῖς, καὶ τὸν Ἰταλικὸν αὐτοὺς τάξαντες τρόπον, ἐπολέμησαν Λευκόλλῳ· καὶ νικᾷ Λεύκολλος, καὶ πεντακισχίλιοι μὲν τῶν μετὰ Τιγράνους ἔπεσον, πλείους δὲ τούτων ᾐχμαλωτίσθησαν χωρὶς τοῦ ἄλλου σύγκλυδος ὄχλου. Καὶ τὸ Καπιτώλιον ἐν Ῥώμῃ Κάτλος καθιέρωσε. Καὶ Μέτελλος ἐπὶ τὸν Κρητικὸν πόλεμον ὁρμήσας τρία τάγματα ἔχων ἦλθεν εἰς τὴν νῆσον καὶ μάχῃ νικήσας τὸν Λασθένη αὐτοκράτωρ ἀνηγορεύθη, καὶ τειχήρεις κατέστησε τοὺς Κρῆτας. Καὶ Ἀθηνόδωρος πειρατὴς ἐξανδραποδισάμενος Δηλίους τὰ τῶν λεγομένων θεῶν ξόανα διελυμήνατο· Γάϊος δὲ Τριάριος τὰ λελωβημένα τῆς πόλεως ἐπισκευάσας ἐτείχισε τὴν Δῆλον.

13.

Stephan. Byz. : Ταρραχίνη, πόλις Ἰταλίας. Φλέγων Ὀλυμπιάδι ἑκατοστῇ ὀγδοηκοστῇ πρώτῃ, ὅτι παιδίον ἐκ δούλης γενόμενον τῇ ἐνάτῃ καὶ τεσσαρακοστῇ τῆς γενέσεως τὸν προσαγορεύσαντα ἀντιπροσαγορεῦσαι, ἐφ' οἷς τοὺς μάντεις προσαγορεῦσαι ὄλεθρον.

E LIBRO DECIMO TERTIO.

14.

Origenes C. Cels. II, 14 : Φλέγων μέντοι ἐν τρισκαιδεκάτῳ ἢ τεσσαρεσκαιδεκάτῳ οἶμαι τῶν Χρονικῶν καὶ τὴν περί τινων μελλόντων πρόγνωσιν ἔδωκε τῷ Χριστῷ.

11.

Velitra, urbs Italiæ, non procul a Roma, ut ait Phlegon in Olympiade centesima septuagesima quarta.

12.

Equidem legi usque ad CLXXVII Olympiadem, qua victor fuit Hecatomnos Milesius stadii cursu et diauli et armato cursu ter; Hypsicles Sicyonius dolicho; Caius Romanus dolicho; Aristonymias Cous pentathlo; Isidorus Alexandrinus lucta, citra lapsum periodo; Atyanas Hippocratis Atramytei filius pugilatu; Sphodrias Sicyonius pancratio; Sosigenes Asianus puerorum stadio; Apollophanes Cyparissius puerorum lucta; Soterichus Eleus puerorum pugilatu; Calas Eleus puerorum pancratio, et armato cursu Hecatomnus Milesius. Ter hic eodem die coronatus est, stadio ejusque recursu et armato cursu. Aristolochus Eleus quadriga victor, equo singulari Agemon Eleus. Hellanico Eleo biga cessit et equuleorum quadriga. Cletiæ Elei equuleorum biga fuit, et Callippi Pelei singularis equuleus.

Lucullus eo tempore Amisum obsidebat; sed Murena in obsidione cum duabus legionibus relicto, ipse eum tribus aliis adversus Cabiros duxit et in hibernis ibidem castra locavit. Idem Hadrianum cum Mithridate confligere jubet, quo etiam prœlio superior fuit. Romæ terra movit, multaque afflixit, et alia præterea plurima hac Olympiade contigerunt. Ejus anno tertio censæ sunt Romæ myriades nonaginta et una. Sinatruce Parthorum rege exstincto successit Phraates cognomento Deus; et Phædrum Epicureum Patron excepit. Virgilius item Maro hoc ipso anno Idibus Octobris natus est. Quarto vero hujus Olympiadis anno Tigranes et Mithridates, collectis peditum quadraginta millibus, equitum triginta, instructaque Romanorum more acie, cum Lucullo dimicantes victi sunt; cæsis e Tigranis copiis quinque millibus et his pluribus captis præter ceteram hominum colluviem. Capitolium Romæ Catulus dedicavit : et ad Creticum bellum profectus cum triginta legionibus Metellus, insulam eam tenuit : ubi et manu cum Lasthene conserta, victor imperator est appellatus, Cretensibus intra oppidum murosque compulsis. Athenodorus pirata Deli incolas captivos abducens, deorum qui vocantur signa destruxit; at Caius quidam Triarius urbis ruta cæsa instaurans, Delum muro cinxit.

13.

Tarracina, urbs Italiæ. Phlegon in Olympiade centesima octogesima prima notat infantem ex serva natum, die nona et quadragesima nativitatis alloquentem rursus allocutum esse : ob quæ vates perniciem prædixisse.

14.

Phlegon in decimo tertio vel in decimo quarto, ni fallor, Chronicorum libro rerum quarundam futurarum præscientiam Christo attribuit.

15.

Euseb. Chron. ad Ol. 203, 1 : *Jesus unctus dominus noster, secundum prophetias de eo prolatas, decimo nono regnantis Tiberii anno venit ad passionem. Quod quidem circa tempus etiam in aliis Græcorum memoriis hæc ad verbum narrata reperimus : solem videlicet defecisse, Bithyniam terræ motu esse concussam, maximamque Nicææ partem prostratam. Atque hæc profecto cum iis congruunt, quæ in Vivifici nostri passione acciderunt. Quin adeo Phlegon Olympiadum scriptor hac ipsa de re tertio decimo libro sic loquitur : « Ducentesimæ tertiæ Olympiadis anno quarto tanta fuit solis defectio, quantam nemo antea cognoverat. Sexta quippe diei hora nox adeo offusa est, ut in cœlo stellæ viserentur. Magnus quoque terræ motus in Bithynia fuit, Nicææque pars magna ruit. » Sic prædictus vir ait.*

Syncellus p. 324, D, ex Eusebio : Ἰησοῦς ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, ὁ κύριος ἡμῶν, κατὰ τὰς περὶ αὐτοῦ προφητείας ἐπὶ τὸ πάθος προήει ἔτους ιθ' τῆς Τιβερίου βασιλείας. Καθ' ὃν καιρὸν καὶ ἐν ἄλλοις μὲν Ἑλληνικοῖς ὑπομνήμασιν εὕρομεν ἱστορούμενα κατὰ λέξιν ταῦτα· « Ὁ ἥλιος ἐξέλιπε· Βιθυνία ἐσείσθη· Νικαίας τὰ πολλὰ ἔπεσεν· » ἃ καὶ συνᾴδει τοῖς περὶ τὸ πάθος τοῦ Σωτῆρος ἡμῶν συμβεβηκόσι. Γράφει δὲ καὶ Φλέγων ὁ τὰς Ὀλυμπιάδας (sc. συναγαγὼν) περὶ τῶν αὐτῶν ἐν τῷ ιγ' ῥήμασιν αὐτοῖς τάδε· « Τῷ δ' ἔτει τῆς σδ' Ὀλυμπιάδος ἐγένετο ἔκλειψις ἡλίου μεγίστη τῶν ἐγνωρισμένων πρότερον, καὶ νὺξ ὥρᾳ ἕκτῃ τῆς ἡμέρας ἐγένετο, ὥστε καὶ ἀστέρας ἐν οὐρανῷ φανῆναι. Σεισμός τε μέγας κατὰ Βιθυνίαν γενόμενος τὰ πολλὰ Νικαίας κατεστρέψατο. » Καὶ ταῦτα μὲν ὁ δηλωθεὶς ἀνήρ. Cf. idem p. 322, D, ex Africano : Φλέγων ἱστορεῖ ἐπὶ Τιβηρίου Καίσαρος ἐν πανσελήνῳ ἔκλειψιν ἡλίου γεγονέναι τελείαν ἀπὸ ὥρας ἕκτης μέχρις ἐνάτης· δῆλον ὡς ταύτην. Eadem habent Maxim. schol. ad Dionys. Areop. epist. 7; Orig. in Matth. tract. c. 29 et 35; Cels. II, 33; Paul. Diacon. Hist. misc. VII, p. 254 ed. Bas. 1569; Jo. Malal. p. 240, 18 ed. Bonn.; Chronic. Paschal. p. 219, C. 222, C ed. Paris.

E LIBRO DECIMO QUINTO.

16.

Steph. Byz. : Νεοκαισάρεια, Ποντικὴ πόλις. Τὸ ἐθνικὸν Νεοκαισαρεὺς, ὡς Φλέγων πεντεκαιδεκάτῳ Ὀλυμπιάδων (πεντ. ὀλυμπιάδος Ald., πεντεκαιδεκάτῃ ὀλυμπιάδι vulg.). Οἱ αὐτοὶ καὶ Ἀδριανοπολῖται.

17.

Idem : Σκορδίσκοι καὶ Σκίρτιοι, ἔθνη Παιονίας, ὡς Φλέγων ἐν πεντεκαιδεκάτῃ Ὀλυμπιάδων.

18.

Idem : Τερβητία, πόλις Σικελίας. Οἱ πολῖται Τερβητῖνοι. Φλέγων ἐν Ὀλυμπιάδων πεντεκαιδεκάτῳ.

19.

Idem : Φουρνίτα, πόλις Λιβύης. Οἱ οἰκήτορες Φουρνιτανοί. Φλέγων πεντεκαιδεκάτῳ Ὀλυμπιάδων.

20.

Constant. Porphyrog. Them. II, 12 : Μαρτυρεῖ δὲ καὶ Φλέγων ἐν Ὀλυμπιάδων πεντεκαιδεκάτῃ, ὅτε ἐβασιλεύετο ὁ Βόσπορος Κότυϊ τῷ Βοσποριανῷ βασιλεῖ, ᾧ καὶ διάδημα ἐκέλευσε φορεῖν ὁ Καῖσαρ, καὶ τὰς πόλεις αὐτῷ καθυπέταξεν, ἐν αἷς συναριθμεῖ καὶ αὐτὴν Χερσῶνα.

21.

Stephan. Byz. : Ὀλυμπίειον, τόπος ἐν Δήλῳ, ὃν κτίσαντες Ἀθηναῖοι χρήμασιν Ἀδριανοῦ νέας Ἀθήνας Ἀδριανὰς ἐκάλεσαν, ὡς Φλέγων ἐν Ὀλυμπιάδων πεντεκαιδεκάτῳ.

SEDIS INCERTÆ.

22. 23.

Idem : Ἔλβονδις, πόλις μεταξὺ Αἰγύπτου καὶ Κυρήνης. Τὸ ἐθνικὸν Ἐλβονδίτης, ὡς Φλέγων.

Idem : Μαιανδρούπολις, Μαγνησίας πόλις, ὡς Φλέγων ἐν Ὀλυμπιάσι.

16.

Neocæsarea, Pontica urbs. Civis Neocæsarensis, ut Phlegon testatur libro decimo quinto Olympiadum.

17.

Scordisci et Scirtii, gentes Pæoniæ, ut Phlegon testatur in decimo quinto libro Olympiadum.

18.

Terbetia, urbs Siciliæ. Cives Terbetini. Phlegon Olympiadum libro decimo quinto.

19.

Phurnita, urbs Libyæ. Incolæ Phurnitani. Phlegon decimo quinto Olympiadum.

20.

Testatur etiam Phlegon in libro Olympiadum decimo quinto Bosporum sub dominatu fuisse Cotyis Bosporani regis, cui Cæsar jussit diadema gestare, urbesque ejus ditioni subjecit, in quibus connumerat hanc etiam Chersonem.

21.

Olympieum, locus in Delo, quem instaurantes Athenienses Hadriani opibus Novas Athenas Hadrianas vocarunt, uti Phlegon a Olympiadum libro decimo quinto.

22. 23.

Elbondis, urbs inter Ægyptum et Cyrenen sita. Civis Elbondites, ut Phlegon ait.

Mæandropolis, Magnesiæ urbs, cujus Phlegon in Olympiadibus meminit.

24.

St. B. : Μοτιηνοὶ, χωρίον Ἰβηρίας, ἄποικον Ῥωμαίων. Πολύβιος τρίτῳ (c. 40, 8). Φλέγων δὲ Μουτιηνὸν αὐτήν φησι.

25.

Idem : Πικεντία, πόλις Τυρρηνίας· Φλέγων δὲ Πίκεντον αὐτήν φησι.

26.

Idem : Τέρινα, πόλις Ἰταλίας καὶ ποταμὸς ὁμώνυμος, κτίσμα Κροτωνιατῶν, ὡς Φλέγων.

27.

Idem : Ὠστία, πόλις Ἰταλίας... Τὸ ἐθνικὸν δύναται καὶ Ὠστιανὸς καὶ Ὠστιάτης. Φλέγων δὲ Ὠστίους αὐτοὺς καλεῖ λέγων· « Παρέλαβε δὲ τὴν Ὠστίων πόλιν. »

28.

Euagrius Hist. Eccl. I, 20, p. 275, 21, de coloniis ex Græcia Antiochiam ad Orontem missis : Εἰ δέ τῳ περισπούδαστον ταύτας εἰδέναι, ἱστόρηται περιέργως Στράβωνι τῷ γεωγράφῳ (XVI, p. 750), Φλέγοντί τε καὶ Διοδώρῳ τῷ ἐκ Σικελίας, etc.

ΠΕΡΙ ΜΑΚΡΟΒΙΩΝ.

29.

1. Περὶ τῶν ἑκατὸν ἔτη ζησάντων. Οἱ ἑκατὸν ἔτη ζήσαντες Ἰταλῶν, ὡς ἐξ αὐτῶν τῶν ἀποτιμήσεων ἀναζητήσαντες οὐ παρέργως ἐμάθομεν· Λούκιος Κορνήλιος, Κορνίου υἱὸς, πόλεως Πλακεντίας. Λούκιος Γλαύκειος Οὐῆρος, Λουκίου υἱὸς, πόλεως Πλακεντίας. Λούκιος Οὐετούστιος Σεκοῦνδος, Λουκίου υἱὸς, πόλεως Πλακεντίας. Λούκιος Λικίννιος Πάλος, Λουκίου ἀπελεύθερος, πόλεως Πλακεντίας. Λούκιος Μάρκελλος, Λουκίου υἱὸς, πόλεως Πλακεντίας. Λούκιος Οὐέττιος, Μάρκου υἱὸς, [πόλεως] Βριξέλλων. Λούκιος Κουσσώννιος, Λουκίου υἱὸς, πόλεως Κορνηλίας. Λούκιος Γαμίνιος, Λουκίου υἱὸς, πόλεως Βελείας. Γάϊος Πορτήσιος Φρόντων, Σέξτου υἱὸς, πόλεως Βονωνίας. Γάϊος Νώνιος Μάξιμος, Ποπλίου υἱὸς, πόλεως Βριξέλλων. Γάϊος Ἀμούριος Τείρων, Γαΐου υἱὸς, πόλεως Κορνηλίας. Γάϊος Καστοπούδης, Τιτίου υἱὸς, πόλεως Πάρμης. Γάϊος Οὐάτιος Τέρτιος, Σπορίου υἱὸς, πόλεως Πλακεντίας. Γάϊος Ἰούλιος Πόθος, πόλεως Ῥαβέννης. Γάϊος Οὐαλέριος Πρίμος, Κοΐντου υἱὸς, πόλεως Βελείας. Καισελίας Κῦρος, πόλεως Πλακεντίας. Κατία, Γαΐου θυγάτηρ, πόλεως Φαουεντίας. Πόπλιος Φούλβιος Φρὺξ, Λουκίου ἀπελεύθερος, πόλεως Πολλισίας. Πόπλιος Νέβιος, Λουκίου υἱὸς, πόλεως Βασιλείας. Πόπλιος Δεκέννιος Δημοσθένης, Ποπλίου ἀπελεύθερος, πόλεως Ἀριμίνου. Πετρωνία Κοΐντου, Λουκίου ἀπελευθέρα, πόλεως Πλακεντίας. Πόλλεια Πώλλα, Σπουρίου θυγάτηρ, πόλεως Αἰτωσίας. Μάρκος Οὐιλώνιος Σευῆρος, πόλεως Οὐελείας. Μάρκος Τερέντιος Ἄλβιος, Μάρκου ἀπελεύθερος, πόλεως Πλακεντίας. Μάρκος Ἀντώνιος, Λουκίου υἱὸς, πόλεως Πλακεντίας. Μάρκος Τάλπιος Οὐιταλὶς, Μάρκου υἱὸς, πόλεως Πλακεντίας. Μάρκος Ἀκκέλιος, Μάρκου υἱὸς, πόλεως Βονωνίας. Μάρκος Νιρέλλιος, Γαΐου υἱὸς, πόλεως Πάρμης. Τίτος Οὐίβιος Θάλβιος, Σπορίου υἱὸς, πόλεως Πάρμης. Τίτος Αἰμίλιος, Κοΐντου υἱὸς, πόλεως Ῥηγίας (l. Ῥηγίου). Τίτος Οὐετεράνιος, Ποπλίου υἱὸς, πόλεως Βονωνίας. Τίτος Νουμέριος, Τίτου υἱὸς, πόλεως Πλακεντίας. Τίτος Σερούιος Σεκοῦνδος, Τίτου υἱὸς, πόλεως Βονωνίας. Τίτος Πετρώνιος, Σπορίου υἱὸς, πόλεως Πλακεντίας. Τίτος Ἀντώνιος, Μάρκου υἱὸς, πόλεως Ῥηγίου. Τίτος

24.

Motieni, castellum Iberiæ, Romanorum colonia, teste Polybio. Phlegon vero Mutienum dicit.

25.

Picentia, urbs Etruriæ. Phlegon Picentum eam vocat.

26.

Terina, urbs et fluvius Italiæ, a Crotoniatis condita, teste Phlegonte.

27.

Ostia, urbs Italiæ. Gentile esse potest Ostianus et Ostiates. Phlegon vero Ostios eos vocat in hisce : « Occupavit vero Ostiorum urbem. »

28.

Si quis accuratius eas cognoscere studet, plenissime de iis dixerunt Strabo geographus, Phlegon et Diodorus Siculus.

DE LONGÆVIS.

29.

1. *De iis qui centum annos vixerunt.* Itali, qui centum annos vixerunt, quos ex ipsis Censuum commentariis conquisitos, non obiter deprehendimus : L. Cornelius Cornii fil. L. Glauceius Verus, L. F. L. Vetustius Secundus, L. F. L. Licinnius Palus, L. libertus. L. Acilius Marcellus, L. F. Omnes hi, urbe Placentini. L. Vettius M. F. Brixellensis. L. Cussonius, L. F. urbe Cornelia. L. Gaminius, L. F. Velia. C. Portensius Fronto, Sexti F. Bononia. C. Nonius Maximus, P. F. Brixellis. C. Amurius Tiro, C. F. Cornelia. C. Castopudes, Titii F. Parma. C. Vatius Tertius, Sp. F. Placentia. C. Julius Pothus, Ravenna. C. Valerius Primus, Q. F. Velia. Cæselias Cyrus, Placentia. Catia, C. F. Faventia. P. Fulvius Phryx, L. libertus, Pollentia. P. Nevius, L. F. Basilea. P. Decennius Demosthenes, P. libertus, Arimino. Petronia Quinti, L. liberta, Placentia. Pollia Polla, Sp. filia, Ætosia. M. Vilonius Severus, Velia. M. Terentius Albius, M. libertus. M. Antonius, L. F. M. Talpius Vitalis, M. F. omnes Placentini. M. Accelius, M. F. Bononia. M. Nirellius, C. F. T. Vibius Thalbius, Spurii F. Parmenses. T. Æmilius, Q. F. Rhegio T. Veteranius, P. F. Bononia. T. Numerius, T. F. Placentia. T. Servius Secundus, T. F. Bononia. T. Petronius, Sp. F. Placentia. T. Antonius, M. F. Rhegio. T. Erusius Pollio, C. F. Bononia. T. Camorius Tertius, T. F. Fidentia. Turella Forensis, C. liberta, Bononia. Q. Cassius Rufus,

Ἐρούσιος (Ἐρούκιος? Meurs.) Πολλίων, Γαΐου υἱὸς, πόλεως Βονωνίας. Τίτος Καμόριος Τέρτιος, Τίτου υἱὸς, πόλεως Φειδεντίας. Τουρέλλη Φόρησις (?), Γαΐου ἀπελευθέρα, πόλεως Βονωνίας. Κούϊντος Κάσσιος Ῥοῦφος, Κουΐντου υἱὸς, πόλεως Ῥηγίου. Κούϊντος Λουκρίτιος Πρίμος, Κοΐντου υἱὸς, πόλεως Ῥηγίου. Κούϊντος Οὐέλιος, Ποπλίου υἱὸς, πόλεως Βελίας. Ἀντωνία Σεκούνδα, Ποπλίου θυγάτηρ, πόλεως Βελίας. Ἀλβατία Σαβίνα, πόλεως Πάρμης. Σαλουία Οὐάρηνα, Ποπλίου θυγάτηρ, πόλεως Βασιλείας. Βεβία Μαρκέλλα, Σέξτου θυγάτηρ, πόλεως Ὀρτισίας. Βασκία Ἀστικόσου, Μακεδὼν ἀπὸ Φιλίππων. Βόνζης Τόνου, Παροικοπολίτης, Μακεδών. Φρόντων Ἀλβουτίου, Μακεδὼν ἀπὸ Φιλίππων. Σάρκη Σκίλα, Μακέτις, Ἀμφιπολῖτις. Αἰδέσιος Δίζα, Παροικοπόλεως, Μακεδών. Βίθυς Διζάστου, Παροικοπόλεως τῆς Μακεδόνων. Ζαικεδένθης Μουκάσου, Παροικοπολίτης, Μακεδών. Μάντις Καιπροΐζου, Μακεδὼν ἐξ Ἀμφιπόλεως. Ἀλέξανδρος Δημητρίου, Τιανὸς ἀπὸ Πόντου καὶ Βιθυνίας. Γάζα Τίμωνος, Τιανὴ ἀπὸ Πόντου καὶ Βιθυνίας. Χρήστη Ἀντιπάτρου, Τιανή. Χρυσίον Θεοφίλου, Τιανή. Ἱέρων Ἱέρωνος, Τιανός. Μούζακος Μουκαντίου, Νικομηδεὺς Βιθυνίας. Λούκιος Φιδικλάνιος Νέπως, Σινωπεύς. Ἀλούκιος Ἀπιλιούτας, ἀπὸ Λουσιτανίας πόλεως Ἰντερανιησίας. Ἄμβατος, Δοκουρίου υἱὸς, τῆς αὐτῆς πόλεως. Κάμαλος, Καντολγουνίου υἱὸς, τῆς αὐτῆς πόλεως. Κέλτιος, Πελλίου υἱὸς, πόλεως Ἀπειλοχαρίου. Ἀρρούντιος, Ἀππίου υἱὸς, πόλεως Κονιμβριγησίας. Τάμφιος, Κελτίου υἱὸς, πόλεως τῆς αὐτῆς. Δοκκούριος, Ἀλουκκίου υἱὸς, πόλεως Αἰβουροβισυγγησίας.

II. Οἱ ἀπὸ ἑκατὸν τεσσάρων ἐτῶν μέχρι ἑκατὸν δέκα ἀπογραψάμενοι. Γάϊος Ληλήδιος Πρίμος, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕν. Κλωδία Ποτέστα, Γαΐου ἀπελευθέρα, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕν. Κουσινία Μόσχος, Γαΐου ἀπελευθέρα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕν. Κερεωνία Οὐερηκούνδα, Ποπλίου ἀπελευθέρα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕν. Λιουία Ἀττικὴ, Ποπλίου ἀπελευθέρα, πόλεως Πάρμης, ἔτη ἑκατὸν ἕν. Βουρία Λυχναινὶς, πόλεως Πάρμης, ἔτη ἑκατὸν ἕν. Γάϊος Σάμφιος, Γαΐου υἱὸς, πόλεως Βελείας, ἔτη ἑκατὸν δύο. Κούϊντος Κορνήλιος, Κουΐντου υἱὸς, πόλεως Ῥηγίου, ἔτη ἑκατὸν δύο. Τίτος Ἀντώνιος, Τίτου υἱὸς, πόλεως Πάρμης, ἔτη ἑκατὸν δύο. Κοκνανία Μοῦσα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν τρία. Δημόκριτος Ἀβδηρίτης ἔτη ἑκατὸν τέσσαρα· ἐτελεύτησεν δὲ τροφῆς ἀποσχόμενος. Κτησίβιος ὁ ἱστοριογράφος ἔτη ἑκατὸν τέσσαρα· ἐν περιπάτῳ δὲ ἐτελεύτα, ὡς Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς δεδήλωκεν. Ἱερώνυμος ὁ συγγραφεὺς πολλοὺς μὲν χρόνους ἐν ταῖς στρατείαις ἀνατλήσας, πλείστοις δὲ τραύμασιν ἐν πολέμοις περιπεσὼν ἐτελεύτησεν βιώσας ἔτη ἑκατὸν τέσσαρα, ὥς φησιν Ἀγαθαρχίδης ἐν τῇ ἐννάτῃ τῶν Περὶ τῆς Ἀσίας ἱστοριῶν. Γάϊος Λαλλίας Τιωναῖος (Τιωναῖνος Xyl.), Λουκίου υἱὸς, πόλεως Βιωνίας (Βονωνίας? W.), ἔτη ἑκατὸν πέντε. Πόπλιος Κουισέντιος Σφυρίων, Ποπλίου ἀπελεύθερος, πόλεως Βονωνίας, ἔτη ἑκατὸν πέντε. Τίτος Κοττίνας Χρύσαντος, Τίτου ἀπελεύθερος, πόλεως Φαουεντίας, ἔτη ἑκατὸν πέντε. Μάρκος Πομώνιος Σεβῆρος, Μάρκου υἱὸς, πόλεως Ταννητάνης, ἔτη ἑκατὸν πέντε. Σέξτος Νέβιος, Σέξτου υἱὸς, πόλεως Πάρμης, ἔτη ἑκατὸν πέντε. Λούκιος Αἴλιος Δωρόθεος, Λουκίου ἀπελεύθερος, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕξ. Γάϊος Πομπούσιος Μοντιανὸς, Ποπλίου υἱὸς, ἔτη ἑκατὸν ἑπτά. Πόλλα Δωνάτα, Σέξτου θυγάτηρ, πόλεως Βονωνίας, ἔτη ἑκατὸν δέκα. Μουναντία Προκούλα, Λουκίου θυγάτηρ, πόλεως Ῥηγίου, ἔτη ἑκατὸν δέκα.

Q. F. Q. Lucretius Primus, Q. F. Rhegini. Q. Velius, P. F. Velia. Antonia Secunda Publii F. Velia. Albatia Sabina, Parmensis. Salvia Varena, P. F. Basilea. Bebia Marcella, Sexti filia, Ortisia. Bascia Asticosi, Philippis Macedoniæ. Bonzes, Toni F., e Parœcopoli Macedo. Fronto Albutii, Macedo Philippensis. Sarce Scitæ, Macetis Amphipolita. Ædesius Dizæ, e Parœcopoli Macedo. Bithys Dicastæ, e Parœcopoli Macedo. Zæcedenthes Mucasi, eadem patria. Mantis Cæprœzi, Macedo ab Amphipoli. Alexander Demetrii, Tianus a Ponto et Bithynia. Gaza Timonis, Tiana, indidem. Chresta Antipatri, Tiana. Chrysium Theophili, Tiana. Hiero, Hieronis F., Tianus. Muzacus Mucantii, e Nicomedia Bithyniæ. L. Phidiclanius Nepos, Sinopensis. Alucius Apiliuta, Lusitanus, urbe Interaniesia. Eademque urbe Ambatus Docurii F. et Camalus Cantolgunii F. Celtius Pellii F., urbe Apilocario. Arruntius Appii F., urbe Conimbrigesia, et eadem Tamphius, Celtii F. Duccurius Aluccii F., urbe Æburobisyngesia.

II. *Qui ab annis centum et quattuor usque ad centum et decem protraxisse vitam annotati sunt.* C. Leledius Primus, annos CI. Clodia Potesta, C. liberta, totidem, Bononienses. Cusinia Juvenca, C. liberta, Corneliensis, annos CI. Cereonia Verecunda, P. liberta, ipsa quoque Corneliensis, annos totidem. Livia Attica, P. liberta, et Buria Lychnænis, Parmenses, annos vixerunt totidem. C. Samphius, C. F. annos CII., Veliæ natus. Q. Cornelius, Q. F., Rhegii. T. Antonius, T. F. Parmensis, totidem. Cocnania Musa, annos CIII., Corneliensis. Democritus Abderites, annos CIV: mortuus est abstinentia cibi. Totidem annos vixit Ctesibius, historiæ scriptor, et (ut in Annalibus Apollodorus refert) inter deambulandum vivendi finem fecit. Agatharchides libro Historiæ Asianæ nono scribit, Hieronymum historicum, quum is et temporis multum in expeditionibus bellicis tolerasset, et in pugnis permulta accepisset vulnera, annos natum totidem, decessisse. C. Lallias Tionæus, L. F., vitam produxit per annos CV, urbe natus Bionia. P. Quisentius Sphyrio, P. libertus, Bononiensis: T. Cottinas Chrysantus, T. libertus, Faventinus. M. Pomonius Severus, M. F., urbe Tannetana. Sext. Nevius, Sext. F., urbe Parma: omnes totidem. L. Ælius Dorotheus, L. libertus, Bononiensis, annos CVI. C. Pompusius Montianus, P. F., annos CVII. Polla Donata, Sexti filia, Bononiensis, annos CX. Munantia Procula L. F. Rhegina, totidem.

III. Οἱ ἀπὸ ἑκατὸν δέκα ἐτῶν μέχρι ἑκατὸν εἴκοσι ἀπογραψάμενοι. Τίτος Πουρέννιος Τοῦτος, Λουκίου υἱὸς, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕνδεκα. Λούκιος Ἀντίστιχος Σωτήριχος, Λουκίου ἀπελεύθερος, πόλεως Ῥαβέννης, ἔτη ἑκατὸν δέκα τρία. Λούκιος Πέτρου, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν δέκα τέσσαρα. Ἰουλία Μοδεστίνα, πόλεως Κορσιόλων, Πριμοπιλαρίου ἀπελευθέρα, καθ' ἡμᾶς ἔτι οὖσα, πόλεως Βριξέλλων, ἔτη ἑκατὸν εἴκοσι.

VI. Οἱ ἀπὸ ρλ' ἐτῶν μέχρι ρμ' ἀπογραψάμενοι. Λούκιος Τερέντιος, πόλεως Βονωνίας, ἔτη ρλϛ'. Φαῦστος, Καίσαρος δοῦλος, ἐκ Σαβίνων, ἀπὸ Πραιτωρίου Παλλαντιανοῦ, ἔτη ρλϛ', ὃν καὶ αὐτὸς ἐθεασάμην Ἀδριανῷ τῷ Καίσαρι ἐπιδειχθέντα (1). * Ἀργανθώνιος, ὁ τῶν Ταρτησσίων βασιλεὺς, ὡς ἱστορεῖ Ἡρόδοτος καὶ Ἀνακρέων ὁ ποιητὴς, ἔτη ρν'. Σίβυλλα ἡ Ἐρυθραία ἐβίωσεν ἔτη ὀλίγον ἀποδέοντα τῶν χιλίων, ὡς αὐτή φησιν ἐν τοῖς χρησμοῖς τόνδε τὸν τρόπον·

Ἀλλὰ τί δὴ πανόδυρτος ἐπ' ἀλλοτρίοισι πάθεσσι
θέσφατα φοιβάζω, λυσσώδεα μοῖραν ἔχουσα,
οἴστρου δὲ σφετέρου καταγεύομαι ἀλγινόεντος
ἐκνεαομεν (2) ἀεὶ χαλεπὸν κατὰ γῆρας ἔχουσα,
μαινομένη μὲν ἐνὶ θνητοῖς καὶ ἄπιστα λέγουσα,
πάντα δ' ὑπὲρ προϊδοῦσα βροτῶν δυσανάσχετα κήδη.
Καὶ τότε μοι φθονέσας Λητοῦς ἐρικυδέος υἱὸς
μαντοσύνης, παθέων δὲ καταικήσας (3) ὀλοὸν κῆρ,
ψυχὴν ἐκλύσει δεσμευομένην ἐνὶ λυγρῷ
σώματι, σαρκοτυπῆ διοϊστεύσας γεγαυῖαν (4).
Ἔνθ' ἄρα μοι ψυχὴ μὲν ἐς ἠέρα πιστευθεῖσα (5),
πνεύματι συγκραθεῖσα βροτῶν εἰς οὔατα πέμψει
κληδόνας ἐν πυκινοῖς αἰνίγμασι συμπλεχθείσας·
σῶμα δ' ἀεικελίως ἄταφον πρὸς μητέρος αἴης
κείσεται· οὐ γάρ τις θνητῶν ἐπὶ γαῖαν ἀμήσει,
οὐδὲ τάφῳ κρύψει· κατὰ γὰρ χθονὸς εὐρυοδείης
δύσεται αἷμα μέλαν τερσαινομένοιο χρόνοιο.
Ἔνθεν δὴ πολλῆς ἀναδύσεται ἔρνεα ποίης,
ἣ καταβοσκομένων μήλων εἰς ἥπατα δῦσα
ἀθανάτων δείξει βουλεύματα μαντοσύνῃσι.
Σαρκῶν δ' ὄρνιθες πτεροείμονες (6) αἴκε πάσωνται,
μαντοσύνην θνητοῖσιν ἀληθέα ποιπνύσουσι.

Διὰ τούτου τοῦ χρησμοῦ ἀποδείκνυται δέκα γενεὰς αὐτὴν κατ' ἀνθρώπους γεγονέναι, καὶ μετὰ τὴν ἀναχώρησιν τὴν ἐκ τοῦ ζῆν, τῆς μὲν ψυχῆς κατὰ τὸν ἀέρα φερομένης καὶ προσπιπτούσης τοῖς (7) ὑπὸ τῶν ἀνθρώπων λαλουμένοις, παρασκευάσειν τὰς γινομένας κληδόνας διὰ τῶν λόγων, τοῦ δὲ σώματος ἀτάφου γενομένου τὰ μὲν ὄρνεα τῶν σαρκῶν φαγόντα τὴν διὰ τῆς ὀρνιθοσκοπίας μαντείαν διασημαίνειν, τοῦ δὲ ὑπολοίπου μέρους εἰς τὴν γῆν σαπέντος καὶ τὰ κτήνη φαγόντα τῆς φυομένης πόας τὴν ἡπατοσκοπικὴν εἰς τὸν βίον εἰσάξειν τέχνην. Τὴν δὲ γενεὰν Σίβυλλα ἱστορεῖ ἐτῶν ἑκατὸν δέκα ἐν τῷ χρησμῷ τῷ πρὸς Ῥωμαίους περὶ τῶν αἰωνίων θεωριῶν, ἃ Ῥωμαῖοι σεκουλάρια καλοῦσι. Τῶν γὰρ συμμάχων αὐτῶν καὶ κοινωνῶν μὴ ἐμμενόντων ταῖς συνθήκαις, ἀλλὰ πυκνὰ μεταβαλλομένων καὶ πο-

1. « Post ἐπιδειχθέντα, si vera est capitis inscriptio et verus numerus ρν', novum caput incipit, quo pertinent etiam quæ habet de Epimenide Diog. Laert. 1, 10, 111 : Καὶ ἐπανελθὼν ἐπ' οἴκου μετ' οὐ πολὺ μετήλλαξεν, ὥς φησι Φλέγων ἐν τῷ Περὶ μακροβίων, βιοὺς ἔτη ἑπτὰ καὶ πεντήκοντα καὶ ἑκατὸν, ὡς δὲ Κρῆτες λέγουσιν, ἑνὸς δέοντος τριακόσια, ὡς δὲ Ξενοφάνης ὁ Κολοφώνιος ἀκηκοέναι φησὶ, τέτταρα πρὸς τοῖς πεντήκοντα καὶ ἑκατόν. » *Westerm.* — 2. ἐννέα μὲν γενεαῖς conj. Is. Voss.; ἐκ νεαρῶν μὲν ἀεὶ Xylander.; ἐν δεκάτῃ γενεᾷ Salmasius.

3. κατοικτίσας? Meursius. — 4. Sic Salmas. et Voss. pro σαρκοτύπιδι διϊστεύσας γεγάλιν. — 5 Westerm. pro vg. πιστηθεῖσα. — 6. Sic West.; πτετροείμονες codex, πετροδείμονες Xylander; πετροδύμονες Schneider. — 7. Sic West. pro vg. τοὺς λαλουμένους.

III. *Qui ab annis CX usque ad CXX progressi in Commentariis memorantur.* T. Purennius Tutus, L. F. Corneliensis, annos CXI. L. Antistichus Soterichus, L. libertus, Ravennas, CXIII. Lucius Petri, Corneliensis, CXIV. Julia Modestina, Corsiolis urbe nata, liberta Primipilarii, nostra adhuc ætate superstes, urbe Brixellis, annos CXX.

IV. *Qui ab CXXX annis usque ad CXL vixisse annotati sunt.* L. Terentius, Bononia, annos CXXXVI. Faustus, Cæsaris servus, e Sabinis, a Prætorio Pallantiano, annos CXXXVI. Quem et ipsi vidimus, Hadriano Cæsari exhibitum. Arganthonius Tartessiorum rex, ut Herodotus (I, 163) et Anacreon poeta narrant, annos CL. Sibylla Erythræa, annos vixit non multo pauciores mille. Quod ipsa in Oraculis in hunc modum indicat :

Sed quid flebilibus non nostra incommoda verbis
Vaticinor, rabie fatali concita mentem?
Quin stimulos nostri potius contrecto furoris?
A teneris semper mala sors me exercuit annis,
Adque senectutis provexit damna molestæ.
Inter ego vesana homines, non credita cuiquam
Fata cano et duros casus, bene gnara futuri.
Idcirco invidia Latonæ filius acri
Correptus, mihi fatidicamque infensus ob artem,
Corporis hanc animam misera de compede solvet,
Infesta carnem ferus interimetque sagitta.
Et mea tunc liquidas anima ut transibit in auras,
Auribus humanis vento permixta volucris,
Fata canet, cæcis ambagibus obscurata.
At supra matrem corpus deforme jacebit
Tellurem : neque enim id quisquam mandare sepulcro,
Ingestaque volet mortalis condere terra.
Quæ laxata calore meum tamen inde cruorem
Hauriet, hinc varias fœcundaque proferet herbas;
Unde jecur pecudum subiens vis certa futuri,
Consilia ostendet gnaris occulta deorum.
Atque meas carnes, subeant quæ saxa volucres,
Quum carpent, ventura procul mortalibus edent.

Hoc oraculo indicatur, Sibyllam istam decem ætates inter homines exegisse : et, postquam e vivis excessit, animam in aerem elatam effecisse ut ad aures hominum omina et sermones de futuris acciderent : cadavere autem insepulto jacente, aves ejus carnibus vescentes, auspicio ventura indicare : reliqua parte computrescente, et terram penetrante, pecudes, quæ e terra ea enatas herbas depascerent, divinationem, quæ e jecinorum fit inspectione, inter homines introducturas. Ceterum ætatem Sibylla annis CX definit in oraculo Romanis dato de ludis, quos ipsi Seculares vocant. Quum enim ipsorum socii et amici non sta-

λεμούντων αὐτοῖς, ἡ Σίβυλλα ἐχρησμῴδησεν, ἐπιτελεσθεισῶν τῶν θεωριῶν τούτων ὑποταγήσεσθαι τοὺς ἀφεστῶτας Λατίνους. Εἰσὶν δὲ οἱ χρησμοὶ οἵδε (1)·

Ἀλλ' ὁπόταν μήκιστος ἴκῃ (2) χρόνος ἀνθρώποισι
ζωῆς, εἰς ἐτέων ἑκατὸν (3) δέκα κύκλον ὁδεύσας (4),
μεμνῆσθαι, Ῥωμαῖε, καὶ εἰ μάλα λήσει ἑαυτοῦ (5),
μεμνῆσθαι τάδε πάντα, θεοῖσι μὲν ἀθανάτοισι
ῥέξειν (6) ἐν πεδίῳ παρὰ Θύβριδος ἄπλετον ὕδωρ,
ὅππῃ στεινότατον, νὺξ ἡνίκα γαῖαν ἐπέλθῃ
ἠελίου κρύψαντος ἑὸν φάος· ἔνθα σὺ ῥέζειν
ἱερὰ παντογόνοις (7) Μοίραις ἄρνας τε καὶ αἶγας,
κυανέας δ' (8) ἐπὶ ταῖσδ' Εἰλειθυίας ἀρέσασθαι
παιδοτόκους θυέεσσιν, ὅπῃ θέμις. Αὖθι δὲ γαίῃ
πληθομένῃ χοῖρός τε καὶ ὗς ἱρεύοιτο μέλαινα (9)·
πάνλευκοι (10) ταῦροι δὲ Διὸς παρὰ βωμὸν ἀγέσθων
ἤματι, μηδέ τε νυκτί· θεοῖσι γὰρ οὐρανίδαισιν (11)
ἡμέριος πέλεται θυέων τρόπος, ὣς δὲ καὶ αὐτοῖς (12)
ἱρεύειν. Δαμάλης δὲ βοὸς δέμας ἀγλαὸν Ἥρης
δεξάσθω νηὸς παρὰ σεῦ. Καὶ Φοῖβος Ἀπόλλων,
ὅστε καὶ ἥλιος κικλήσκεται, ἶσα δεδέχθω (13)
θύματα Λητοΐδης, καὶ ἀειδόμενοί τε Λατῖνοι
παιᾶνες, κούροις κούρῃσί τε νηὸν ἔχοιεν
ἀθανάτων. Χωρὶς δὲ κόραι χορὸν αὐταὶ ἔχοιεν (14),
καὶ χωρὶς παίδων ἄρσην στάχυς, ἀλλὰ γονήων
πάντων ζωόντων, οἷς ἀμφιθαλὴς ἔτι φύτλη·
αἱ δὲ γάμου ζεύγλαισι δεδμημέναι ἤματι κείνῳ

1. Quæ sequuntur etiam Zosimus II, 6, affert. — 2. ἵῃ Salm. — 3. ἑκατοντάδα Galłæus et Salm. At vide Ideler. Chronol. tom. II, p. 86. — 4. ὁδεύων Zosim. — 5. οὐ μάλα λήσει ἑαυτοὺς Zos. οὐ μάλα λήσεαι αὐτός Mitscherlich. οὐ μάλα λήσεαι αὐτῶν Bekker. — 6. ῥέζειν Zos. — 7. ποντογόνοις Zos. — 8. δ' om. Zos. — αἶγας κυανέας, ἐπὶ ταῖς δ' Mitsch. — 9. sic Zos.; Phlegontis codex : πληθομένῃ χώροις δὶς ἱερ. — 10. ζάλευκοι Zos. — 11. μηδ' ἐπὶ... οὐρανίοισι Zos. — 12. αὔτως Zos. — 13. sic Zos.; αἴσια δέχθω Phleg. — 14. ἄγοιεν conj. Heynius.

γνὺξ Ἥρης παρὰ βωμὸν ἀοίδιμον ἑδριόωσαι
δαίμονα λισσέσθωσαν, ἅπασι δὲ λύματα (1) δοῦναι
ἀνδράσιν ἠδὲ γυναιξὶ, μάλιστα δὲ θηλυτέραισιν.
Πάντες δ' ἐξ οἴκοιο φερέσθων ὅσσα κομίζειν
ἐστὶ θέμις θνητοῖσιν ἀπαρχομένοις βιότοιο,
δαίμοσι μειλιχίοισιν ἱλάσματα καὶ μακάρεσσιν
Οὐρανίοις (2). Τὰ δὲ πάντα τεθησαυρισμένα κείσθω,
ὄφρα τε θηλυτέρῃσι καὶ ἀνδράσιν ἑδριόωσιν
ἔνθεν πορσύνῃς μεμνημένος. Ἤμασι δ' ἔστω
νυξί τ' ἐπασσυτέραισι θεοπροπίους (3) κατὰ θώκους
παμπληθὴς ἄγυρις, σπουδὴ δὲ γέλωτι (4) μεμίχθω.
Ταῦτά τοι ἐν φρεσὶ σῇσιν (5) ἀεὶ μεμνημένος εἶναι,
καί σοι πᾶσα χθὼν Ἰταλὴ καὶ πᾶσα Λατίνων (6)
αἰὲν ὑπὸ σκήπτροισιν ὑπαυχένιον ζυγὸν ἕξει.

ΠΕΡΙ ΘΑΥΜΑΣΙΩΝ.

3ο.

« Narrationis caput deest. Videtur summa hæc esse : Philinnium, Demostrati et Charitûs filiam, clam cum hospite Machata etiam vita functam consuevisse, idque nutricem deprehendisse. » XYLAND.

** εἰς τὸν ξενῶνα προσπορεύεται ταῖς θύραις καὶ καιομένου τοῦ λύχνου καθημένην ἴδεν τὴν ἄνθρωπον παρὰ τῷ Μαχάτῃ· οὐκ ἔτι δὲ καρτερήσασα πλείονα χρόνον διὰ τὸ θαυμαστὸν τῆς φαντασίας τρέχει πρὸς τὴν μητέρα καὶ βοήσασα μεγάλῃ τῇ φωνῇ, Χαριτοῖ καὶ Δημόστρατε, ᾤετο δεῖν ἀναστάντας ἐπὶ τὴν θυγατέρα αὐτοὺς μετ' αὐτῆς πορεύεσθαι· πεφηνέναι γὰρ ζῶσαν, εἶναί τε μετὰ τοῦ ξένου διά τινα θείαν βούλησιν ἐν τῷ ξενῶνι.

1. δὲ λύματα] θελήματα conj. Sylburg ad Zosim. Mox θηλυτερῇσι Zos. — 2. οὐρανίδαις Zos. — 3. ἐπασσυτέρῃσι θεοπρέπτους Zos. — 4. γέλως τε Zos. — 5. φρεσὶν ᾗσιν Zos. — 6. Λατίνη Zos.

rent pactis, sed crebro novas res tentarent, et bellum inferrent : cecinit Sibylla, si hæc spectacula ederentur, Latinos, qui defecerant, subditum iri. Oraculi hic est tenor :

Viginti et centum revolutis protinus annis
(Quæ sunt humanæ longissima tempora vitæ)
Hæc memori tum mente tibi, Romane, teneto;
Hæc age, quantumvis obliviscare teipsum.
Qua campus flavas undosi ad Tibridis undas
Stringitur, angustis et circumscribitur oris,
Hic tu, sub terras ubi Titan lampada condet,
Obscuræ noctis sese intendentque tenebræ,
Omnigenis placa immortalia numina sacris :
Atque agnos Parcis, nitidas et cæde capellas.
Cœruleas etiam veneraberis Ilithyias,
Rite sacris factis, faustæ quæ partubus adsunt.
Atram frugiferæ Telluri deinde dicabis
Gratus ovem : tauros candentes ad Jovis aram
Tum statues, radiis quum sol terrestria lustrat :
(Non noctu; nam cœlitibus sacra rite feruntur,
Quum lux alma diè cœlum terrasque retexit;)
Pulchraque Junonis donetur bucula templo.
Quin etiam Titan Latonia proles Apollo
Placetur sacris; cantent Pæana Latini,
Atque choros ducant : puerique ætate vigentes
Parte alia, atque alia florentes vere puellæ
Ætatis, nondum caris genitoribus orbæ.

Atque verecundæ matronæ luce sub ista
Curvatis celebrem genibus Junonis ad aram
Concilientque deam, et sacrata piacula solvant
Vir mulierque, magis tamen istæc femina debet.
Ista domo sibi quisque ferat, quas fas jubet almis
Primitias offerre diis, et fausta precari.
Pro se quisque virum sibi condita in ædibus istæc
Asservet, festis castus promatque diebus.
Lucibus his, noctesque per has ad fana deorum
Turba hominum festiva adsitque, et seria risu
Temperet, assiduisque adsit creberrima sacris.
Horum non ullo te oblivio tempore tangat.
Itala sic tellus tibi cuncta omnisque Latinus
Serviet, et pavidum mittet tua sub juga collum.

DE MIRABILIBUS.

30.

** per fores in diversorium exit : et ardente lucerna, videt illam sedentem apud Machaten. Neque diutius se continens, ob spectri miraculum, ad matrem accurrit, magnaque vociferatione inclamans, Charito et Demostrate, surgere eos jussit, secumque ad filiam accedere. Hanc enim sibi vivam esse visam, et dei cujusdam voluntate esse in diversorio cum hospite. Charito, quum sermonem incredibilem audivisset, principio nuncii magnitudine et tumultuatione nu-

Τῆς δὲ Χαριτοῦς παράδοξον λόγον ἀκουούσης συνέβη τὴν ψυχὴν τὸ μὲν πρῶτον ἐκπλαγῆ γενομένην ἐκλυθῆναι διὰ τὸ μέγεθος τῆς ἀγγελίας καὶ διὰ τὴν ταραχὴν τῆς τροφοῦ, μετὰ μικρὸν δὲ μνησθεῖσαν τῆς θυγατρὸς κλαίειν, τὰ δὲ ἔσχατα καταγνῶναι τῆς πρεσβύτιδος μανίαν, κελεύειν τε ἀπαλλάττεσθαι ἀπ' αὐτῆς ταχέως. Ὀνειδιζούσης δὲ τῆς τροφοῦ καὶ λεγούσης μετὰ παρρησίας, ὡς μὲν φρονεῖ τε καὶ ὑγιής ἐστιν, ἡ δὲ δι' ὄκνον οὐ βούλοιτο τὴν ἰδίαν θυγατέρα ἰδεῖν, μόλις ἡ Χαριτὼ τὰ μὲν βιασθεῖσα ὑπὸ τῆς τροφοῦ, τὰ δὲ εἰδῆσαι βουλομένη τὸ συμβεβηκὸς παραγίνεται πρὸς τὰς θύρας τοῦ ξενῶνος· διὰ [δὲ] τὸ γεγονέναι πλείονα χρόνον, ὡς ἂν δευτέρας ἀγγελίας (num ὡς ἂν ὥρας δευτέρας ἀπὸ τῆς ἀγγ.?) συντετελεσμένης, ὀψέ ποτε ἧκεν ἡ Χαριτώ. Διὸ συνέβαινεν ἐκείνους μὲν ἤδη ἀναπαύεσθαι. Ἀνακύψασα δ' οὖν ἡ μήτηρ τὰ μὲν ἱμάτια καὶ τὸν τύπον τῆς ὄψεως ἐνόμιζεν ἐπιγινώσκειν, τὴν δὲ ἀλήθειαν ἐξετάσαι κατ' οὐδένα τρόπον δυναμένη τὴν ἡσυχίαν ᾤετο δεῖν ἔχειν· πρωὶ γὰρ ἤλπιζεν ἀναστᾶσα καταλήψεσθαι τὴν ἄνθρωπον· ἐὰν δὲ ὑστερήσῃ, διερωτήσειν τὸν Μαχάτην περὶ πάντων· οὐ γὰρ ἄν ποτε ψεύσασθαι τηλικαύτην πρᾶξιν ἐρωτώμενον αὐτόν· διόπερ σιωπήσασα ἀπῆλθεν. Ὄρθρου δὲ γενομένου τὴν μὲν εἴτε διὰ θείαν βούλησιν εἴτε κατ' αὐτοματισμὸν λαθοῦσαν ἀπελθεῖν συνέβη, τὴν δὲ παραγινομένην διὰ τὴν ἀπόλυσιν δυσφορεῖν· τῷ νεανίσκῳ δὲ τῷ ξένῳ πάντα ἐξ ἀρχῆς ἐξηγησαμένην ἀξιοῦν περὶ τὰ γόνατα περιπλεκομένην τοῦ Μαχάτου τὴν ἀλήθειαν εἰπεῖν μηδὲν ἀποκρυψάμενον. Ὁ δὲ νεανίσκος ἀγωνιάσας τὴν ἀρχὴν μὲν διεταράχθη, μόλις δέ ποτε τὸ ὄνομα διεσάφησεν, ὅτι Φιλίννιον εἴη· καὶ τὴν ἀρχὴν διηγήσατο τῆς εἰσόδου, καὶ τὴν ἐπιθυμίαν αὐτῆς ἐδήλωσεν ὡς ἧκει (ὡς εἶχεν Leopardi), ὅτι λάθρα τῶν γεννησάντων ἔφη παραγίνεσθαι πρὸς αὐτὸν, τά τε ὑπολελειμμένα ὑπὸ τῆς ἀνθρώπου, βουλόμενος ποιῆσαι τὸ πρᾶγμα πιστὸν, ἀνοίξας τὸν ῥίσκον, ἐξαιρεῖ, τόν τε δακτύλιον τὸν χρυσοῦν ὃν ἔλαβε παρ' αὐτῆς καὶ τὴν στηθοδεσμίδα ἣν ἀπολελοίπει τῇ πρότερον νυκτί. Ὡς δὲ εἶδεν ἡ Χαριτὼ τηλικαῦτα σημεῖα, ἀναβοᾷ καὶ διαρρήξασα ἑαυτῆς τά τε ἐνδύματα καὶ τὸ ἱμάτιον, ἀπό τε τῆς κεφαλῆς ῥίψασα τὸν κεκρύφαλον, πεσοῦσά τε εἰς τὴν γῆν καὶ περιχυθεῖσα τοῖς γνωρίσμασιν ἐξ ἀρχῆς ἐποίει τὸ πένθος. Θεωρῶν δὲ ὁ ξένος τὸ γινόμενον καὶ πάντας ὄντας ὑπερπαθεῖς καὶ θρηνοῦντας, ὡσανεὶ νῦν μέλλοντας κατορύττειν τὴν ἄνθρωπον, συνεχεῖτο καὶ παρεκάλει δεόμενος παύσασθαι, ἐπαγγελλόμενος ἐὰν παραγένηται δείξειν αὐτήν. Ἡ δὲ πεισθεῖσα καὶ ἐντειλαμένη αὐτῷ φροντίσαι μὴ παρέργως τῶν ἐπηγγελμένων ἀπελύθη πρὸς αὐτήν. Νυκτὸς δὲ ἐπιγενομένης καὶ τῆς ὥρας οὔσης, καθ' ἣν ἡ Φιλίννιον εἰώθει παραγίνεσθαι πρὸς αὐτὸν, οἱ μὲν προσετήρουν εἰδῆσαι θέλοντες τὴν ἄφιξιν· ἡ δὲ ἧκεν. Εἰσελθούσης δὲ κατὰ τὸν εἰθισμένον καιρὸν καὶ καθεζομένης ἐπὶ τὴν κλίνην οὐδὲν προσποιηθεὶς ὁ Μαχάτης, ἐξετάσαι δὲ τὸ πρᾶγμα βουλόμενος, τὸ πλέον οὐ πιστεύων, εἰ νεκρᾷ πλησιάζοι οὕτως ἐπιμελῶς παραγινομένῃ κατὰ τὸν αὐτὸν καιρὸν, ἔτι δὲ δειπνούσης μετ' αὐτοῦ καὶ συμπινούσης, ἀπίστως εἶχεν οἷς ἐκεῖνοι προήγγειλαν· ᾤετο δὴ νεκρορύκτας τινὰς διωρυχέναι τὸν τάφον καὶ πεπρακέναι τὰ ἱμάτια καὶ τὰ χρύσια τῷ πατρὶ τῆς ἀνθρώπου. Βουλόμενος οὖν τὴν ἀκρίβειαν εἰδῆσαι, πέμπει τοὺς παῖδας λάθρα καλοῦντας αὐτούς. Ταχέως δὲ παραγενομένων τοῦ τε Δημοστράτου καὶ τῆς Χαριτοῦς, ἰδόντων τε αὐτὴν καὶ

---

tricis consternata, animi est passa deliquium : mox filiæ recordata, flevit : tandem insanire nutricem dixit, atque abire jussit celeriter. Nutrice vero ipsi exprobrante, quod præ ignavia suam filiam videre negligeret (nam se quidem sanam esse, atque animo sibi constare), ægre tandem Charito partim a nutrice coacta, partim videre cupiens quid rei accidisset, ad fores hospitii se confert : idque sero, quod multum effluxisset temporis, dum secundus nuntius perfertur (*sive* et secunda jam hora a primo nuntio exacta esset). Quo factum est ut illi jam quiescerent. Mater igitur contuita, vestes quidem et lineamenta vultus visa sibi est agnoscere. Quum autem nulla esset veritatis rei perscrutandæ ratio, quiescendum sibi duxit, sperans se mane surrecturam, filiamque deprehensuram; aut, si serius veniret, e Machata totam rem cognituram : neque enim mentiturum eum, si de tanta re interrogaretur. Itaque silens abiit. Prima luce illa, sive dei quodam nutu sive casu aliquo, abiens fefellit. Mater autem, quum advenisset, ægre admodum tulit, quod eam non offenderet : adolescenti autem, et hospiti, re tota ab initio exposita, genua amplexa Machatæ, hominem obsecravit, ut nihil occultans veritatem proderet. Adolescens, animo anxius, initio quidem perturbari, vixque demum nomen edere, esse eam inquiens Philinnium : tum principium introitus exponere, et mulieris cupiditatem, quæ se clam parentes ad ipsum venire dixisset. Utque rei fidem faceret, quæ ab ea fuerant relicta, aperto risco protulit, annulum quem ab ea acceperat aureum, et fasciolam pectoralem, quam superiore nocte reliquerat. Charito ubi tanta vidit signa, exclamavit; scissisque vestibus, et vitta a capite projecta, in terram concidit, indiciisque circumfusa luctum ab initio repetiit. Hospes ista cernens, quum omnes in summo essent mœrore ac lamentarentur, quasi nunc sepelienda ipsis Charito esset : animo conturbato consolari eam cœpit, ut finem ejulandi faceret rogans, promittensque illam, si rediret, ei monstraturum : quibus Charito mota verbis, mandato, ut operam daret diligenter, quo promissa impleret, domum abiit. Ut nox facta est, et hora appetiit, qua Philinnium solebat ad ipsum ventitare, exspectarunt sane illi adventum : ipsa autem venit. Quæ quum consueto tempore esset ingressa, et in lecto consedisset, Machates nihil præ se ferens, rem modo ipsam explorare cupiens, præsertim ut qui nequaquam crederet se cum mortua rem habere, quæ tam accurate eodem temporis articulo ad se veniret, ad hæc etiam secum ederet atque biberet : itaque etiam iis fidem non haberet, quæ ab illis narrabantur, putaretque quosdam eorum, qui mortuos effodere solent, effosso sepulcro vestes et aureum mundum patri puellæ vendidisse. Cupiens ergo rem certo perspicere, pueros occulte mittit accitum eos. Quum autem confestim venissent Demostratus et Charito, vidissentque

γενομένων τὸ μὲν πρῶτον ἀφώνων τε καὶ ἐκπλαγῶν διὰ τὸ παράδοξον τῆς ὄψεως, ὕστερον δὲ ἀναβοησάντων μέγα καὶ περιπεσόντων τῇ θυγατρὶ, τότε ἡ Φιλίννιον τοσαῦτ' εἶπεν αὐτοῖς· » Ὦ μῆτερ καὶ πάτερ, ὡς ἀδίκως ἐφθονήσατέ μοι μετὰ τοῦ ξένου ἐπὶ τρεῖς ἡμέρας γενέσθαι ἐν τῇ πατρῴᾳ οἰκίᾳ λυποῦσαν οὐδέν· τοιγαροῦν ὑμεῖς μὲν πενθήσετε ἐξ ἀρχῆς διὰ τὴν πολυπραγμοσύνην, ἐγὼ δὲ ἄπειμι πάλιν εἰς τὸν διατεταγμένον τόπον· οὐ γὰρ ἄνευ θείας βουλήσεως ἦλθον εἰς ταῦτα. « Τοσαῦτα εἰποῦσα παραχρῆμα ἐγένετο νεκρὰ, ἐξετέτατό τε ἐπὶ τῆς κλίνης ἐμφανὲς τὸ σῶμα. Τῆς δὲ μητρὸς περιχυθείσης καὶ τοῦ πατρὸς περὶ αὐτὴν καὶ θορύβου πολλοῦ κατὰ τὴν οἰκίαν γενομένου διὰ τὸ πάθος, ὡς ἀνηκέστου γεγονότος θεάματος, ἅμα τε ἀπίστου συμπτώματος, ταχέως ἐγένετο διὰ πόλεως τὸ πρᾶγμα περιβόητον καί μοι προσηγγέλη. Τὴν μὲν οὖν νύκτα ἐκείνην διακατέσχον ἐγὼ τοὺς ὄχλους ἀθροιζομένους ἐπὶ τὴν οἰκίαν, εὐλαβηθεὶς μή τις εἴη νεωτερισμὸς διαδεδομένης τοιαύτης φήμης. Ὄρθρου δὲ βαθέος πλῆρες ἦν τὸ θέατρον. Ῥηθέντων δὲ πάντων κατὰ μέρος ἔδοξε πρῶτον εἰσελθεῖν ἐπὶ τὸν τάφον ἡμᾶς καὶ ἀνοίξαντας εἰδῆσαι, πότερον εἴη τὸ σῶμα ἐπὶ τῆς κλίνης ἢ κενὸν τόπον εὑρήσομεν· οὐδὲ γὰρ ἑξάμηνος ἐγεγόνει τῷ θανάτῳ τῆς ἀνθρώπου. Ἀνοιχθείσης δὲ ὑφ' ἡμῶν τῆς καμάρας, εἰς ἣν πάντες οἱ οἰκεῖοι μεταλλάσσοντες ἐτίθεντο, ἐπὶ μὲν τῶν ἄλλων κλινῶν ἐφάνη τὰ σώματα κείμενα, τῶν δὲ παλαίτερον τετελευτηκότων τὰ ὀστᾶ, ἐπὶ μόνης δὲ ἧς ἡ Φιλίννιον ἐτέθη καὶ συνέβη ταφῆναι εὕρομεν ἐπικείμενον τὸν δακτύλιον τὸν σιδηροῦν, ὃς ἦν τοῦ ξένου, καὶ τὸ χρυσόκλυστον ποτήριον, ἅπερ ἔλαβε παρὰ τοῦ Μαχάτου τῇ πρώτῃ τῶν ἡμερῶν. Θαυμάσαντες δὲ καὶ ἐκπλαγέντες εὐθέως παρεγενόμεθα πρὸς τὸν Δημόστρατον εἰς τὸν ξενῶνα ὀψόμενοι τὴν νεκρὰν, εἰ κατ' ἀλήθειαν ἐμφανής ἐστιν. Ἰδόντες δὲ χαμαὶ κειμένην εἰς τὴν ἐκκλησίαν ἠθροιζόμεθα· τὰ γὰρ γεγονότα μεγάλα τε ἦν καὶ ἄπιστα. Θορύβου δὲ ὄντος νεανικοῦ κατὰ τὴν ἐκκλησίαν καὶ σχεδὸν οὐδενὸς δυναμένου κρῖναι τὰ πράγματα, πρῶτος Ὕλλος, ὁ νομιζόμενος παρ' ἡμῖν οὐ μόνον μάντις ἄριστος, ἀλλὰ καὶ οἰωνοσκόπος κομψὸς εἶναι, τά τε ἄλλα συνεωρακὼς ἐν τῇ τέχνῃ περιττῶς, ἀναστὰς ἐκέλευεν τὴν μὲν ἄνθρωπον κατακαίειν ἐκτὸς ὁρίων (οὐ γὰρ συμφέρειν ἔτι ταύτην ἐντὸς ὁρίων τεθῆναι εἰς γῆν), ἀποτροπιάσασθαι δὲ Ἑρμῆν Χθόνιον καὶ Εὐμενίδας, εἶτα οὕτω περικαθαίρεσθαι πάντας, ἁγνίσαι δὲ καὶ τὰ ἱερὰ καὶ ὅσα θεοῖς χθονίοις νομίζεται ποιῆσαι συνέτασσεν. Ἐμοί τε ἰδίᾳ εἶπε περὶ τοῦ βασιλέως καὶ τῶν πραγμάτων, θύειν τε Ἑρμῇ, Διί τε Ξενίῳ καὶ Ἄρει, καὶ συντελεῖν ταῦτα μὴ παρέργως. Ταῦτα δὲ ἀποφηναμένου τούτου τὸ μὲν συνταχθὲν ἡμεῖς ἐπράττομεν, ὁ δὲ ξένος ὁ Μαχάτης, πρὸς ὃν παρεγίνετο τὸ φάσμα, ὑπ' ἀθυμίας ἑαυτὸν ἐξήγαγε τοῦ ζῆν. Ἐὰν οὖν σοι φαίνηται περὶ τούτων γράφειν τῷ βασιλεῖ, ἐπίστειλον κἀμοὶ, ἵνα καὶ τῶν σωμάτων τινὰ τῶν ἱστορούντων τὰ κατὰ μέρος ἐξαποστείλω σοι. Ἔρρωσο.

31.

Ἱστορεῖ δὲ καὶ Ἱέρων ὁ Ἀλεξανδρεὺς ἢ Ἐφέσιος καὶ ἐν Αἰτωλίᾳ φάσμα γενέσθαι. Πολύκριτος γάρ τις τῶν

---

ipsam, et primo quidem muti ac consternati adstitissent, admirabili spectaculo attoniti, deinde autem magnum sustulissent clamorem, et filiam fuissent circumplexi, ibi tum Philinnium hæc eis dixit : « O mater et pater, quam injuste invidistis mihi, ut cum hospite essem per triduum in domo paterna, absque ullo maleficio. Proinde vos denuo lugebitis, propter vestram curiositatem : ego autem rursum abeo ad locum mihi designatum ; non enim absque divina voluntate huc veni. » Hæc locuta, fuit illico mortua, corpusque ejus conspicuum per lectum est extensum. Matre autem circumfusa, ac patre, cadaveri, magnoque coorto tumultu in ædibus atque ejulatu ob istam rem, quum et immedicabile spectaculum accidisset et incredibilis casus : statim fama rei urbem pervasit, et ad me allata est. Istam igitur noctem ego turbam hominum, quæ ad ædes eas confluxerat, distinui, veritus ne quid novarum rerum tentaretur, tali fama dissipata. Summo mane refertum hominibus fuit theatrum ; omnibus singulatim narratis, placuit ut primo omnium iremus ad sepulcrum, eoque aperto videremus, cadaverne in sandapila esset, an vero vacuum locum inveniremus : nondum enim sex menses a morte mulierculæ elapsi erant. Postquam aperuimus cameram, in quam omnes istius familiæ defuncti reponebantur, aliis quidem in culcitris conspeximus cadavera sita, et ossa eorum qui ante spatium temporis longius fuerant mortui · in ea sola, in quam reposita et sepulta fuerat Philinnium, invenimus jacentem annulum ferreum, qui fuerat hospitis, et poculum inauratum, quæ illa primo die a Machate acceperat. Admirati atque stupentes præ admiratione, statim ad Demostratum in diversorium nos contulimus, ut videremus an re vera cadaver mulieris conspiceretur. Quod quum vidissemus humi jacere, in concionem convenimus : nam et magna erant quæ evenerant, et incredibilia. Quum autem in concione tumultus exsisteret ingens, ac nemo fere negotium dijudicare posset ; primus Hyllus, qui apud nos non ariolus modo optimus, sed et augur præclarus habebatur, atque in arte divinandi abunde omnia habebat perspecta, surgens, mulieris cadaver jussit extra fines sepeliri (neque enim conducere ut iterum intra eos in terram deponatur) ; Mercurium vero terrestrem et Furias placari ; tum omnes purgari, lustrari etiam sacra, et justa fieri diis Manibus, mandavit. Mihique privatim præcepit, ut pro imperatore et republica rem sacram facerem Mercurio, Jovi Hospitali ac Marti, eaque accurate conficerem. Hæc illo effato, nos quod jusserat executi sumus. Machates autem ille hospes, ad quem spectrum commearat, præ mœrore mortem sibi conscivit. Proinde si statueris hac de re ad imperatorem scribere, significa id per litteras mihi, ut etiam quosdam eorum, qui singula perlustrarunt, ad te mittam. Vale.

31.

Narrat etiam Hiero, sive Alexandrinus is est, sive Ephesius, in Ætolia spectrum exstitisse. Polycritus quidam de civibus, a populo genti Ætolæ præfectus (ipsi Ætolarcham

πολιτῶν ἐχειροτονήθη ὑπὸ τοῦ δήμου Αἰτωλάρχης, ἐπὶ τρία ἔτη τῶν πολιτῶν αὐτὸν ἀξιωσάντων διὰ τὴν ὑπάρχουσαν ἐκ προγόνων καλοκαγαθίαν. Ὢν δὲ ἐν τῇ ἀρχῇ ταύτῃ ἄγεται γυναῖκα Λοκρίδα καὶ συγκοιμηθεὶς τρισὶ νυξὶ τῇ τετάρτῃ τὸν βίον ἐξέλιπεν. Ἡ δὲ ἄνθρωπος ἔμενεν ἐν τῇ οἰκίᾳ χηρεύουσα, ἡνίκα δὲ ὁ τοκετὸς ἤπειγε, τίκτει παιδίον αἰδοῖα ἔχον δύο, ἀνδρεῖόν τε καὶ γυναικεῖον, καὶ τὴν φύσιν θαυμαστῶς διηλλαγμένον· τὰ μὲν ἄνω τοῦ αἰδοίου ὁλόκληρά τε καὶ ἀνδρώδη ἦν, τὰ δὲ περὶ τοὺς μηροὺς γυναικεῖα καὶ ἁπαλώτερα. Ἐφ' ᾧ καταπλαγέντες οἱ συγγενεῖς ἀπήνεγκαν εἰς τὴν ἀγορὰν τὸ παιδίον καὶ συναγαγόντες ἐκκλησίαν ἐβουλεύοντο περὶ αὐτοῦ, θύτας τε καὶ τερατοσκόπους συγκαλέσαντες. Τῶν δὲ οἱ μὲν ἀπεφήναντο διάστασίν τινα τῶν Αἰτωλῶν καὶ Λοκρῶν ἔσεσθαι· κεχωρίσθαι γὰρ ἀπὸ μητρὸς οὔσης Λοκρίδος καὶ πατρὸς Αἰτωλοῦ· οἱ δὲ δεῖν ᾤοντο τὸ παιδίον καὶ τὴν μητέρα ἀπενεγκόντας εἰς τὴν ὑπερορίαν κατακαῦσαι. Ταῦτα δὲ αὐτῶν βουλευομένων ἐξαίφνης φαίνεται ὁ Πολύκριτος ὁ προτεθνηκὼς ἐν τῇ ἐκκλησίᾳ πλησίον τοῦ τέκνου ἔχων ἐσθῆτα μέλαιναν. Τῶν δὲ πολιτῶν καταπλαγέντων ἐπὶ τῇ φαντασίᾳ καὶ πολλῶν εἰς φυγὴν τραπομένων παρεκάλεσε τοὺς πολίτας θαρρεῖν καὶ μὴ ταράττεσθαι ἐπὶ τῷ γεγονότι φάσματι. Ἐπεὶ δὲ ἔληξε τὸ πλέον τοῦ θορύβου καὶ τῆς ταραχῆς, ἐφθέγξατο λεπτῇ τῇ φωνῇ τάδε· « Ἐγώ, ἄνδρες πολῖται, τῷ μὲν σώματι τέθνηκα, τῇ δὲ εὐνοίᾳ καὶ τῇ χάριτι πρὸς ὑμᾶς ζῶ. Καὶ νῦν πάρειμι πρὸς ὑμᾶς (πείσας suppl. Leop., παραιτησάμενος West.) τοὺς κυριεύοντας τῶν κατὰ γῆν ἐπὶ τῷ συμφέροντι τῷ ὑμετέρῳ. Παρακαλῶ τοίνυν ὑμᾶς, πολίτας ὄντας ἐμοῦ, τοῦ μὴ ταράττεσθαι μηδὲ δυσχεραίνειν ἐπὶ τῷ παραδόξῳ γεγονότι φάσματι. Δέομαι δὲ ὑμῶν ἁπάντων, κατευχόμενος πρὸς τῆς ἑκάστου σωτηρίας, ἀποδοῦναί μοι τὸ παιδίον τὸ ἐξ ἐμοῦ γεγεννημένον, ὅπως μηδὲν βίαιον γένηται ἄλλο τι βουλευσαμένων ὑμῶν, μὴ δ' ἀρχὴ πραγμάτων δυσχερῶν καὶ χαλεπῶν διὰ τὴν πρὸς ἐμὲ φιλονεικίαν ὑμῖν γένηται. Οὐ γὰρ ἐνδέχεταί με περιιδεῖν κατακαυθὲν τὸ παιδίον ὑφ' ὑμῶν διὰ τὴν τῶν ἐξαγγελλόντων ὑμῖν μάντεων ἀποπληξίαν. Συγγνώμην μὲν οὖν ὑμῖν ἔχω, ὅτι τοιαύτην ὄψιν ἀπροσδόκητον ἑωρακότες ἀπορεῖτε πῶς ποτε τοῖς παροῦσι πράγμασιν ὀρθῶς χρήσεσθε. Εἰ μὲν οὖν ἐμοὶ πεισθήσεσθε ἀδεῶς, τῶν παρόντων φόβων καὶ τῶν ἐπερχομένων κακῶν ἔσεσθε ἀπηλλαγμένοι· εἰ δὲ ἄλλως πως τῇ γνώμῃ προσπεσεῖσθε, φοβοῦμαι περὶ ὑμῶν, μήποτε εἰς ἀνηκέστους συμφορὰς ἀπειθοῦντες ἡμῖν ἐμπέσητε. Ἐγὼ μὲν οὖν διὰ τὴν ὑπάρχουσαν εὔνοιαν ὅτ' ἔζων καὶ νῦν ἀπροσδοκήτως παρὼν προείρηκα τὸ συμφέρον ὑμῖν. Ταῦτ' οὖν ὑμᾶς ἀξιῶ, μὴ πλείω με χρόνον παρέλκειν, ἀλλὰ βουλευσαμένους ὀρθῶς καὶ πεισθέντας τοῖς εἰρημένοις ὑπ' ἐμοῦ δοῦναί μοι μετ' εὐφημίας τὸ παιδίον. Οὐ γὰρ ἐνδέχεταί μοι πλείονα μηκύνειν χρόνον διὰ τοὺς κατὰ γῆν ὑπάρχοντας δεσπότας. » Ταῦτα δὲ εἰπὼν ἡσυχίαν ἔσχεν ἐπ' ὀλίγον, καραδοκῶν ποίαν ποτὲ ἐξοίσουσιν αὐτῷ γνώμην περὶ τῶν ἀξιουμένων. Τινὲς μὲν οὖν ᾤοντο δεῖν ἀποδοῦναι τὸ παιδίον καὶ ἀφοσιώσασθαι τό τε φάσμα καὶ τὸν ἐπιστάντα δαίμονα, οἱ δὲ πλεῖστοι ἀντέλεγον, ἐπὶ σχολῆς δεῖν βουλεύσασθαι φάσκοντες, ὡς ὄντος μεγάλου τοῦ πράγματος καὶ οὐ τῆς τυχούσης αὐτοῖς ἀπορίας. Συνιδὼν δὲ αὐτοὺς οὐ προσέχοντας, ἀλλ' ἐμποδίζοντας αὐτοῦ τὴν βούλησιν, ἐφθέγξατο αὖθις τάδε· « Ἀλλ' οὖν γε, ὦ ἄνδρες πολῖται, ἐὰν ὑμῖν συμβαίνῃ τι τῶν δυσχε-

vocant), est designatus per triennium, civibus eum ad hoc munus deposcentibus, ob virtutem a majoribus ad ipsum propagatam. Eum gerens magistratum Polycritus uxorem ducit Locridem : cum qua ut tres dormivit noctes, quarta extremum vitæ diem morte confecit. Mulier domi vidua mansit; et quum partus tempus appetiisset, infantem peperit binis pudendis, masculino ac feminino, mirifice omnino monstrosum : quæ supra pudenda erant partes, solidæ erant, et masculæ : quæ circum femora, feminea et tenera. Perterriti hoc casu propinqui, fœtum in forum protulerunt; advocataque concione, et coactis sacrificulis atque monstrorum inspectoribus, de eo deliberarunt. Horum alii pronunciarunt, dissidium aliquod Ætolorum et Locrensium portendi. Fœtum enim divisum esse, matris Locridis, ac patris Ætoli. Alii censuerunt, matrem cum fœtu extra fines Ætoliæ deportari ac cremari debere. Dum hæc consultantur, subito Polycritus, pridem mortuus, in concione exsistit prope infantem, atra amictus veste. Is perterritos cives eo spectro, et plerosque fugam facientes, bono jubet esse animo, neque ob hanc apparitionem conturbari. Postquam tumultus majori ex parte sedatus fuit, tenui voce ita dixit : « Ego, cives, corpore mortuus, benevolentia et favore erga vos vivo; et nunc adsum coram vobis, venia eorum qui subter terræ imperant, commodi vestri causa. Hortor itaque vos, cives meos, ne tumultuemini neve ob tam mirabilem apparitionem aliquid capiatis molestiæ. Obtestor autem unumquemque vestrûm, per suam ipsius salutem, ut mihi ex me genitum infantem reddatis; ne quid violentum contingat, in aliam vobis discedentibus sententiam : neve, contendendi mecum studio, difficilium atque adversarum rerum fiat exordium. Non enim fieri potest ut negligam istam injuriam, si, secuti stupiditatem vatum vestrorum, infantem cremetis. Ignosco sane vobis, quod, improviso hoc monstro conspecto, dubitatis quid sit agendum. Quodsi mihi obtemperatis, metu præsenti et impendentibus malis tuto liberabimini : sin alio sententia vestra inclinabit, metuo ne, dum mihi dicto audientes esse non vultis, in extremas incidatis calamitates. Atque ego quidem ea, quam vivus erga vos gessi, ductus benevolentia, nunc quoque non exspectatus adsum, et, quid in rem sit vestram, monui. A vobis autem peto, ne diutius me trahatis, sed re recta via putata, mihi obsequamini, et bono cum omine infantem tradatis : non enim licet mihi longiorem moram producere propter dominos, qui sub terra sunt. » Hæc locutus, aliquantulum quievit, exspectans quid ad postulata sua essent responsuri. Non defuerunt qui tradendum ei infantem, itaque et monstrum, et qui apparuisset genium, averruncandum esse censerent. Sed maxima pars eam sententiam impugnabat; ac per otium de re tanta, et quæ haberet explicatus difficillimos, deliberandum contendebat.

ρεστέρων διὰ τὴν ἀβουλίαν, μὴ ἐμὲ αἰτιᾶσθε, ἀλλὰ τὴν τύχην τὴν οὕτως ἐπὶ τὸ χεῖρον ὑμᾶς ποδηγοῦσαν, ἥτις ἐναντιουμένη κἀμοὶ παρανομεῖν ἀναγκάζει με εἰς τὸ ἴδιον τέκνον. » Τοῦ δὲ ὄχλου συνδραμόντος καὶ περὶ τὴν ἄρσιν τοῦ τέρατος ἔχοντος, ἐπιλαβόμενος τοῦ παιδίου καὶ τοὺς πλείστους αὐτῶν ἀνείρξας ἰταμώτερον διέσπασέ τε αὐτὸ καὶ ἤσθιε. Κραυγῆς δὲ γενομένης καὶ λίθων ἐπ' αὐτὸν ἐκριπτομένων ὑπελάμβανον τροπὴν αὐτοῦ ποιήσασθαι. Ὁ δὲ ἄπληκτος ὢν ὑπὸ τῶν λίθων τὸ σῶμα πᾶν τοῦ παιδίου κατανάλωσε πλὴν τῆς κεφαλῆς καὶ αὐτίκα ἀφανὴς ἐγένετο. Δυσφορούντων δὲ αὐτῶν ἐπὶ τοῖς γενομένοις καὶ ἐν ἀπορίᾳ καθεστηκότων οὐ τῇ τυχούσῃ, βουλομένων τε ἀποστεῖλαι εἰς Δελφούς, φθέγγεται ἡ κεφαλὴ τοῦ παιδίου ἐπὶ τοῦ ἐδάφους κειμένη καὶ λέγει χρησμῷ τὰ ἀποβησόμενα·

Ὦ πολυύμνητον ναίων χθόνα λαὸς ἀπείρων,
μὴ στεῖχ' ἐς Φοίβου τέμενος ναόν τε θυώδη·
οὐ γάρ σοι καθαραὶ χέρες αἵματος αἰθέρ' ἔχουσιν,
ἀλλὰ μύσος προπάροιθε ποδῶν ἔντοσθε κελεύθου.
Φράζεο δ' ἐξ ἐμέθεν, τρίποδος δ' ἀπόειπε κέλευθον·
μαντοσύνης πᾶσαν γὰρ ἐφετμήν σοι καταλέξω.
Ἤματι γὰρ τούτῳ περιτελλομένου ἐνιαυτοῦ
ὥρισται πᾶσιν θάνατος, ψυχαὶ δὲ βίονται
Λοκρῶν Αἰτωλῶν τ' ἀναμὶξ βουλῇσιν Ἀθήνης,
οὐδ' ἀναπαύλησις (1) κακοῦ ἔσσεται, οὐδ' ἠβαιόν.
Ἤδη γὰρ ψεκάδες φόνιαι κατὰ κρᾶτα κέχυνται,
νὺξ δ' ἐπὶ πάντα κέκευθε, μέλας δ' ἐπιδέδρομεν αἰθήρ (2)·
αὐτίκα νὺξ δ' ἔρεβος πᾶσαν κατὰ γαῖαν ὄρωρεν,
χῆροι δ' οἶκοι πάντες ἐπ' οὔδει γυῖα κλινοῦσιν,
οὐδὲ γυνὴ πένθος ποτὲ λείψεται, οὐδέ νυ παῖδες

1. οὐδ' ἀναπαύλη τις Bast., οὐδ' ἄρ' ἀνάβλησις Schæfer. ex Iliad. 2, 380. — 2. αἴθρη Xyl.

ἐν μεγάροις γοόωσι φίλους πατέρας περιφύντες·
τοῖον γὰρ τόδε κῦμα κατέδραμε πᾶσι κατ' ἄκρης.
Αἲ αἲ πατρίδ' ἐμὴν αἰεὶ στένω αἰνὰ παθοῦσαν,
μητέρα τ' αἰνοτάτην, ἣν ὕστερον ἔκλυσεν αἰών.
Νώνυμνόν τε θεοὶ γένεσιν θήσουσιν ἅπαντες
Λοκρῶν τ' Αἰτωλῶν θ' ὅ τι που καὶ σπέρμα λίποιτο,
οὕνεκ' ἐμὴν κεφαλὴν λίποι αἰών, οὐδέ νυ πάντα
σώματος ἠφάνικεν μέλε' ἄκριτα, λεῖπε δὲ γαῖαν.
Ἀλλά γ' ἐμὴν κεφαλὴν θέμεν ἠοῖ φαινομένηφι,
μηδέ θ' ὑπὸ ζοφερὴν γαῖαν κατακρυπτέμεν ἔνδον·
αὐτοὺς δὲ προλιπόντας ἑὸν χῶρον μετόπισθεν
στείχειν εἰς ἄλλον χῶρον καὶ λαὸν Ἀθήνης,
εἴ τινά που θανάτοιο λύσιν κατὰ μοῖραν ἕλησθε.

Ἀκούσαντες δὲ οἱ Αἰτωλοὶ τοῦ χρησμοῦ γυναῖκας μὲν καὶ τὰ νήπια τέκνα τούς τε ὑπεργήρως ὑπεξέθεντο οὗ ἕκαστος ἐδύνατο, αὐτοὶ δὲ ἔμενον καραδοκοῦντες τὸ ἀποβησόμενον. Καὶ συνέβη τῷ ἑξῆς ἔτει Αἰτωλοῖς καὶ Ἀκαρνᾶσι συστῆναι πόλεμον καὶ φθορὰν πολλὴν ἑκατέρων γενέσθαι.

De Ephesio sive Alexandrino *Hierone*, ex quo hæc ineptiæ petuntur, aliunde non constat. Meursius scribi voluit *Hero*. Constat sane de Alexandrino Herone mechanico; sed quomodo ad hunc nostra potueris referri non video.

32.

Ἱστορεῖ δὲ καὶ Ἀντισθένης ὁ Περιπατητικὸς φιλόσοφος, Ἀκείλιον Γλαβρίωνα τὸν ὕπατον μετὰ πρεσβευτῶν Πορκίου Κάτωνος καὶ Λουκίου Οὐαλερίου Φλάκκου παραταξάμενον Ἀντιόχῳ ἐν Θερμοπύλαις γενναίως τε ἀγωνισάμενον βιάσασθαι ῥῖψαι μὲν τὰ ὅπλα τοὺς μετ' Ἀντιόχου, αὐτὸν δὲ τὰ μὲν πρῶτα εἰς Ἐλάτειαν (cod. Ἰταλίαν; em. Meursius) μετὰ πεντακο-

---

Cernens ergo Polycritus, eos sibi animum non advertere, sed consilium ipsius impedire, rursum ita locutus est: « Itaque ergo, cives, si quid ob consilii pravitatem vobis adversi eveniet, non mihi id, sed fortunæ, imputate, quæ vos ita ad deteriora ducit: quæ, mihi quoque adversa, in prolem meam me nefarium reddit. » Concurrente ad hæc verba turba, et tollere monstrum conante, arripiens infantem, et plerosque ferocius abigens, discerpsit eum, ac voravit. Clamorem multitudo sustulit, lapidibusque eum conjectis arcere aggressa est: verum ille, nullis saxorum obnoxius ictibus, totum infantis copus, dempto capite, absumpsit, subitoque evanuit. Quod factum quum Ætoli ægre ferrent, et in anxietatem haud mediocrem venirent, Delphosque mittere vellent, caput infantis in solo jacens loquitur et oraculo futura indicat:

O populosa colens famosas natio terras,
Non lucos adeas Phœbi, et fragrantia templa:
Namque manus tibi pollutæ tolluntur in auras,
Ante pedesque nefas positum via publica tangit.
Mitte iter ad tripodes, atque ex me disce futura:
Nam tibi fata canam, quæ sint venturaque dicam.
Hæc ubi lux primum revoluto illuxerit anno,
Corpora Locrorum simul Ætolûmque Minervæ
Passim morte atra sternentur plurima jussu,
Interitus animæ expertes post funera vivent.
Nec requies erit ulla mali, vel parvula, vobis;
Nam jam nunc cædis stillæ caput omne pererrant,
Omnia nox tegit, et nimbus superincidit ater.
Quisque domi viduus sua membra in limine ponet.
(Nulla virum mulier lugebit, nulla parentes;
Usque amplexa suos deflebit funera proles:)
Usque adeo cunctos letalis proluet æstus.
Heu patriam semper gemo, tam crudelia passam;
Et miseram matrem, quæ mortem postmodum obivit.
Obscuros etiam superi, et sine nomine ponent,
Ætolo et Locro quidquid de semine fiet:
Vita meo capiti superat quia, nec mea membra
Protinus a terris abolevit cuncta recedens;
Vos caput auroræ jubeo hoc exponere luci,
Nec terræ infossum nigris celare cavernis:
Atque exhinc patria jubeo migrare relicta,
Palladis ad populumque et cultas pergere terras,
Effugium leti si quod fors fata ministrent.

Audito hoc Ætoli oraculo, uxores, infantes et senio provectos exposuerunt, quo quisque potuit: ipsi manserunt domi, et, quid futurum esset, exspectaverunt. Contigit autem ut anno proximo inter Ætolos et Acarnanes bellum exsisteret, et utrinque magna fieret clades.

32.

Narrat etiam Antisthenes philosophus Peripateticus, Acilium Glabrionem consulem cum legatis Porcio Catone et L. Valerio Flacco, prœlio congressum cum Antiocho apud Thermopylas, acriter pugnasse, et milites Antiochi coegisse arma abjicere. Ipsum Antiochum primum cum quin-

σίων ὑπασπιστῶν φυγεῖν, ἐκεῖθεν δὲ πόλιν εἰς Ἔφεσον ἀναγκάσαι ὑπεξελθεῖν. Ὁ δὲ Ἀκείλιος Κάτωνα μὲν εἰς Ῥώμην ἀπέστειλεν ἀπαγγελοῦντα τὴν νίκην, αὐτὸς δὲ ἐπ' Αἰτωλοὺς καθ' Ἡράκλειαν ἐστράτευσεν, ἣν ἐξ εὐμαροῦς ἔλαβεν. Ἐν δὲ τῇ παρατάξει τῇ γενομένῃ πρὸς Ἀντίοχον ἐν Θερμοπύλαις ἐπιφανέστατα σημεῖα ἐγένετο Ῥωμαίοις. Ἐπιφανέντος γὰρ Ἀντιόχου καὶ φυγόντος τῇ ἐπιούσῃ ἡμέρᾳ ἐγίνοντο οἱ Ῥωμαῖοι περὶ ἀναίρεσιν τῶν ἐκ τῆς σφετέρας δυνάμεως πεπτωκότων καὶ περὶ συλλογὴν λαφύρων τε καὶ σκύλων καὶ αἰχμαλώτων. Βούπλαγος δέ τις, τῶν ἀπὸ Συρίας ἱππάρχης, τιμώμενος παρὰ τῷ βασιλεῖ Ἀντιόχῳ, ἔπεσε καὶ αὐτὸς γενναίως ἀγωνισάμενος. Ἀναιρουμένων δὲ τῶν Ῥωμαίων πάντα τὰ σκῦλα καὶ μεσούσης τῆς ἡμέρας, ἀνέστη ὁ Βούπλαγος ἐκ τῶν νεκρῶν, ἔχων τραύματα δέκα δύο, καὶ παραγενόμενος εἰς τὸ στρατόπεδον αὐτῶν ἀνεῖπε λεπτῇ τῇ φωνῇ τούσδε τοὺς στίχους·

Παῦσαι σκυλεύων στρατὸν Ἄϊδος εἰς χθόνα βάντα·
ἤδη γὰρ Κρονίδης νεμεσᾷ Ζεὺς μέρμερα λεύσσων,
μηνίει δὲ φόνῳ στρατιᾶς καὶ σοῖσιν ἐπ' ἔργοις,
καὶ πέμψει φῦλον θρασυκάρδιον εἰς χθόνα τὴν σήν,
οἵ σ' ἀρχῆς παύσουσιν, ἀμείψῃ δ' οἷά γ' ἔρεξας.

Ταραχθέντες δὲ οἱ στρατηγοὶ ἐπὶ τοῖς ῥηθεῖσιν διὰ ταχέων συνήγαγον τὸ πλῆθος εἰς ἐκκλησίαν καὶ ἐβουλεύοντο περὶ τοῦ γεγονότος φάσματος. Ἔδοξεν οὖν τὸν μὲν Βούπλαγον παραχρῆμα μετὰ τὰ λεχθέντα ἔπη ἀποπνεύσαντα κατακαύσαντας θάψαι, καθαρμὸν δὲ ποιήσαντας τοῦ στρατοπέδου θῦσαι Διὶ Ἀποτροπαίῳ καὶ πέμψαι εἰς Δελφοὺς ἐρωτήσοντας τὸν θεὸν, τί χρὴ ποιεῖν. Παραγενομένων δὲ Πυθῶδε τῶν θεωρῶν καὶ πυνθανομένων τί ποιητέον, ἀνεῖπεν ἡ Πυθία τόνδε τὸν χρησμόν·

Ἴσχεο νῦν, Ῥωμαῖε, δίκη δέ τοι ἔμμονος ἔστω,
μή σοι ἐφορμήσῃ Παλλὰς πολὺ φέρτερον Ἄρη,
χηρώσῃ δ' ἀγοράς· σὺ δὲ, νήπιε, πολλὰ μογήσας
ἵξεαι ἐς χώρην τὴν σὴν πολὺν ὄλβον ὀλέσσας.

Ἀκούσαντες οὖν τοῦ λόγου τούτου τὸ μὲν ἐπιστρατεῦσαι ἐπί τινα τῶν ἐν τῇ Εὐρώπῃ κατοικούντων ἀπέγνωσαν τὸ παράπαν, ἀναζεύξαντες δὲ ἀπὸ τοῦ προειρημένου τόπου παρεγένοντο ἐπὶ Ναύπακτον τῆς Αἰτωλίας, οὗ ἐστιν ἱερὸν κοινὸν τῶν Ἑλλήνων, εὐτρεπίζοντες θυσίας δημοτελεῖς, ἀπαρχάς τε ἐξ ἔθους. Τούτων δὲ ἐπιτελουμένων ὁ στρατηγὸς Πόπλιος ἐμμανὴς γενόμενος καὶ παράφρων ἀποφθέγγεται πολλά τινα ἐνθουσιωδῶς, τὰ μὲν ἐν μέτρῳ, ἔστι δ' ἃ καὶ καταλογάδην. Διαγγελθέντος δὲ τῷ πλήθει τοῦ πράγματος συνέθεον πάντες πρὸς τὴν σκηνὴν τοῦ Ποπλίου, ἅμα μὲν ὑπαγωνιῶντες καὶ ἐκπεπληγμένοι ἐπὶ τῷ τὸν κράτιστον αὐτῶν καὶ δυνάμενον ἀφηγεῖσθαι μετ' ἐμπειρίας ἠτυχηκέναι, ἅμα δὲ ἀκούειν βουλόμενοι τὰ λεγόμενα, ὥστε τινὰς αὐτῶν πιεσθέντας βιαιότερον ἀποπνιγῆναι. Τὰ μὲν οὖν ἐν μέτρῳ ῥηθέντα ὑπ' αὐτοῦ, ἔτι ὄντος ἐν τῇ σκηνῇ, ἐστὶ τάδε·

Ὦ πατρὶς, οἷόν σοι λυγρὸν φέρει Ἄρη Ἀθήνη,
ἡνίκα πορθήσασ' Ἀσίην πολύολβον ἵκηαι
Ἰταλίην ἐς γαῖαν, ἐϋστεφάνους τε πόληας,
Θρινακίην νῆσον πολυήρατον, ἣν κτίσατο Ζεύς.
Ἥξει γὰρ στρατιὴ πολυφέρτατος, ὀβριμόθυμος,
τηλόθεν ἐξ Ἀσίης, ὅθεν ἡλίου ἀντολαί εἰσιν,
καὶ βασιλεὺς διαβὰς στεινὸν πόρον Ἑλλησπόντου
ὅρκια πιστὰ ταμεῖ πρὸς κοίρανον Ἠπειρώτην,
ἄξει δ' εἰς Ἀσίην (?) στρατιὴν ἀνάριθμον ἀγείρας

---

gentis satellitibus Elateam (v. Livius 36, 19) fugisse, inde compulsum Ephesum discedere. Acilius (ut is narrat) Catonem, victoriæ nunciandæ causa, Romam misit; ipse in Ætolos movit, et Heracleam adortus, nullo negotio cepit. In pugna autem apud Thermopylas Romanis signa illustrissima sunt facta. Nam quum se ostendisset ipsis Antiochus ac fugisset, postridie Romani se colligendis iis, qui ab ipsorum parte ceciderant, tum legendis spoliis atque exuviis et captivis dederunt. Ibi Buplagus quidam Syrus, qui magno in pretio apud Antiochum fuerat, turmamque equorum duxerat, fortiterque prœlians ceciderat, Romani vero quum spolia omnia legerent, media die e mortuis surrexit, vulneribus affectus duodecim, et in castra eorum advenit, atque hos versus exili voce pronunciavit:

Desiste ad manes turbam spoliare profectam:
Succenset Jupiter jam nunc, facta impia cernens,
Iratus cædem ob legionis, et ob tua facta,
Immanem gentemque tuas immittet in oras,
Imperio tibi quæ tua facta rependat adempto.

Perturbati his verbis duces, celeriter multitudinem in concionem convocarunt, ac de spectro consultarunt. Placuit ut Buplagus, statim a recitatis versibus exstinctus, cremaretur ac sepeliretur; lustraretur exercitus, Jovi Averruncatori sacrum fieret: mitterenturque Delphos, qui, quid agendum esset, perquirerent. Consultoribus Pythia sic respondit:

Desine nunc, Romane, et jus fac sit tibi cordi,
Ne longe majori instructum robore Martem
Immittat Pallas tibi, qui fora civibus atrox
Atque domos viduet. Post multos, stulte, labores
Amissis opibus repetes tua limina magnis.

Quo audito, Romani omne consilium expeditionis in aliquem Europæ habitatorem suscipiendæ abjecerunt; et, motis castris, a dicto loco Naupactum venerunt, Ætoliæ urbem, ubi commune est Græcorum templum; ibique sacrificia publica et primitias de more adornarunt. Hæc quum celebrarentur, imperator Publius, insania correptus, multa divino animi instinctu pronunciavit, quædam versibus, alia soluta oratione. Quæ res quum esset indicata multitudini, omnes ad Publii tentorium concurrerunt, simul et consternati atque dolore affecti, eo quod optimus ipsorum dux atque peritissimus in eam devenisset miseriam: et cupientes audire quæ diceret. Et tantus fuit concursus, ut quidam vehementius pressi suffocarentur. Versus, quos ille pronunciavit, quum esset adhuc in tentorio, hi sunt:

Eheu quam dirum Pallas tibi, patria, Martem
Immittet, postquam Ausonias remearis ad urbes,
Devastata Asia natale solumque beata,
Thrinaciamque, deûm quam rex fundavit, amœnam.
Nam procul ex Asia, qua sunt Hyperionis ortus,
Adveniet gravis atque animis exercitus ingens,
Trajectoque freto rex angusti Hellesponti
Cum domino Epiri firmissima fœdera junget,
Inque Asiam innumero conflatas milite turbas

πάντοθεν ἔκ τ' Ἀσίης ἠδ' Εὐρώπης ἐρατεινῆς,
καί σε δαμᾷ, χήρους δ' οἴκους καὶ τείχεα θήσει,
δουλοσύνην δ' ἐπὶ πᾶσιν ἐλεύθερον ἦμαρ ἀπούρας
τεύξει μήνιδος οὕνεκ' Ἀθηναίης μεγαθύμου.

Ἀνειπὼν δὲ τοὺς στίχους τούτους ὥρμησεν ἐκ τῆς σκηνῆς ἐν χιτῶνι καὶ ἀπεφθέγγετο καταλογάδην τάδε· « Μηνύομεν, ὦ ἄνδρες στρατιῶται καὶ πολῖται, διαβάντας ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν νικῆσαι ὑμᾶς τὸν βασιλέα Ἀντίοχον ναυμαχήσαντάς τε καὶ πεζῇ παραταξαμένους, κυριεῦσαι δὲ τῆς ἐπιτάδε τοῦ Ταύρου χώρας πάσης καὶ τῶν πόλεων τῶν ἐκτισμένων ἐν αὐτῇ, ἐκβαλόντας τὸν Ἀντίοχον εἰς Συρίαν, ταύτην δὲ παραδοθῆναι καὶ τὰς πόλεις τοῖς Ἀττάλου υἱοῖς, Γαλάτας δὲ τοὺς κατοικοῦντας ἐν τῇ Ἀσίᾳ παραταξαμένους πρὸς ὑμᾶς ἡσσηθῆναι, τῶν δὲ γυναικῶν καὶ τέκνων καὶ τῆς ἀποσκευῆς πάσης κυριεῦσαι ὑμᾶς καὶ ἀγαγεῖν εἰς τὴν Εὐρώπην, τοὺς δὲ κατοικοῦντας ἐν τῇ Εὐρώπῃ τὴν παραλίαν Θρᾷκας τῆς τε Προποντίδος καὶ Ἑλλησπόντου ἀναλύουσιν ὑμῖν ἀπὸ τῆς στρατείας ἐπίθεσιν ποιήσασθαι περὶ τὴν τῶν Αἰνιάνων χώραν καί τινας διαφθείραντας ἀφελέσθαι μέρος τι τῆς προνομῆς, διασωθέντων δὲ τῶν ἄλλων καὶ κομισθέντων εἰς Ῥώμην ἔσεσθαι συνθήκας πρὸς βασιλέα Ἀντίοχον, ἐφ' ᾧ χρήματα μὲν εἰσοίσει καὶ χώρας τινὸς ἀποστήσεται. » Ἀναγορεύσας δὲ ταῦτα ἀνεκεκράγει μεγάλῃ τῇ φωνῇ λέγων τάδε· » Ἐκ τῆς Ἀσίας ὁρῶ διαβαινούσας δυνάμεις χαλκοστέρνους καὶ βασιλέας ἐπὶ τὸ αὐτὸ συναγομένους καὶ ἔθνη παντοδαπὰ ἐπὶ τὴν Εὐρώπην, ἵππων τε κτύπον δοράτων τε ψόφον καὶ φόνον αἱματόφυρτον λεηλασίαν τε δεινὴν πτώσεις τε πύργων καὶ τειχῶν κατασκαφὰς ἐρημίαν τε χθονὸς ἀμυθήτου. » Ταῦτα δὲ εἰπὼν ἔλεξεν αὖθις ἐν ἔπεσι τάδε·

Ἡνίκα Νισαῖοι χρυσάμπυκες ἀργέται ἵπποι
βῶσιν ἐπὶ χθόνα δῖαν, ἑὴν προλιπόντες ἐφέδρην,
οὕς ποτ' ἐν ἄστει τεῦξε Συρηκοσίων πολυόλβων
Δαίδαλος Ἠετίων, φιλίαν πολυήρατον αὔξων,
δαῖτ' ἐπὶ χαλκείῃ, δεσμοῖς δ' ἐπὶ δεσμὸν ἴαλλεν,
χρύσεον ἐν δ' αὐτὸν πᾶσιν Ὑπερίονος υἱὸν
ἥρμοσεν ἀκτίνεσσι καὶ ὄμμασι μαρμαίροντα·
καὶ τότε σοὶ, Ῥώμη, χαλέπ' ἄλγεα πάντα τελεῖται.
Ἥξει γὰρ στρατὸς εὐρὺς, ὅς οὐ (l. ὅ σου) χθόνα πᾶσαν [ὀλέσσει,
χηρώσει δ' ἀγορὰς, ἄστη δέ τε πυρπόλα θήσει,
αἵματι δὲ πλήσει ποταμοὺς, πλήσει δὲ καὶ ᾅδην,
δουλοσύνην τ' οἰκτρὴν, στυγερὴν, ἀτέκμαρτον ἐφέσσει.
Οὐδὲ γυνὴ πόσιν ὅν γ' ὑποδέξεται ἐκ πολέμοιο
νοστήσαντ', ἀΐδης δὲ καταχθόνιος, μελανείμων,
ἕξει ἐνὶ φθιμένοισιν ὁμοῦ τέκνα μητρὸς ἀπούρας,
Ἄρης δ' ἀλλοδαποῖς περιθήσει δούλιον ἦμαρ.

Ἀποφθεγξάμενος δὲ ταῦτα ἐσιώπησεν καὶ πορευθεὶς ἔξω τοῦ στρατοπέδου ἀνέβη ἐπί τινα δρῦν. Ἐπακολουθήσαντος δὲ τοῦ ὄχλου προσεκαλέσατο αὐτοὺς καὶ εἶπε τάδε· « Ἐμοὶ μὲν, ὦ ἄνδρες Ῥωμαῖοι καὶ οἱ λοιποὶ στρατιῶται, καθήκει τελευτήσαντι ὑπὸ λύκου πυρροῦ εὐμεγέθους καταβρωθῆναι ἐν τῇ σήμερον ἡμέρᾳ, ὑμεῖς δὲ τὰ ῥηθέντα ὑπ' ἐμοῦ γινώσκετε συμβησόμενα ὑμῖν πάντα, τεκμηρίοις χρώμενοι τῇ νῦν ἐσομένῃ ἐπιφανείᾳ τοῦ θηρίου τε καὶ τῇ ἐμῇ ἀναιρέσει, ὅτι ἀληθῆ εἴρηκα ἔκ τινος θείας ὑποδείξεως. » Τοσαῦτα δὲ εἰπὼν ἐκέλευσεν αὐτοὺς ἀποστῆναι καὶ μηδένα κωλῦσαι τὸ θηρίον προσελθεῖν, φάσκων, ἐὰν ἀποστρέψωσιν, οὐ συνοίσειν αὐτοῖς. Ποιήσαντος δὲ τοῦ πλήθους τὸ προσταχθὲν οὐκ εἰς μακρὰν παραγίνεται ὁ λύκος. Ἰδὼν δὲ αὐτὸν ὁ

Ex Asia, Europæque educet finibus amplæ.
Te subiget, viduasque domos, murosque relinquet;
Servitioque premet, spe libertatis adempta.
Atque hæc ob sævam flent Tritonidis iram.

His pronunciatis tunicatus e tentorio se proripuit, et soluta oratione ita est locutus: « Significamus, milites atque cives, vos ex Europa in Asiam digressos, Antiochum regem terra marique commissis superasse prœliis; subegisse quidquid est citra Taurum regionis, et urbium in ea conditarum, expulso in Syriam Antiocho; regionem eam et urbes Attali filiis vos tradidisse; Galatas, qui in Asia degunt, vobiscum pugna congressos succubuisse; mulieres eorum, liberos et omnia impedimenta vos cepisse et in Europam duxisse. A Thracibus vero, qui in Europa oram Propontidis et Hellesponti accolunt, redeuntes vos apud Ænianum regionem invasum iri, et eos nonnullis occisis partem prædæ vobis erepturos: reliquis salvis Romam perlatis cum rege Antiocho fœdus exstiturum, ea conditione, ut is certam pendat pecuniam, et quadam regione cedat. » His dictis, magna voce in hæc verba clamavit: « Video ex Asia trajicere exercitus ferreis pectoribus, regesque in unum conductos, et gentes varias in Europam, strepitumque equorum, et hastarum fragorem, cædem cruentam, prædationem gravem, ruinam turrium, et murorum dejectiones, ac evastationem immensæ terræ. » Secundum hæc rursum versus protulit, quorum hæc fuit sententia:

Nisææ quando frenis auroque superbæ
Egredientur equæ propriis de sedibus albæ
(Arte Syracusis quas in locupletibus olim
Dædalus Eetion jucundæ nobile pignus
Fecit amicitiæ, præsepia ad ærea stantes,
Aureaque inter se connectunt vincula cunctas:
Quis super insignis radiis, oculosque coruscans,
Invehitur famosi Hyperionis inclyta proles):
Tum gravium te, Roma, attinget summa malorum.
Nam magnus veniens exercitus omnia perdet.
Civibus orbabit fora, et urbes igne cremabit,
Sanguineque implebit rivos, et sanguine manes,
Servitioque premet, spe libertatis adempta.
Nulla virum e bello reducem tunc femina diro
Excipiet; Pluto nigro sed tristis amictu
Sub terras rapiet natos matresque patresque,
Marsque peregrinis coget servire relictos.

Sic fatus conticuit: egressusque castris quercum quandam conscendit; sequentemque multitudinem advocans, hæc dixit: « Mihi quidem, Quirites ceterique milites, convenit ut a lupo rufo magno vorer hodie. Vos autem scitote, eventura vobis omnia, quæ prædixi: ac vera me, numine quodam demonstrante, prædixisse, hoc certissimo intelligite signo, quod mox lupus aderit, et me interficiet. » Hæc locutus, discedere eos jussit, et lupum non impedire quominus accedat, dicens, si eum arcerent, male id ipsis versurum. Obtemperante dictis multitudine, paulo post ac-

Πόπλιος κατέβη ἀπὸ τῆς δρυὸς καὶ ἔπεσεν ὕπτιος, ὁ δὲ λύκος ἀνασχίσας αὐτὸν κατεδαίνυτο πάντων ὁρώντων. Ἀναλώσας δὲ τὸ σῶμα αὐτοῦ πλὴν τῆς κεφαλῆς ἐτράπετο εἰς τὸ ὄρος. Προσελθόντος δὲ τοῦ ὄχλου καὶ βουλομένου ἀνελέσθαι τὰ ἀπολελειμμένα, κτερίσαι τε αὐτὸν νομίμως, ἡ κεφαλὴ κειμένη ἐπὶ τῆς γῆς ἀνεῖπε τοὺς στίχους τούτους·

> Μὴ ψαῦ' ἡμετέρης κεφαλῆς· οὐ γὰρ θέμις ἐστὶν,
> οἶσιν Ἀθηναίη χόλον ἄγριον ἐν φρεσὶ θῆκεν,
> ἅπτεσθαι θείοιο καρήατος· ἀλλὰ πέπαυσο,
> μαντοσύνην τ' ἐπάκουσον, ἀληθέα ἥπερ ἐρεῖ σοι.
> Ἥξει γὰρ χθόνα τήνδε πολὺς καὶ καρτερὸς Ἄρης,
> ὃς λαὸν μὲν ἔνοπλον ὑπὸ σκότον ἄϊδι πέμψει,
> ῥήξει δ' αὖ λιθίνους πύργους καὶ τείχεα μακρὰ,
> ὄλβον δ' ἡμέτερον καὶ νήπια τέκν' ἀλόχους τε
> μάρψας εἰς Ἀσίην ἄξει διὰ κῦμα περήσας.
> Ταῦτά σοι εἴρηκεν νημερτέα Φοῖβος Ἀπόλλων
> Πύθιος, ὅς μοι ἑὸν κρατερὸν θεράποντ' ἐπιπέμψας
> ἤγαγεν εἰς μακάρων τε δόμους καὶ Περσεφονείης.

Ἀκούσαντες δὲ τῶν ἐπῶν τούτων οὐ μετρίως ἐταράχθησαν, ἱδρυσάμενοί τε ναὸν Ἀπόλλωνος Λυκίου καὶ βωμὸν, οὗπερ ἔκειτο ἡ κεφαλὴ, ἐνέβησαν εἰς τὰς ναῦς καὶ ἀπέπλεον ἕκαστος ἐπὶ τὰς ἑαυτῶν πατρίδας. Καὶ συνέβη ἅπαντα τὰ ὑπὸ τοῦ Ποπλίου ῥηθέντα γενέσθαι.

33.

Ἱστορεῖ δὲ καὶ Ἡσίοδος καὶ Δικαίαρχος καὶ Κλίταρχος (l. Κλέαρχος) καὶ Καλλίμαχος καὶ ἄλλοι τινὲς περὶ Τειρεσίου τάδε. Τειρεσίαν τὸν Εὐήρους ἐν Ἀρκαδίᾳ ἄνδρα ὄντα ἐν τῷ ὄρει τῷ ἐν Κυλλήνῃ ὄφεις ἰδόντα ὀχεύοντας τρῶσαι τὸν ἕτερον καὶ παραχρῆμα μεταβαλεῖν τὴν ἰδέαν· γενέσθαι γὰρ ἐξ ἀνδρὸς γυναῖκα καὶ μιχθῆναι ἀνδρί. Τοῦ δὲ Ἀπόλλωνος αὐτῷ χρήσαντος, ὡς ἐὰν τηρήσας ὀχεύοντας ὁμοίως τρώσῃ τὸν ἕνα ἔσται οἷος ἦν, παραφυλάξαντα τὸν Τειρεσίαν ποιῆσαι τὰ ὑπὸ τοῦ θεοῦ ῥηθέντα καὶ οὕτως κομίσασθαι τὴν ἀρχαίαν φύσιν. Διὸς δὲ ἐρίσαντος Ἥρᾳ καὶ φαμένου, ἐν ταῖς συνουσίαις πλεονεκτεῖν τὴν γυναῖκα τοῦ ἀνδρὸς τῆς τῶν ἀφροδισίων ἡδονῆς, καὶ τῆς Ἥρας φασκούσης τὰ ἐναντία, δόξαι αὐτοῖς μεταπεμψαμένοις ἐρέσθαι τὸν Τειρεσίαν διὰ τὸ τῶν τρόπων ἀμφοτέρων πεπειρᾶσθαι. Τὸν δὲ ἐρωτώμενον ἀποφήνασθαι, διότι μοιρῶν οὐσῶν δέκα τὸν ἄνδρα τέρπεσθαι τὴν μίαν, τὴν δὲ γυναῖκα τὰς ἐννέα. Τὴν δὲ Ἥραν ὀργισθεῖσαν κατανύξαι αὐτοῦ τοὺς ὀφθαλμοὺς καὶ ποιῆσαι τυφλὸν, τὸν δὲ Δία δωρήσασθαι αὐτῷ τὴν μαντικὴν, καὶ βιοῦν ἐπὶ γενεὰς ἑπτά.

34.

Οἱ αὐτοὶ ἱστοροῦσι, κατὰ τὴν Λαπιθῶν χώραν γενέσθαι Ἐλάτῳ τῷ βασιλεῖ θυγατέρα, ὀνομαζομένην Καινίδα· ταύτῃ δὲ Ποσειδῶνα μιγέντα ἐπαγγείλασθαι ποιήσειν αὐτὴν ὃ ἂν ἐθέλῃ, τὴν δὲ ἀξιῶσαι μεταλλάξαι αὐτὴν εἰς ἄνδρα, ποιῆσαί τε ἄτρωτον. Τοῦ δὲ Ποσειδῶνος κατὰ τὸ ἀξιωθὲν ποιήσαντος, μετονομασθῆναι Καινέα.

35.

Καὶ ἐν Ἀντιοχείᾳ δὲ τῇ πρὸς Μαιάνδρῳ ποταμῷ ἐγένετο ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Ἀντιπάτρου, ὑπατευόντων ἐν Ῥώμῃ Μάρκου Βινικίου καὶ Τίτου Στατιλίου Ταύρου, τοῦ Κουρβίνου ἐπικληθέντος. Παρ-

---

cessit lupus, quem quum videret Publius, de quercu descendit et supinus concidit. Lupus autem eum laniavit et voravit, omnibus videntibus: quumque, præter caput, omnia consumpsisset, montem petiit. Porro turba accedente, et reliquias tollere ac sepelire, uti leges jubebant, volente; caput, humi jacens, hoc carmen pronunciavit:

> Non continge caput nostrum; fas non sinit illos,
> Quos animo infenso Jovis odit filia Pallas,
> Contrectare caput sacrum: tu tangere cessa,
> Et, quæ vera canam tibi nunc, oracula serva.
> Dirus in has mittet Mars agmina fortia terras,
> Qui nigrum armatas turbas demittet ad Orcum;
> Prosternetque solo turres, et mœnia longa:
> Nostras divitias, teneram et cum conjuge prolem
> Abripiens, Asiæ vehet ille per æquor in oras.
> Hæc tibi fata canit veracia Phœbus Apollo
> Pythius: is forti misso me, crede, ministro
> Ad sedes duxit, quas obtinuere beati,
> Qua manes inter Proserpina candida regnat.

Quod quum audivisset multitudo, non leviter perturbata, fanum posuerunt Apollini Lycio sive Lupino, aramque eo loco, ubi caput jacebat. Tum, navibus conscensis, domum quisque suam navigarunt. Ceterum evenerunt omnia, quæ erant a Publio prædicta.

33.

Hesiodus, Dicæarchus, Clearchus, Callimachus, aliique nonnulli, de Tiresia hæc narrant. Tiresiam, Eueris filium, in Arcadia quum esset mas in monte Cyllene, serpentum, quos coire videbat, alterum vulnerasse: illicoque, mutato sexu, in feminam mutatum esse, ac cum viro concubuisse. Monitum autem oraculo Apollinis, ut, quum coeuntes serpentes iterum deprehendisset, alterum itidem sauciaret, ita enim in pristinum sexum rediturum, observata opportunitate, consilio dei fuisse obsecutum, itaque recuperasse pristinam naturam. Porro Jove cum Junone altercante, illoque contendente, plus voluptatis e re venerea feminas percipere quam viros, Junone contrarium asserente; placuisse ut accitus ea de re pronunciaret Tiresias, utpote utrumque sexum expertus. Hunc interrogatum respondisse, decem in partes voluptate illa divisa, unam viro, mulieri novem obtingere. Junonem iratam eum oculis confossis excæcasse; Jovem ei vaticinandi artem dono dedisse, et vitam septem seculorum.

34.

Iidem perhibent, apud Lapithas Elato regi filiam fuisse, nomine Cænidem: cum hac Neptunum congressum, promisisse, facturum se ei quodcumque vellet: ipsam petiisse, ut ab eo in virum mutaretur, fieretque invulnerabilis; præstitisse id Neptunum, nomenque viro Cæneus factum.

35.

Antiochiæ etiam, quæ est ad Mæandrum sita, homo mixto sexu, quem androgynum appellant, fuit, archonte Athenis Antipatro, Romæ M. Vinicio, et T. (*deb.* M.) Sta-

θένος γὰρ γονέων ἐπισήμων τρισκαιδεκαέτης ὑπάρχουσα ὑπὸ πολλῶν ἐμνηστεύετο, οὖσα εὐπρεπής. Ὡς δ' ἐνεγγυήθη ᾧ οἱ γονεῖς ἐβούλοντο, ἐνστάσης τῆς ἡμέρας τοῦ γάμου, προϊέναι τοῦ οἴκου μέλλουσα αἰφνιδίως πόνου ἐμπεσόντος αὐτῇ σφοδροτάτου ἐξεβόησεν· ἀναλαβόντες δὲ αὐτὴν οἱ προσήκοντες ἐθεράπευον, ὡς ἀλγήματα ἔχουσαν κοιλίας καὶ στρόφους τῶν ἐντός· τῆς δὲ ἀλγηδόνος ἐπιμενούσης τρισὶν ἡμέραις ἑξῆς, ἀπορίαν τε πᾶσι τοῦ πάθους ποιοῦντος, τῶν πόνων οὔτε νυκτὸς οὔτε ἡμέρας ἔνδοσιν λαμβανόντων, καίτοι πᾶσαν μὲν θεραπείαν αὐτῇ προσφερόντων τῶν ἐν τῇ πόλει ἰατρῶν, μηδεμίαν δὲ τοῦ πάθους δυναμένων αἰτίαν εὑρεῖν, τῇ τετάρτῃ τῶν ἡμερῶν περὶ τὸν ὄρθρον μείζονα τῶν πόνων ἐπίδοσιν λαμβανόντων, σὺν μεγάλῃ οἰμωγῇ ἀνακραγούσης, ἄφνω αὐτῇ ἀρσενικὰ μόρια προέπεσε, καὶ ἡ κόρη ἀνὴρ ἐγένετο. Μετὰ δὲ χρόνον εἰς Ῥώμην ἀνηνέχθη πρὸς Κλαύδιον Καίσαρα, ὁ δὲ τούτου ἕνεκα τοῦ σημείου ἐν Καπετωλίῳ Διὶ Ἀλεξικάκῳ ἱδρύσατο βωμόν.

36.

Ἐγένετο καὶ ἐν Μηουανίᾳ, πόλει τῆς Ἰταλίας, ἐν Ἀγριππίνης τῆς Σεβαστῆς ἐπαύλει ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησι Διονυσοδώρου, ὑπατευόντων ἐν Ῥώμῃ Δέκμου Ἰουνίου Σιλανοῦ Τορκουάτου καὶ Κοίντου Ἀτερίου Ἀντωνίνου. Φιλωτὶς γάρ τις ὀνόματι παρθένος, Σμυρναία τὸ γένος, ὡραία πρὸς γάμον ὑπὸ τῶν γονέων κατεγγεγυημένη ἀνδρὶ, μορίων αὐτῇ προφανέντων ἀρρενικῶν ἀνὴρ ἐγένετο.

37.

Καὶ ἄλλος δέ τις ἀνδρόγυνος κατὰ τοὺς αὐτοὺς χρόνους ἐγένετο ἐν Ἐπιδαύρῳ, γονέων ἀπόρων παῖς, ὃς ἐκαλεῖτο πρότερον Συμφέρουσα, ἀνὴρ δὲ γενόμενος ὠνομάζετο Συμφέρων, κηπουρῶν δὲ τὸν βίον διῆγεν.

38.

Καὶ ἐς Λαοδίκειαν δὲ τῆς Συρίας γυνὴ, ὀνόματι Αἰτητὴ, συνοικοῦσα τῷ ἀνδρὶ ἔτι μετέβαλε τὴν μορφὴν καὶ μετωνομάσθη Αἰτητὸς ἀνὴρ γενόμενος, ἄρχοντος Ἀθήνησι Μακρίνου, ὑπατευόντων ἐν Ῥώμῃ Λουκίου Λαμία καὶ Αἰλιανοῦ Οὐέτερος (l. Λουκίου Αἰμυλίου Αἰλιανοῦ καὶ [Λουκίου Ἀντιστίου] Οὐέτερος). Τοῦτον καὶ αὐτὸς ἐθεασάμην.

39.

Ἐγεννήθη καὶ ἐπὶ Ῥώμης ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Ἰάσονος, ὑπατευόντων ἐν Ῥώμῃ Μάρκου Πλαυτίου καὶ Σέξτου Καρμινίου, ** (1) Ὑψαίου καὶ Μάρκου Φουλβίου Φλάκκου· δι' ἣν αἰτίαν ἡ σύγκλητος ἐκέλευσεν τοὺς ἱερομνήμονας ἀναγνῶναι τοὺς Σιβύλλης χρησμοὺς, καὶ ἐξηγήσαντο τοὺς χρησμούς. Εἰσὶν δὲ οἱ χρησμοὶ οἵδε·

(1) « Recte Meursius intellexit duas historias diversas in unam coaluisse. Scribi vult Μάρκου Πλαυτίου καὶ Σεντίου Αὐγουρίνου ex fast. cons. s. a. 909. 157 ; sed ibi legitur *M. Celonius Silvanus C. Serius Augurinus*. Fort. pertinent hæc ad a. 751. 2, ubi in fast. *M. Plautius M. f. A. n. Silvanus. L. Caninius Gallus*, ut scribendum sit Μάρκου Πλαυτίου καὶ Λουκίου Κανινίου. Deinde excidit præter alia nomen archontis Attici et consulis prænomen atque nomen Μάρκου Πλαυτίου. Namque in fast. ad a. 628. 125. *M. Plautius Hypsæus. M. Fulvius M. f. Q. n. Flaccus*. Ὑψαίου restituit Meurs., vulg. Μάρκου Πλατίου καὶ Σέξτου Καρμινίου, Υἱαίου, καὶ Μ. Φ. Φ. « Westerm. Carmen cum Westermanno intactum fere relinquimus. « Ego ita verti, ut qui in nugis difficilibus nugari libere statuissem. » Xylander.

---

tilio Tauro, cui Corvini cognomentum fuit, consulibus (an. 797 a. U; 45 p. C.). Etenim virgo quædam, parentibus nata illustribus, quum annorum esset tredecim, multis procis petita ob pulchritudinem, postquam de parentum sententia desponsata esset, nuptiarum die appetente domo progressura, subito dolore vehementissimo correpta exclamavit. Domestici eam reductam in ædes ita curaverunt, ut quæ doloribus ventris et conversionibus intestinorum laboraret. Sed dolore per triduum continuum permanente, omnibusque eum ob casum anxiis, cruciatibus neque interdiu neque noctu remittentibus, quum omnes ejus urbis medici ipsam curarent, nullam tamen affectus causam invenirent : quarta die sub auroram, intendentibus se acrius doloribus, puellaque magno cum ejulatu exclamante, subito virilia prodierunt, ac e virgine vir est factus : qui aliquanto post Romam fuit ad Claudium Cæsarem adductus : atque hic, prodigii illius causa, in Capitolio Jovi Averrunco aram posuit.

36.

Alius fuit Androgynus Mevaniæ, quæ est urbs Italiæ, in diversorio Agrippinæ Augustæ, præside Athenis Dionysodoro (Ol. 208,1. an. 805 a. U., 56 p C.), Romæ D. Junio Silano Torquato et Q. Haterio Antonino consulibus. Nam virgo quædam, Smyrnæ nata, Philotis nomine, quum matura viro nuptum tradita esset a parentibus, masculino enato membro, in virum abiit.

37.

Eodemque tempore Epidauri alius fuit androgynus, natus inopibus parentibus, cui nomen prius erat Sympherusa ; in virum autem mutatus, Sympheron cœpit vocari, vitamque colendis hortis trivit.

38.

Quin et Laodiceæ, quæ est in Syria, mulier Æteta nomine, etiamnum cum marito degens, e femina vir exstitit, cui nomen Ætetus : archonte Athenis Macrino, Romæ consulatum gerentibus Æmiliano Æliano et *L. Antistio* Vetere (an. 868 a. U., 116 p. C.). Hunc ipse quoque vidi.

39.

Fuit et Romæ androgynus, archonte Athenis Iasone ; Romæ M. Plautio et Sexto Carminio coss. ** Hypsæo ac M. Fulvio Flacco consulibus. Quam ob causam senatus jussit, a sacerdotibus Sibyllæ oracula recitari, atque exponi. Sunt autem hæc :

Ὅσσα τέρα καὶ ὅσσα παθήματα δαίμονος αἴσης
ἱστὸς ἐμὸς λύσει, τάδ' ἐνὶ φρεσὶν αἶκε νοήσῃς,
Ῥώμη ἐῇ πίσυνος· καί τοί ποτε φημὶ γυναῖκα
ἀνδρόγυνον τέξεσθαι ἔχοντά περ ἄρσενα πάντα,
νηπίαχοί θ' ὅσα θηλύτεραι φαίνουσι γυναῖκες.
Οὐκ ἔτι δὴ κρύψω, θυσίας δέ τοι ἐξαγορεύσω
προφρονέως Δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ.
Ἴστω δ' αὐτὴ ἄνασσα θεὰ, τὰ μὲν εἶκε πίθηαι
σεμνοτάτῃ Δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ.
Θησαυρὸν μὲν πρῶτα νομίσματος εἰς ἓν ἀθροίσας,
ὅττι θέλεις ἀπὸ παμφύλων πόλεών τε καὶ αὐτῶν (ἀστέων?),
μητρὶ Κόρης Δήμητρι κέλευ θυσίαν προτίθεσθαι.
Αὐτὰρ δημοσίᾳ κέλομαί σε τρὶς ἐννέα ταύρους
φανὰς ἠϋκέρους θυέμεν λευκότριχας, αἴ κεν
ὑμετέρᾳ γνώμῃ κάλλει προφερέστατα ὦσιν.
Παῖδας, ὅσας πάρος εἶπα, κέλευ Ἀχαϊστὶ τάδ' ἔρδειν
ἀθανάτην βασίλισσαν ἐπευχομένας θυέεσσιν
σεμνῶς καὶ καθαρῶς· τότε δὴ μετέπειτα δεχέσθω
ἔμπεδ' ἀφ' ὑμετέρων ἀλόχων ἱρ', αὐτὰρ ἐπ' αὐτοῖς
ἱστῷ ἐμῷ πίσυνοι λαμπρὸν φάος αἶδε φερόντων
σεμνοτάτῃ Δήμητρι, τὸ δεύτερον αὗται (αὐτὰ Xyl. αὖτε W.)
[λαβοῦσαι
τρὶς τόσα νήφαλα πάντα πυρὸς μαλεροῖο τιθέντων,
ὅσσαι ἐπισταμένως θυσίαν γραιαὶ προτίθενται.
Προφρονέως δ' ἄλλαι Πλουτωνίδι τόσσα λαβοῦσαι,
ὅσσαι ἐν ἡλικίῃ νεοθαλέα θυμὸν ἔχουσιν
νηπίαχοι, σεμνὴν Πλουτωνίδα παντοδίδακτον
ἐν πάτρᾳ εὐχέσθων μίμνειν πολέμου κρατέοντος,
λήθην Ἑλλήνεσσι πεσεῖν πόλεώς τε καὶ αὐτῆς.
Θησαυρὸν δ' ἕταροι καὶ παρθένοι ἔνθα φερόντων,
ἱστῷ θειοπαγεῖ νυμφάσματα ποικίλα σεμνὴν,
Πλούτωνι κοσμεῖτο ὅπως σχέσις ᾖσι κακοῖσι.
Προφρονέως δ' ὅτι κάλλιστον καὶ εὐκτὸν ἐπ' αἶαν
ὡς θνητοῖσιν ἰδέσθαι ἐπέπλετο, καὶ τὸ φέρεσθαι
ἱστῷ σύμμικτον δῶρον βασιληΐδι κούρῃ·
αὐτὰρ ὅτ' ἂν Δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ·
γαίας ὑμετέρας ἀπερυκέμεναι ζυγὸν αἰεὶ,
Αἰδώνῃ Πλούτωνι βοὸς κυανότριχος αἷμα,
λαμπροῖς εἵμασι κοσμητοὺς μετὰ ποιμένος, ὅστις
ἡματίῳ πίσυνος βοὸς ἄρτεμος αὐτὸς ὁ δ' ἔσται
ὅσσοι τ' ἄλλοι ὁμοῦ πίσυνοι κατὰ πατρίδ' ἔασι·
μὴ γὰρ ἀπιστόφιλος θυσίαισιν ἀνὴρ παρεπέσθω·
ἔξω δ' ἔνθα νομιστὸν ἐπέπλετο φωτὶ τάδ' ἔρδειν,
νούπιστοι καταδαιτὸν ἔχειν θυσίαν, κατὰ δ' αὐτὴν
ὅστις ἂν ἡμετέρων χρησμῶν ἴδρις ἐς τόδ' ἵκηται
σεμνὸν Φοῖβον ἄνακτα μετελθέτω ἐν θυσίαισι,
προφρονέως βωμοῖς ἐπὶ πίονα μηρία καύσας,
αἰγῶν παλλεύκων νεάτην· ἀτὰρ οἴδατε πάντες,
λισσέσθω Φοῖβον παιήονα κρᾶτα πυκάσσας,
ἱκτῆρες πίπτοντες ὅπως λύσις ᾖσι κάκοιο·
νοστήσας δ' ἀπὸ τοῦ βασιληΐδα πότνιαν Ἥρην,
ἀργὴν βοῦν θύων πατρίοισι νόμοισι κατ' αἶσαν,
ὑμνεῖν αἶκε γένει προφερέστεραι ὥσ' ἐνὶ λαοῖς,
καὶ νήσων ναίεται τὴν ἀντιπάλων (τῶν ἀγχιάλων?) ὅτ' ἂν
αἶαν (εἶεν?)·
οὐ δόλῳ, ἀλλὰ βίᾳ Κυμαΐδα πρόφρονες αὗται,
νάσσωνται σεμνῆς βασιληΐδος οἷς ἐτίθενται,
ἐν πατρίοισι νόμοις Ἥρας ξόανόν τε κατ' οἶκον,
ἵξει δ' ἂν μύθοισιν ἐμοῖς τάδε πάντα τίθηνται,
σεμνοτάτην βασίλισσαν ἐπέλθῃς ἐν θυσίαισιν·
ἐν πολλῷ χρόνῳ αὖ τότ' ἐφ' ὕστερον ὅς κεν ἐπ' αὐτοῖς
νήφαλά κεν ῥέξας ὅσαι ἡμέραι εἰς ἐνιαυτόν.
Ὅς κε τάδε ῥέξει, κείνου κράτος ἔσσεται αἰεί.
Νηφαλίμων ἀρνῶν τε ταμὼν χθονίοις τάδε ῥέξον,
ἦμος ἂν ἤδη ἔχοις μεγαλήτην οὐκ ἀπάντη
ξεστοδόταν ξοάνησιν καὶ τἄλλ' ὅς ἐλεξασαφι,
ἐν πετάλοισιν ἐμοῖς ὑπὸ κερκίδος ἀμφὶ καλύπτρας
ἵμερτός σε βάλεν γλαυκῆς ἐλάας πολυκάρπου,

Omnia prodigia et fatales ordine casus
Tela mea expediet, si condita mente tenebis,
Roma mihi parens. Nam partum femina quondam
Ancipitis sexus edet, cui nulla virilis
Membra absint sexus: sed et omnia protinus adsint
Conspicienda, gerunt quæ prima ætate puellæ.
Disce quibus jam tunc operandum sit tibi sacris
Et Cereri et natæ Cereris: num dicta facessas,
Ipsa mihi testis fuerit regina monenti.
Persephonæ in primis castæ, et Cereri venerandæ,
Thesaurum ex multis cura componere nummis,
Sive voles ex omnigenis hunc urbibus auctum,
Hunc Cereri sacrum pones, propriumque dicabis.
Hinc coram populo novies ter ducere vaccas
Pulchras, cornutas, nitidas candore pilorum,
Et quas vos cunctis forma præstare putetis.
Et totidem ritu peragant hæc sacra Pelasgo,
Reginam leti exsortem celebrentque puellæ
Et pure et caste. Nec non uxoribus inde
A vestris stabiles divæ exhibeantur honores,
Hæ, telæ rursus nostræ concepta tenentes,
Magnificæ Cereri splendentia lumina gestent:
Ter totidem jactentque in flammas sobria sacra,
Quæ ritus vetulæ norunt, formamque sacrorum.
Ast aliæ totidem Plutonidi munera mittant,
Quarum ætas tenera, et gravibus mens libera curis.
Et venerandam orent Hecaten, ac cuncta scientem,
Ut surgente domi maneat dea maxima bello,
Ne patriæ atque sui Græcos oblivio tangat.
Inde ferant alii gazam, junctæ hisque puellæ,
Licia divino varia et circumdata malo,
His exornatus compescat uti mala Pluto.
Tum quod præ cunctis pulchrum atque optabile tellus
Educat, id malo cunctum, textoque feratur
Munus reginæ, Cerere est quæ nata puellæ.
Jamque deas, ut servitii miseranda precatus
Avertant patria vestra juga: sanguine nigro
Plutoni Diti tum cærulei bovis, omnes
Vestibus ornatos nitidis, et pastor ut adsit
Ipse bovis ductor, nec non alii quoque vestra
Parentes nutrit quos patria religioni.
Nemo etenim sacris incredulus impius adsit.
Turba profana foras, divûm decedite templis.
Tractent sacra pii, et qui nostra oracula callent,
Hi Clario caste sacris operentur, et aris
Pinguia caprarum candentum sumina ponant,
Velatoque deum capite ante altaria proni
Suppliciter pacem Pæeona poscite votis.
Hinc regina deûm Juno placanda precando.
Vacca tibi ritu patrio mactabitur alba,
Matronæque canant illam, celebrentque tuarum
Præcipuæ, et si quas medio tenet insula ponto.
Non astu, sed vi Cumanam quippe coactam
Illæ habitant terram, venerandæ patria quarum
Reginæ Junonis habet sculptum simulacrum.
Ipsa aderit; si nostra illam præcepta secutus,
Rite coles a me monstratis jam tibi sacris,
Insuper agnorum quoque sobria sacra quotannis
Exhibeas, luces anni totius in omnes,
Manibus assidua cum religione deinceps.
Sic tibi propitiam divam facilemque tenebis:
Cetera sub radiis velo occultata videbis
In foliis nostris * * *
Te desiderium quia dulce feracis olivæ
Corripuit, folia accipies medicamen ab illa
Dum mala felici decedant tristia fine.

ἀγλαὰ φύλλα λαβοῦσα λύσιν κακοῦ ἦμος ἂν ἔλθῃ
ὕμμι χρόνος μάλα κεῖνος, ἐν ᾧ ποτε τἄλλα νεόγνη·
τρωσδῆτε παύσει σε κακῶν., ἅμα δ' Ἑλλάδος ἐκ γῆς·
αὐτὰρ σοῦ μεταβᾶσαν ἐποτρύνεις ἀγορεῦσαι.

40.

Ἐν δὲ Μεσσήνῃ οὐ πρὸ πολλῶν ἐτῶν, ὥς φησιν Ἀπολλώνιος, συνέβη πίθον λίθῳ πεποιημένον ῥαγῆναι χειμώνων βίᾳ καὶ ὕδατος πολλοῦ ἐπενεχθέντος, προχυθῆναι δὲ αὐτοῦ κεφαλὴν τριπλασίαν τῆς ἀνθρωπίνης· τοὺς δὲ ὀδόντας ἔχειν διστοίχους· ἀναζητούντων δὲ τίνος εἴη ἡ κεφαλὴ, δηλῶσαι τὴν ἐπιγραφήν· « Ἴδεω » γὰρ ἐγκεχάρακτο. Ἕτερον οὖν δημοσίᾳ κατασκευάσαντες πίθον ἐνέθεσαν καὶ ἀσφαλέστερον ἐκήδευσαν τὸν ἥρωα οἱ Μεσσήνιοι, τοῦτον ἰδόντες ὄντα, περὶ οὗ φησιν Ὅμηρος·

Ἴδεω θ' ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν,
τῶν τότε· καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον
Φοίβου Ἀπόλλωνος, καλλισφύρου εἵνεκα νύμφης.

41.

Ἐν Δαλματίᾳ τε ἐν τῷ τῆς Ἀρτέμιδος καλουμένῳ σπηλαίῳ ἔστιν ἰδεῖν πολλὰ σώματα, ὧν τὰ τῆς πλευρᾶς ὀστᾶ ὑπερβάλλει ἑκκαίδεκα πήχεις.

42.

Ἀπολλώνιος δὲ ὁ γραμματικὸς ἱστορεῖ, ἐπὶ Τιβερίου Νέρωνος σεισμὸν γεγενῆσθαι καὶ πολλὰς καὶ ὀνομαστὰς πόλεις τῆς Ἀσίας ἄρδην ἀφανισθῆναι, ἃς ὕστερον ὁ Τιβέριος οἰκείᾳ δαπάνῃ πάλιν ἀνώρθωσεν. Ἀνθ' ὧν κολοσσόν τε αὐτῷ κατασκευάσαντες ἀνέθεσαν παρὰ τῷ τῆς Ἀφροδίτης ἱερῷ, ὅ ἐστιν ἐν τῇ Ῥωμαίων ἀγορᾷ, καὶ τῶν πόλεων ἑκάστης ἐφεξῆς ἀνδριάντας παρέστησαν.

43.

Ἔπαθον δὲ καὶ τῆς Σικελίας ὑπὸ τοῦ σεισμοῦ οὐκ ὀλίγαι πόλεις καὶ τὰ πλησίον Ῥηγίου. Ἐσείσθη δὲ οὐκ ὀλίγα καὶ τῶν ἐν Πόντῳ ἐθνῶν. Κατὰ δὴ τῆς γῆς τὰς διαστάσεις ἐφάνη σωμάτων μεγέθη, ἃ ἐκπλαγέντες οἱ ἐπιχώριοι κινῆσαι μὲν ὤκνησαν, δείγματος δ' ἕνεκεν ἔπεμψαν εἰς τὴν Ῥώμην ὀδόντα ἑνὸς, οὐ ποδιαῖον μόνον, ἀλλ' ὑπερβάλλοντα καὶ τοῦτο τὸ μέτρον. Ἐπιδείξαντες δὲ Τιβερίῳ οἱ πρέσβεις εἴροντο, εἰ βούλεται κομισθῆναι τὸν ἥρω πρὸς αὐτόν. Ὁ δὲ πρὸς ταῦτα ἐμφρόνως ἐβουλεύσατο, μήτε τῆς γνώσεως τοῦ μεγέθους ἑαυτὸν ἀποστερήσας, τό τε ἀνόσιον τῆς νεκροσυλίας παραιτησάμενος. Γεωμέτρην γάρ τινα τῶν οὐκ ἀφανῶν, Ποῦλχρον ὀνόματι, τιμώμενον ὑπ' αὐτοῦ διὰ τὴν τέχνην, καλέσας πρόσωπον ἐκέλευσε πλάσαι πρὸς τὸ μέγεθος τοῦ ὀδόντος. Ὁ δὲ σταθμησάμενος, ἡλίκον ἂν γένοιτο τό τε σύμπαν σῶμα καὶ τὸ πρόσωπον αὐτοῦ τῷ τοῦ ὀδόντος ὄγκῳ, ἐργασάμενος διὰ ταχέων ἐκόμισε τῷ αὐτοκράτορι. Κἀκεῖνος εἰπὼν ἀρκεῖσθαι τῇ θέᾳ ταύτῃ, ἀποπέμπει τὸν ὀδόντα ἐκεῖσε ὅθεν καὶ ἐκομίσθη.

44.

Οὐ χρὴ δὲ ἀπιστεῖν τῷ εἰρημένῳ, ἐπεὶ καὶ τῆς Αἰ-

Exoptata dies vobis, votisque petita
Quæ solvat tandem ærumnis, reddatque quietem.
Hæc tu me terris excitam fata Pelasgis
Eventura tibi quondam prædicere cogis.

40.

Messenæ ante annos non multos, ut Apollonius auctor est, dolium ex lapide confectum, vi tempestatum et alluvione copiosæ aquæ, ruptum est; et ex eo dolio effusum caput, triplæ ad humanum quantitatis, duos habens dentium ordines. Quum vero quæreretur cujus id fuisset: inscriptio id manifestavit. Erat enim inscriptum, ΙΔΕΩ, Idæ. Publico itaque sumptu aliud dolium Messenii curaverunt, inque id caput reposuerunt: atque accuratius herois ejus reliquias coluerunt, quum viderent hunc esse, de quo Homerus (Il. 9, 558) ita scripsit:

Idæ, mortales valido qui robore cunctos
Tempestate illa superavit: quique decoram
Ob sponsam, rigidum tulit imperterritus arcum,
Aggressus telis magno contendere Phœbo.

41.

In Dalmatia quoque, in spelunca quæ Dianæ dicitur, videre licet multa corpora, quorum costæ sedecim ulnas excedunt.

42.

Apollonius grammaticus narrat, Tib. Neronis ætate terræ motum fuisse, quo multæ ac celebres Asiæ urbes funditus deletæ sint, quas deinde Tiberius suo sumptu instauravit. Propter quod beneficium Asiani colossum ei confecerunt, ac posuerunt in foro Romano, pone fanum Veneris, et singularum deinceps urbium statuas subjunxerunt.

43.

Sed et Siciliæ non paucæ numero urbes eo terræ motu afflictæ fuerunt, et loca Rhegio vicina: et Ponticæ eum non paucæ gentes senserunt. Enimvero quibus locis terra a se divulsa fuit, ingentia sunt reperta cadavera, quorum magnitudine stupefacti incolæ, non ausi ea loco movere, indicii causa Romam miserunt dentem uni exemptum, qui pedis mensuram non attigit modo, sed etiam superavit: quem legati Tiberio ostendentes, simul etiam quæsiverunt, velletne ad se heroem, cujus is fuerat, afferri? Ibi Tiberius prudenter consilium eo direxit, ut neque cognitione magnitudinis se ipsum privaret, et spoliandorum cadaverum flagitium evitaret. Insignem quendam geometram, nomine Pulchrum, quem ob artem apud se honorifice habebat, accitum, faciem jussit fingere, proportione denti respondentem. Qui dimensus, dentis quantitate perspecta, quanta facies, et quæ totius corporis moles futura esset, celeriter opus absolvit, et ad imperatorem attulit, isque sufficere sibi hoc spectaculum dicens, dentem eo unde erat allatus remisit.

44.

Neque est huic fides deroganda narrationi, quum in Ægypto

γύπτου Λίτραι εἰσὶν τόπος, ἐν αἷς δείκνυται σώματα οὐκ ἐλάττω τούτων, οὐ κεκρυμμένα γῇ, ἀλλ' ἐμφανῆ ἀφειμένα, οὔτε συγκέχυται οὔτε συμπεφόρηται, ἀλλ' ἐν τάξει κεῖται, ὡς γνωρίσαι προσελθόντα τοῦτο μὲν μηρῶν ὀστᾶ, τοῦτο δὲ κνημῶν καὶ τῶν ἄλλων μελῶν. Διὸ οὐ χρὴ οὐδὲ τούτοις ἀπιστεῖν, ἐννοουμένους ὅτι κατ' ἀρχὰς μὲν ἡ φύσις ἀκμάζουσα ἅπαντα ἐγγὺς θεῶν ἐκουροτρόφει, μαραινομένου δὲ τοῦ χρόνου, συμμεμάρανται καὶ τὰ μεγέθη τῶν φύσεων.

45.

Καὶ τὰ ἐν τῇ Ῥόδῳ δὲ παρειλήφαμεν ὀστᾶ τηλικαῦτα τὸ μέγεθος, ὡς παραβαλλομένους τοὺς νῦν ἀνθρώπους πολὺ καταδεεστέρους εἶναι.

46.

Ὁ δὲ αὐτός φησιν, πλησίον Ἀθηνῶν νῆσόν τινα εἶναι, ταύτην δὴ τοὺς Ἀθηναίους βούλεσθαι τειχίσαι· σκάπτοντας οὖν τοὺς θεμελίους τῶν τοίχων εὑρεῖν σορὸν ἑκατὸν πηχῶν, ἐν ᾗ εἶναι σκελετὸν ἴσον τῇ σορῷ, ἐφ' ἧς ἐπιγέγραπται τάδε·

Τέθαμμ' ὁ Μακρόσειρις ἐν νήσῳ μακρᾷ,
ἔτη βιώσας πεντάκις τὰ χίλια.

47.

Εὔμαχος δέ φησιν ἐν Περιηγήσει, Καρχηδονίους περιταφρεύοντας τὴν ἰδίαν ἐπαρχίαν εὑρεῖν ὀρύσσοντας δύο σκελετοὺς ἐν σοροῖς κειμένους, ὧν τοῦ μὲν εἰκοσιτέσσαρας εἶναι πήχεις τὴν σύνθεσιν, τοῦ δὲ ἑτέρου εἰκοσιτρεῖς.

48.

Θεόπομπος δέ φησιν ὁ Σινωπεὺς ἐν τῷ Περὶ σεισμῶν, ἐν τῷ Κιμμερικῷ Βοσπόρῳ αἰφνιδίως σεισμοῦ γενομένου, τὸν παρ' αὐτοῖς τινα ἀναρραγῆναι λόφον καὶ ἀναβαλεῖν ὀστᾶ ὑπερμεγέθη, ὥστε τὴν σύνθεσιν τοῦ σκελετοῦ πηχῶν εὑρεθῆναι εἰκοσιτεσσάρων. Ταῦτα δέ φησιν τὰ ὀστᾶ τοὺς περιοικοῦντας βαρβάρους εἰς τὴν Μαιῶτιν ῥίψαι λίμνην.

49.

Παιδίον πρὸς Νέρωνα ἐκομίσθη τετρακέφαλον, ἀνάλογα ἔχον καὶ τὰ ἄλλα μέλη, ἄρχοντος Ἀθήνησι Θρασύλλου, ὑπατευόντων ἐν Ῥώμῃ Ποπλίου Πετρωνίου Τουρπιλιανοῦ καὶ Καισωνίου Παίτου.

50.

Καὶ ἕτερον ἐγεννήθη ἐπὶ τοῦ ἀριστεροῦ ὤμου κεφαλὴν ἐκπεφυκυῖαν ἔχον.

51.

Ἐγένετο σημεῖον παράδοξον ἐπὶ Ῥώμης, ἄρχοντος Ἀθήνησι Δεινοφίλου, ὑπατευόντων ἐν Ῥώμῃ Κοΐντου Οὐηρανίου καὶ Γναίου Πομπηίου Γάλλου. Ῥαικίου γὰρ Ταύρου, ἀνδρὸς στρατηγικοῦ, τῆς γυναικὸς θεράπαινα τῶν τετιμημένων ἀπεκύησε πίθηκον.

52.

Κορνηλίου Γαλλικανοῦ ἡ γυνὴ παιδίον ἔτεκε, κεφαλὴν ἔχον Ἀνούβιδος ἐπὶ Ῥώμης, ἄρχοντος Ἀθήνησιν Δημοστράτου, ὑπατευόντων ἐν Ῥώμῃ Αὔλου

---

quoque locus sit, Litræ appellatus, ubi corpora istis non minora ostenduntur, non obruta terra, sed in conspectu posita : neque confusa aut conturbata ea, sed ordine suo collocata : ut, qui accedit, cognoscere possit, quæ femorum ossa sint, quæ crurum aut aliorum membrorum. Itaque ne hæc quidem aliena a vero putanda : sed cogitandum est quod initio natura, vigens viribus, omnia deorum naturæ æmula educavit; successu autem temporis, quum emarcesceret, naturarum quoque quantitates decreverunt.

45.

Sed et Rhodi accepimus ossa tanta esse, ut comparati cum iis nostri homines sint multo minores.

46.

Idem ait, prope Athenas insulam esse quandam, quam Athenienses quum vellent muris munire, dum foderent fundamenta, invenerint sepulcrum longitudine centum cubitorum, atque intus cadaver, ad ossa usque absumptum, cum inscriptione :

Sepultus ego Macrosiris in longa insula
Vitæ peractis annis mille quinquies.

47.

Eumachus in Periegesi seu Orbis terrarum enarratione, scribit, Carthaginenses, quum circum suam provinciam agerent fossam, dum terram exhauriunt, incidisse in duo ossea cadavera, condita arcis : quorum alterius compages longa fuerit viginti quattuor cubitos, alterius viginti tres.

48.

Theopompus Sinopensis in libro De terræ motibus scribit, in Bosporo Cimmerio subita terræ concussione quendam colliculum dissiluisse, ejectaque ingentia fuisse ossa, ita ut compage eorum in morem humani corporis composita, longa ea fuerit viginti quattuor cubitos; aitque circum accolentes barbaros ossa ea in Mæotidem abjecisse paludem.

49.

Ad Neronem allatus est infans quadriceps, respondentibus proportione etiam ceteris membris, Athenis præfecto Thrasyllo, Romæ P. (*deb.* C.) Petronio Turpiliano et C. Cæsonio Pæto (813 a. U., 61 p. C.) consulibus.

50.

Natus est et alius, caput habens e sinistro enatum humero.

51.

Athenis præfecto Dinophilo, Romæ Q. Veranio et Cn. Pompeio Gallo consulibus (801 a. C. 49 p. C.), Ræcii Tauri, viri prætorii, uxoris ancilla Romæ simiam peperit.

52.

Cornelii Gallicani uxor Romæ infantem partu edidit, capite Anubidis, Athenis præside Demostrato, Romæ A.

Λικιννίου Νερούα Σιλανιανοῦ καὶ Μάρκου Οὐεστίνου Ἀττικοῦ.

53.

Γυνὴ ἀπὸ πόλεως Τριδέντου τῆς Ἰταλίας ἀπεκύησεν ὄφεις ἐσφαιρωμένους, ὑπατευόντων ἐν Ῥώμῃ Δομετιανοῦ Καίσαρος τὸ ἔνατον καὶ Πετιλίου Ῥούφου τὸ δεύτερον, ἐν Ἀθήναις ἀναρχίας οὔσης.

54.

Ἐν Ῥώμῃ δικέφαλόν τις ἀπεκύησεν ἔμβρυον, ὃ ὑποθήκαις τῶν θυοσκόων εἰς τὸν Τίβεριν ποταμὸν ἐνεβλήθη, ἄρχοντος Ἀθήνησιν Ἀδριανοῦ τοῦ αὐτοκράτορος γενομένου, ὑπατευόντων ἐν Ῥώμῃ αὐτοκράτορος Τραϊανοῦ τὸ ἕκτον καὶ Τίτου Σεξτίου Ἀφρικανοῦ.

55.

Δωρόθεος δέ φησιν ὁ ἰατρὸς ἐν Ὑπομνήμασιν, ἐν Ἀλεξανδρείᾳ τῇ κατ' Αἴγυπτον κίναιδον τεκεῖν, τὸ δὲ βρέφος ταριχευθὲν χάριν τοῦ παραδόξου φυλάττεσθαι.

56.

Ἐν Γερμανίᾳ ἐν τῷ στρατῷ τῶν Ῥωμαίων, ὃς ἦν ὑπὸ Τίτῳ Κουρτιλίῳ Μαγκίᾳ, τὸ αὐτὸ τοῦτο ἐγένετο. Δοῦλος γὰρ στρατιώτου ἔτεκεν, ἄρχοντος Ἀθήνησιν Κόνωνος, ὑπατευόντων ἐν Ῥώμῃ Κοΐντου Οὐλουσίου Σατορνίνου καὶ Ποπλίου Κορνηλίου Σκιπίωνος.

57.

Καὶ Ἀντίγονος δὲ ἱστορεῖ, ἐν Ἀλεξανδρείᾳ μίαν γυναῖκα ἐν τέτρασι τοκετοῖς εἴκοσι τεκεῖν καὶ τὰ πλεῖστα τούτων ἐκτραφῆναι.

58.

Καὶ ἑτέρα τις γυνὴ κατὰ τὴν αὐτὴν πόλιν πέντε ἐν ἑνὶ τοκετῷ ἀπεκύησε παῖδας, τρεῖς μὲν ἄρρενας, δύο δὲ θηλείας· οὓς αὐτοκράτωρ Τραϊανὸς (l. Ἀδριανὸς ex Dig. 34, 5, 8. *Meurs.*) ἐκέλευσεν ἐκ τῶν ἰδίων χρημάτων τρέφεσθαι· πάλιν δὲ μετ' ἐνιαυτὸν ἄλλα τρία ἡ αὐτὴ γυνὴ ἔτεκεν.

59.

Ἱππόστρατος δέ φησιν ἐν τῷ Περὶ Μίνω, Αἴγυπτον ἐκ μιᾶς γυναικὸς Εὐρυόπης τῆς Νείλου πεντήκοντα υἱοὺς γεννῆσαι.

60.

Δαναός τε ὁμοίως ἐκ μιᾶς γυναικὸς τῆς Νείλου Εὐρυόπης πεντήκοντα θυγατέρας ἔσχεν.

61.

Κρατερὸς δέ φησιν, ὁ Ἀντιγόνου τοῦ βασιλέως ἀδελφὸς, γινώσκειν τινὰ ἄνθρωπον, ὃν ἐν ἑπτὰ ἔτεσι παῖδα γενέσθαι καὶ μειράκιον καὶ ἄνδρα καὶ γέροντα καὶ γήμαντα καὶ παιδοποιησάμενον ἀποθανεῖν.

62.

Μεγασθένης δέ φησιν, τὰς ἐν Παλαίᾳ (l. Πανδαίᾳ) κατοικούσας γυναῖκας ἑξαετεῖς γινομένας τίκτειν.

63.

Εὑρέθη ἐν Σαύνῃ, τῆς Ἀραβίας πόλει, ἱπποκένταυρος

Licinio Nerva Silaniano (*Siliano*) et M. Vestino Attico consulibus (817 a. U., 65 p. C.).

53.

Mulier Tridenti urbe Italiæ nata, serpentes enixa est, globi in morem convolutos, Romæ Domitiano Cæsare IX et Petilio Rufo II consulibus, Athenis magistratu vacantibus (835 a. U, 83 p. C.).

54.

Romæ quædam bicipitem edidit fœtum, qui aruspicum jussu in Tiberim amnem est abjectus: Athenis præside Hadriano, qui deinde Imperator est factus; Romæ, Trajano imperatore VI et T. Sextio Africano consulibus (864 a. U., 112 p. C.).

55.

Dorotheus medicus in Commentarios suos retulit, Alexandriæ in Ægypto cinædum peperisse: fœtum conditum miraculi causa, asservari.

56.

In Germania, in exercitu Romano, quem T. Curtilius Mancias duxit, servus militis peperit: Athenis Conone præside, Romæ Q. Volusio Saturnino et P. Cornelio Scipione consulibus (808 a. U., 56 p. C.).

57.

Sed et Antigonus (*Mirab.* c. 110) narrat, Alexandriæ mulierem quandam quattuor partubus XX fœtus edidisse, quorum major pars enutrita sit.

58.

Eademque in urbe alia mulier quinque infantes una peperit, tres masculos, duas feminas, quos suis sumptibus ali jussit Trajanus (*Hadrianus*) imperator: eademque mulier, circumacto exinde anno, tres infantes peperit.

59.

Hippostratus in libello De Minoe, Ægyptum perhibet ex una uxore Euryopa, Nili filia, quinquaginta filios procreasse.

60.

Itemque Danaus ex unica Euryopa, Nili filia, quinquaginta tulit filias.

61.

Craterus, Antigoni regis frater, novisse se scribit quendam hominem, qui spatio septennii et puer fuerit, et adolescens et vir et senex, et uxorem duxerit et progenerata prole mortuus sit.

62.

Megasthenes auctor est, mulieres Pandææ habitantes, sex annos natas parere.

63.

Arabiæ urbs est Sauna. In ea inventus est hippocentaurus

ἐπὶ ὄρους μάλα ὑψηλοῦ, ὅ ἐστι γέμον φαρμάκου θανασίμου. Καλεῖται δὲ τὸ φάρμακον ὁμώνυμον τῇ πόλει, ὀξύτατον δὲ καὶ ἀνυτικώτατον τῶν ὀλεθρίων καθέστηκε. Τὸν δὲ ἱπποκένταυρον συλλαβὼν ὁ βασιλεὺς ζῶον ἀποπέμπει σὺν ἑτέροις δώροις πρὸς Καίσαρα εἰς τὴν Αἴγυπτον. Τροφὴ δὲ ἦν αὐτοῦ κρέα. Οὐ φέρων δὲ τὴν μεταβολὴν τοῦ ἀέρος τελευτᾷ, καὶ οὕτως ὁ ἔπαρχος τῆς Αἰγύπτου ταριχεύσας ἀπέστειλεν εἰς Ῥώμην. Καὶ πρῶτον ἐν τοῖς βασιλείοις ἀπεδείχθη, τὸ μὲν πρόσωπον ἀγριώτερον τοῦ ἀνθρωπίνου ἔχων, χεῖρας δὲ καὶ τοὺς τούτων δακτύλους τετριχωμένους, πλευρὰ δὲ συναφῆ τοῖς πρώτοις σκέλεσι καὶ τῇ γαστρί. Ὁπλαὶ δὲ ἦσαν αὐτῷ ἵππου στερεαὶ καὶ ἐπίξανθοι χαῖται, καίπερ ὑπὸ τῆς ταριχείας συμμελαινόμεναι τῷ δέρματι. Μέγεθος δὲ ἦν οὐχ οἷοίπερ οἱ γραφόμενοι, οὐδ' αὖ πάλιν μικρόν.

64.

Ἐν δὲ τῇ προειρημένῃ πόλει Σαύνῃ ἐλέγοντο καὶ ἕτεροι εἶναι ἱπποκένταυροι. Τὸν δὲ πεμφθέντα εἰς Ῥώμην εἴ τις ἀπιστεῖ, δύναται ἱστορῆσαι· ἀπόκειται γὰρ ἐν τοῖς ὁρίοις (ὅρτοις Xyl., ὁρείοις, *horreis*, Meurs., θησαυροῖς Bochart.) τοῦ αὐτοκράτορος τεταριχευμένος, ὡς προεῖπον.

E SCRIPTO INCERTO.

65.

Flav. Vopiscus in Saturnino init. : *Ac ne quis mihi Ægyptiorum irascatur, et meum esse credat quod in literas retuli, Adriani epistolam ex libris Phlegontis, liberti ejus, proditam, ex qua penitus Ægyptiorum vita detegitur, indidi :*

« Adrianus Aug. Serviano Cos. S. — Ægyptum quam mihi laudabas, Serviane carissime, totam didici, levem, pendulam et ad omnia famæ momenta volitantem. Illi qui Serapin colunt, Christiani sunt, et devoti sunt Serapi, qui se Christi episcopos dicunt. Nemo illic archisynagogus Judæorum, nemo Christianorum presbyter non mathematicus, non aruspex, non aliptes. Ipse ille patriarcha quum Ægyptum venerit, ab aliis Serapidem adorare, ab aliis cogitur Christum. Genus hominum seditiosissimum, vanissimum, injuriosissimum : civitas opulenta, dives, fecunda, in qua nemo vivat otiosus. Alii vitrum conflant; ab aliis charta conficitur; alii linyphiones sunt : omnes certe cujuscumque artis et videntur et habentur. Podagrosi quod agant habent : habent cæci quod faciant : ne chiragrici quidem apud eos otiosi vivunt. Unus illis deus est. Hunc Christiani, hunc Judæi, hunc omnes venerantur gentes. Et utinam melius esset morata civitas, digna profecto sui profunditate, quæ pro sui magnitudine totius Ægypti teneat principatum. Huic ego cuncta concessi, vetera privilegia reddidi, nova sic addidi, ut præsenti gratias agerent. Denique ut primum inde discessi, et in filium meum Verum multa dixerunt, et de Antonino quæ dixerunt, comperisse te credo. Nihil illis opto, nisi ut suis pullis alantur, quos quemadmodum fœcundant, pudet dicere. Calices tibi alassontes (versicolores) transmisi, quos mihi sacerdos templi obtulit, tibi et sorori meæ specialiter dedicatos, quos tu velim festis diebus conviviis adhibeas. Caveas tamen ne his Africanus noster indulgenter utatur. »

---

in monte admodum excelso, qui letali abundat veneno : cui veneno idem est cum urbe nomen. Omnium pestiferorum acutissimum atque efficacissimum. Hippocentaurum rex quum cepisset vivum, cum donis ad Cæsarem aliis in Ægyptum misit. Vescebatur carnibus : sed aeris mutati impatiens, mortuus est. Eum conditum præfectus Ægypti Romam misit; primumque in palatio est monstratus. Facies, quanquam humana, fuit ei truculentior : manus et earum digiti pilis intecti; latera ventri et prioribus pedibus contigua; ungulæ equinæ solidæ, juba subfulva, quanquam condimenta eam fere una cum cute nigram fecissent. Magnitudo, non quanta pingitur; non tamen exigua.

64.

Feruntur in nominata urbe etiam alii hippocentauri esse. Sed eum, qui Romam missus est, si quis non credit, videre potest. Repositus est enim in horreis Imperatoris, conditus, ut dixi.

CEPHALION.

Photius Bibl. cod. 68, p. 34 ed. Bekk. : Ἀνεγνώσθη Κεφαλίωνος (sic Bekk. Κεφαλαίωνος vulg.) σύντομον ἱστορικόν. Ἄρχεται ἀπὸ τῆς βασιλείας Νίνου καὶ Σεμιράμεως, καὶ κάτεισι μέχρι τῶν τοῦ βασιλέως Ἀλεξάνδρου χρόνων. Συμπεραίνεται δὲ αὐτοῦ ἡ ἱστορία ἐν λόγοις θ' κατ' ἐπωνυμίαν τῶν θ' Μουσῶν, Κλειοῦς, Θαλείας, Πολυμνίας, Μελπομένης, Τερψιχόρης, Εὐτέρπης, Καλλιόπης, Ἐρατοῦς, Οὐρανίης· ἐν ᾗ καὶ τὰ κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα διέξεισιν. Ἔστι δὲ τὴν φράσιν ἰωνίζων, καὶ τοῦ προσήκοντος πλέον τῇ συντομίᾳ ἀποχρώμενος, οὐδ' ἄλλο οὐδὲν ἄξιον θαυμάσαι καὶ ζηλῶσαι ἐνδεικνύμενος πλὴν τῆς κατὰ τὴν ἱστορίαν μαθήσεως. Οὗτος τὸ μὲν γένος αὐτοῦ καὶ πατρίδα, ὡς αὐτὸς ἐκεῖνός φησιν, ὥσπερ Ὅμηρος ἀποσιωπᾷ, ὅτι δὲ διατρίβων ἐν Σικελίᾳ φυγῆς ἕνεκα τὴν ἱστορίαν συνέταξεν, ἀποφαίνεται, τὸ μὲν ἀναγκαῖον, πατρίδα εἰπεῖν καὶ γένος, παρείς, τὸ δὲ καὶ μικροψυχίαν ἐμφαῖνον ἐν μνήμῃ πεποιηκώς. Καὶ τὸ ἐκ τόσων δὲ καὶ τόσων συνειλέχθαι αὐτῷ τὴν ἱστορίαν σεμνύνεσθαι οὐ πάνυ ψυχῆς τὸ μικρολόγον τε καὶ τὴν παιδαριώδη φιλοτιμίαν ἀποσειομένης ἀπόδειξις. Φησὶ δ' ὅμως τὸν πρῶτον αὐτῷ τῆς ἱστορίας συνειλέχθαι ἐκ λόγων μὲν φο', ὧν πατέρας λ' καὶ α' ἀπομνημονεύει· τὸν δὲ δεύτερον ἐκ βιβλίων ση', συγγραφέων δὲ κε'· καὶ τὸν τρίτον δὲ ἐκ βιβλίων μὲν χ', συγγραφέων δὲ κϛ'· τὸν μέντοι τέταρτον ἐκ βιβλίων μὲν ων', συγγραφέων δὲ λϐ'· καὶ τὸν πέμπτον δὲ ἐκ βιβλίων μὲν σ', συγγραφέων δὲ κϛ' (κα' vel κδ' cod. Ven.)· τὸν δὲ ἕκτον ἐκ βιβλίων μὲν **, συγγραφέων δὲ **· τὸν δὲ ἕβδομον ἐκ βιβλίων μὲν **, συγγραφέων δὲ **· τὸν δὲ ὄγδοον ἐκ βιβλίων μὲν **, συγγραφέων δὲ **, καὶ τὸν ἔνατον δὲ ἐκ βιβλίων μὲν **, συγγραφέων δὲ τριάκοντα· ἐν οἷς καὶ ἡ Κεφαλίωνος ἱστορία.

Idem cod. 70 (p. 35, a, 3), de Diodori Siculi Bibliotheca : Ἔστι δὲ πολλῷ πλατύτερος τοῦ Κεφαλίωνος, ἐν οἷς τοὺς αὐτοὺς χρόνους συμβαίνει αὐτοῖς ἀναγράφειν.

Idem cod. 161 (p. 104, b, 13), de Sopatris Eclogis : Δέκατος δὲ (λόγος) συνηθροίσθη ἔκ τε τῆς Κεφαλίωνος Ἐρατοῦς, διαλαμβανούσης τὰ κατὰ Ἀλέξανδρον.

Suidas : Κεφαλίων ἢ Κεφάλων, Γεργίθιος, ῥήτωρ καὶ ἱστορικὸς, γεγονὼς ἐπὶ Ἀδριανοῦ. Ἔφυγε δὲ τὴν πατρίδα δι' ἀπέχθειαν δυναστῶν, καὶ ἐβίω ἐν Σικελίᾳ. Ἔγραψε Παντοδαπὰς ἱστορίας ἐν βιβλίοις θ', ἅτινα ἐπιγράφει Μούσας, Ἰάδι διαλέκτῳ· Μελετάς τε ῥητορικὰς καὶ ἄλλα τινά (καὶ ἄλλα πολλά Eudocia p. 268).

Duos Cephaliones Suidas confundit, nostrum scilicet, qui patriam suam ambitiose celavit, et Cephalionem Gergithium, de quo vidimus supra p. 68 sqq. — De rhetoricis Cephalionis scriptis aliunde non constat. — In Musarum libris novem (quos Eusebius quoque inter fontes suos recenset in Chron. p. 195 ed. Mai.) auctor ab Assyriorum historia exorsus descendit usque ad mortem Alexandri; qui finis historiarum aptissimus est. Quodsi apud Photium in cod. 161 Cephalion res Alexandri in Erato (i. e. in libro VIII sec. cod. 68) narasse dicitur, quum idem in cod. 68 ad Uraniam, postremam Musarum, referatur, alterutro loco erratum est. Aut Erato pro Urania in cod. 161 posuit memoria lapsus; aut in cod. 68, Erato Musa collocanda est ultima. Lobeckius in Aglaophamo p. 997 utrumque locum conciliari inter se posse censuit, si Alexandri historiam libro octavo cœptam, nono absolutam esse statuamus. Id vero propterea minus est probabile, quod Photius de libro nono dicit : ἐν ᾗ καὶ τὰ κατὰ Ἀλέξανδρον, adeo ut ne nonus quidem liber Alexandri historia totus absumptus sit. — Num præterea peculiare De Alexandro opus Cephalion scripserit, idque ipsum inter libros, ex quibus Musa nona compacta sit, recensuerit, an de alio Cephalione cogitari præstet, tu videas.

Fragmenta quæ de Assyriorum historia servata habemus, multæ levitatis virum coarguunt. Reliqua pertinent ad Græcas fabulas, quas auctor in iisdem Musarum libris ἀμούσως sanequam interpretatus est. Cum Palæphato similibusque mythorum explicatoribus componitur apud Tzetzem in Exeg. Il. p. 4 : Κεφαλίων καὶ Παλαίφατος καὶ Δομνῖνος περὶ τῶν ἡρώων καὶ τεραστίων ῥητορικῶς ὡς ἐπὶ τὸ πλεῖστον, καὶ οὐ φυσικῶς ἢ μαθηματικῶς ἠλληγόρησαν. Idem ad Lycophr. v. 177 (p. 26) : Ἀλληγορεῖν ἐπιστάμεθα ὑπὲρ καὶ Παλαίφατον καὶ Δομνῖνον καὶ Κεφαλίωνα καὶ Ἡράκλειτον καὶ τοὺς ἄλλους.

ΙΣΤΟΡΙΑΙ

ΕΝ ΒΙΒΛΟΙΣ ΕΝΝΕΑ.

LIBER PRIMUS.

ΚΛΕΙΩ.

1.

Syncell. p. 167, A : Ὅτι δὲ ἀσυμφώνως οἱ τῶν Ἑλλήνων ἱστορικοὶ γεγράφασι περὶ τῶν χρόνων καὶ τῶν βασιλέων τούτων, παρέστω Κεφαλίων ἐπίσημος εἷς,

οὐχ ὁ τυχὼν, οὕτω φάσκων· « Ἄρχομαι γράφειν ἀφ' ὧν ἄλλοι τε ἐμνημόνευσαν καὶ τὰ πρῶτα Ἑλλάνικός τε ὁ Λέσβιος καὶ Κτησίης ὁ Κνίδιος, ἔπειτα Ἡρόδοτος ὁ Ἁλικαρνασεύς. Τὸ παλαιὸν τῆς Ἀσίας ἐβασίλευσαν Ἀσσύριοι, τῶν δὲ ὁ Βήλου Νίνος. » Εἶτ' ἐπάγει γένεσιν Σεμιράμεως καὶ Ζωροάστρου μάγου ἔτη τε νβ' τῆς Νίνου βασιλείας. Μεθ' ὃν Βαβυλῶνα, φησὶν, ἡ Σεμίραμις ἐτείχισε, τρόπον ὡς πολλοῖσι λέλεκται, Κτησίᾳ, Ζήνωνι (l. Δείνωνι), Ἡροδότῳ καὶ τοῖς μετ' αὐτούς· στρατείην τε αὐτῆς κατὰ τῶν Ἰνδῶν καὶ ἧτταν, καὶ ὅτι τοὺς ἰδίους ἀνεῖλεν υἱοὺς καὶ ὑπὸ Νινύου τῶν παίδων ἑνὸς ἀνηρέθη, τοῦ διαδεξαμένου τὴν ἀρχήν. Καὶ μεθ' ἕτερα· « Καὶ τῶν λοιπῶν εἰς ͵α ἐτῶν ἀριθμὸν ἦρχον, παῖς παρὰ πατρὸς ἐκδεχόμενος τὴν ἀρχὴν καὶ ἔχων ἧττον αὐτῶν οὐδὲ εἷς ἐτελεύτησεν (διετέλεσεν?) ἐτῶν κ'· τὸ γὰρ ἀπόλεμον καὶ ἀφιλοκίνδυνον καὶ γυναικῶδες αὐτοῖς ἦν ἀσφαλές. Ἔνδον γὰρ ἔμενον, οὐδέ τι αὐτοῖς ἔνεργον (ἦν ἔργον codd.; ὧν ἔργον Scal. Dindf.; ἐν ἔργ. Mai) ἐπρήσσετο, οὐδὲ ἑώρα τις αὐτοὺς πλὴν αἵ τε παλλακίδες καὶ τῶν ἀνδρῶν οἱ γυναικώδεις. Τοὺς δὲ βασιλεῖς τούσδε εἴ τις εἰδῆσαι βούλεται, Κτησίας ἐστὶν ὁ λέγων ὀνόματα αὐτῶν κ' οἶμαι καὶ γ'. Ἐμοὶ δὲ ἡ γραφὴ τί τερπνὸν ἢ τί χάριεν ἤμελλεν ἕξειν, ὀνομακλήδην ἄνευ πράξεων βαρβάρους φωνέοντι τυράννους δειλοὺς καὶ μαλακούς (*); » Πρὸς οἷς ἐπάγει τὰ περὶ τῶν ἐτῶν αὐτῶν· « Ἐτέων δὲ ὄντων ἀπὸ Νίνου τεσσαράκοντά που καὶ χ' Βέλιμος ἐβασίλευσεν Ἀσσυρίων. Καὶ ἀφικνεῖται Περσεὺς ὁ Δανάης εἰς τὴν χώρην αὐτοῦ, ναῦς ἄγων ρ'. Ἔφευγε δὲ Περσεὺς Διόνυσον τὸν Σεμέλης υἱέα. » Καὶ μετέπειτα· « Ὑστέρῃ δὲ γενεῇ κατὰ Πανύαν ἄρχοντα ὁ τῶν Ἀργοναυτῶν στόλος ἔπλευσεν ἐπί τε Φᾶσιν καὶ Μηδείην τὴν Κολχίδα, καὶ Ἡρακλέα πλανηθέντα ἀπὸ τῆς νεὼς διὰ τὸν ἔρωτα τὸν Ὕλα λέγουσι περὶ τοὺς Καππαδόκας ἀλήθῆναι. » Καὶ αὖθις· « ͵α δὲ ἐτέων ἀπὸ Σεμιράμεως εἰς Μητραῖον (l. Μιθραῖον) βασιλέα ἂν ἀριθμοῖ τὸ περιτελλόμενον· [ἐφ' οὗ vel simile quid excidit] Μήδεια Κολχὶς ἀνεχώρησεν Αἰγέως, ἧς υἱὸς Μῆδος, ἐξ οὗ Μῆδοι καὶ ἡ χώρα ἐκλήθη Μήδεια. » Εἶτά φησι· « Μητραίου δὲ τὴν ἀρχὴν διαδέχεται Ταύτανος (l. Τεύταμος), ζῶν καὶ αὐτὸς κατὰ ἔθη τὰ Ἀσσυρίων καὶ νόμους. Καὶ ἄλλο μὲν οὐδὲν ἐγένετο οὐδὲ ἐπὶ τούτου καινὸν ἔργον· Ἀγαμέμνων δὲ καὶ Μενέλαος οἱ Μυκηναῖοι ἐστρατεύσαντο σὺν Ἀργείοισι καὶ τοῖσι ἄλλοισιν Ἀχαιοῖς τῆς εἰς Ἴλιον πόλιν Πριάμου τοῦ Φρυγὸς στρατηγίης. »

Eusebius Chron. p. 41 Mai : Cephalionis Historici de regno Assyriorum. — « *Ea scribere aggredior, quorum alii quoque meminerunt, in primis Hellanicus Lesbius et Ctesias Cnidius, nec non Herodotus Halicarnassensis. Principio Assyrii dominati sunt Asiæ, ex quibus erat* (deb. : *his autem*) *Ninus Belides : quo regnante multæ res et facinora maxima contigerunt.* » *Deinde addit Samiramidis genituram : itemque* (*narrat*) *de Zaravaste, mago Bactrianorum rege, et de bello quo hic a Samiramide superatus est : de annis denique quibus Ninus regnavit, duobus videlicet supra quinquaginta, nec non de ejus obitu. Postea regnantem Samiramin Babylonis mœnia excitavisse* (*ait*) *ea ratione, quæ a multis dicta est, nempe a Ctesia, a Zenone, ab Herodoto aliisque deinceps. Præterea Samiramidis narrat expeditionem in Indiam, ejusque cladem et fugam : cædem etiam filiorum suorum ab ipsamet patratam : utque eadem a filio item suo Ninya interempta sit, postquam annis duobus supra quadraginta regnasset. Hic vero, qui in imperium successit, a Cephalione dicitur nihil dignum memoria gessisse. Tum reges alios singillatim recenset, quorum dominationem mille annis mansisse docet, potestate a patre ad filium manante; neminemque eorum minus viginti annis* (*sceptrum*) *tenuisse.* « *Nam imbellis et quieta et feminea eorum indoles tutos cautosque servabat : quippe qui penetralibus se continebant, nihilque agebant atque a nemine præterquam a pellicibus et a viris effeminatis conspiciebantur. Si quis tamen avet hos reges apprime cognoscere, Ctesias diserte eos nominatimque recenset, quod ego quidem sciam, tres supra viginti. Sed enim qua ego voluptate vel animi jucunditate barbara nomina appellem, cassa omnino gestis præclaris, tyrannorum, inquam, imbecillium et mollium et prope silvestrium?* » *Deinde addit anno istius dominationis quadragesimo supra sexcentesimum, rege Assyriorum Belimo, Perseum Danaes* (*filium*) *centum naves ad illorum regionem appulisse. Fugam scilicet arripuerat Perseus a Baccho victus Semeles filio. Deinde omisso Perseo Bacchique triumpho, ait, sequiore ætate, imperante apud Assyrios Panya, classem Argonautarum venisse ad Phasim amnem et ad Colchidem Medeam : tum et Herculem insano Hylæ amore correptum, nave relicta Cappadociam versus, ut aiunt, errabundum contendisse. Dicit præterea : si quis mille annos a Samiramide ad Mithræum numeret, eum rationes constare deprehensurum. Ab Ægea rege discessit* (sc. Mithræi temporibus) *Medea Colchis femina saga. Hujus filius erat Medus, unde regio Media dicta. Mithræi, inquit, imperium excipiebat successor Teutamus, qui ad mores legesque Assyriorum vitam suam exigebat, nihilque novi per eum fiebat. Agamemnon et Menelaus Mycenæi expeditionem cum Argivis faciebant adversus Ilium urbem, in qua Priamus Phryx militarem præfecturam gerebat. Priami* (*exemplar quoque literarum ad Teutamum circumfertur ejus-*

(*) Post μαλακοὺς codd. præbent βαρβάρους οὕς; quæ ejecerunt editores Syncelli; apud Eusebium est *mollium et prope silvestrium* (θηριώδεις). Scripserim : καὶ βορβόρῳ ἴσους, quod ad traditas literas proxime accedit.

τάφρου. Καὶ οὕτω ταχεῖαν εἰργάσαντο τοῦ χώματος τὴν αὔξησιν. (12) Ὁρῶντες δὲ τὸ πραττόμενον οἱ Θρᾷκες, καὶ ὅτι πρὸς σφᾶς τὸ χῶμα ἀντετειχίζετο, ξύλα πηξάμενοι καὶ τούτοις σανίδας προσαρτήσαντες, πρόβλημα μετέωρον ἐπὶ τῷ τειχίσματι ἤγειρον. (13) Καὶ ἐπὶ τῷδε ἐμηχανήσαντο τοιόνδε· καθῆκαν ἀπὸ τοῦ τείχους νύκτωρ ἀπὸ κάλων, ὑπ' αὐτό που τὸ ἡσυχάζον, ἄνδρα εὔτολμόν τε καὶ γενναῖον, δόντες αὐτῷ φέρειν ἐπὶ τὸ χῶμα δᾷδα ἡμμένην καὶ σκεῦος, ἵνα πίττα τε ἦν καὶ θεῖον καὶ τὰ τοιαῦτα. (14) Ἐμβάλλει δὴ οὖν τὸ πῦρ τοῖς ἀνέχουσι τὸ χῶμα ξύλοις, καὶ ἀθρόα γίνεται καέντων τοῦ χώματος ἡ κατάπτωσις. (15) Ἐπεὶ δὲ καὶ ἐν τούτοις μεῖον εἶχον οἱ Σκύθαι, ἐδόκει αὐτοῖς κτείνειν τὰ ἀχρεῖα τῶν ὑποζυγίων καὶ τῶν αἰχμαλώτων ὅσοι νόσῳ ἢ χρόνῳ διὰ γῆρας ἐκακοπάθουν· κτείναντες [δ'] ἐνέβαλον εἰς τὴν τάφρον, καὶ ὕλην παντοίαν ἐπεφόρουν. Τὰ δὲ σώματα ἄρτι τριταῖα γινόμενα ὕψος οὐ μέτριον παρεῖχον ἐξοιδοῦντα τῷ χώματι. (16) Οἱ δὲ Θρᾷκες μέρος τι τοῦ τείχους διακόψαντες, ὅσον ἐς μέγεθος πυλίδος στενῆς, εἰσεφόρουν κατὰ τοῦτο παρὰ σφᾶς ὅσαι νύκτες τὸν χοῦν· ὡς δὲ πάντῃ ἄποροι τῇ γνώμῃ ἐγίνοντο οἱ βάρβαροι, ἐδόκει ἀναχωρεῖν. Καὶ τοῦτο τῇ πολιορκίᾳ τέλος τοῖς Σκύθαις ἐγένετο.

Quæ hoc fragmento narrantur de Gothis ab obsidione Philippopoleos re infecta discedentibus, aliunde, quantum scio, comperta non habebamus. Statuendum igitur est Gothos primo quidem impetu nihil proficientes, relicta Philippopoli, in alias Mœsiæ urbes arma vertisse, deinde vero, victo denique et interfecto Decio, iterum Philippopolitanos aggressos atque urbe potitos esse. Nam captam a Gothis Philippopolim præter alios ipse etiam narrat Dexippus apud Syncellum p. 376 (v. fr. 16). Cf. Ammianus XXXI, 5: *Ceciderunt... imperatores Decii pater et filius. Anchialus capta et tempore eodem Nicopolis. Post clades acceptas excisa est Philippopolis.* Quo loco quæ de Anchialo et Nicopoli eodem fere tempore sub Decio a Scythis appetitis leguntur, quæri potest num recte dicta sint. Nam secundum Trebellium in Claudio c. 12 eæ urbes Claudii et Quintilli temporibus (270 p. C.) vastatæ sunt. Trebellius vero ducem in his secutus esse videtur optimum harum rerum testem, Dexippum nostrum, cujus ipso illo loco mentionem injicit. Ceterum quum etiam Decii temporibus Nicopolim Scythæ aggressi, sed ab imperatore repulsi sint, uti colligitur ex Dexippi fragm. 19 extr. (collato Jornande l. l.: *Cnica*, rex Gothorum, *Nicopolim accedit, quæ juxta Iatrum fluvium est constituta... ubi Decio superveniente imperatore, tandem Cnica in Hæmoniæ partes recessit*), facile fieri potuit ut Ammianus hoc cum altero Scytharum in Nicopolim impetu, quem eodem anno fecerunt, quo Anchialus sub Claudio vastata est, confunderet. — 2. πόλεμος ὧδε] πολ. ὡς δὲ ὑπερφ. codex. — 3. μεθιεμένων] μεθειμένων codex. — Verba sequentia ita delineavit Minas ut in codice exarata spectantur. Ductus litterarum simillimi iis, quos exhibent codicis Valesiani sive Peiresciani excerpta Περὶ ἀρετῶν et codicis Vaticani excerpta Περὶ γνωμῶν (cf. L. Dindorf. in præfat. ad Diodor. vol. II). Ductus autem vocabuli ab ipso librario non intellecti (quod indicat accentuum omissio) sonant ενοχεπιειναι, quod esse ἐν σκέπῃ εἶναι vidit Dübnerus. — 5. αὖ τῆς] Dübner. αὐτῆς codex; αὐτοὶ voluit Minas; fortasse leg. αὐτῆς τῆς πόλεως. — καὶ μετακινοῦντες] Participia in hac descriptione pro temporibus finitis ponuntur. — 6. προσερείδοντες τὰς] προσηρίδοντας codex. — ὑποτρόχους] ὑπὸ τροχοῖς codex et h. l. et mox iterum. — ἀπ' ἄκρων τῶν] ἀπαιρόντων codex. — 7. πελάσαιεν] πελάσοιεν codex. — ποιήσοντες] Minas. ποιήσοντας codex. — 8. ἀνδράσι] Circa hæc incipit cod. fol. 76. — 9. ᾗ δεῖ] εἴδει codex; ἤδη Minas; ceterum malim τί δεῖ ποιεῖν, etsi hoc paullo longius ab acceptis recedit. — χοῦν] γοῦν codex. — 10. πρὸ σφῶν] Minas. πρὸς σφῶν cod. — κατ' εὐθὺ] καὶ εὐθὺ codex. — 12. σανίδας] Minas. σανίδα codex. — ἤγειρον] ἔγειρον codex. — 13. ἐπὶ τῷδε] Minas; ἐπεὶ τόδε codex. — 15. μεῖον] σημεῖον codex. — κτείνειν] καὶ codex. Sin retines καί, neque ab ipso Epitomatore oratio turbata est, pro ἐνέβαλλον et ἐπεφόρουν infinitivus modus reponendus. Post κτείναντες addidi particulam δέ.

silvamque variam inter utrumque fossæ labium ingerebant. Atque sic celeriter moles excrescebat. (12) Verum Thraces ubi aggerem istum contra ipsos strui conspexerant, trabes impingentes tabulasque iis applicantes propugnaculum sublime in muro excitabant. (13) Præterea vero etiam hoc machinati sunt. Etenim sub ipsam fere noctem concubiam funibus demittunt virum audacem et generosum, quem incensa face aggeri admovenda atque vase picis, sulphuris, aliarum hoc genus rerum pleno instruxerant. (14) Is igitur ignem injicit trabibus, quæ aggerem sustinebant. Incensis, confestim tota moles corruit. (15) Postquam igitur etiam hæc minus successerant Scythis, placuit mactare jumenta inutilia et captivos morbo vel senio confectos. Mactatos deinde in fossam jecerunt, silvamque variam ingesserunt. Quæ quidem cadavera quum inde a die tertio extumescere cœpissent, altitudinem aggeris haud mediocriter augebant. (16) At Thraces, perrupta muri parte tantæ magnitudinis, quanta portæ est angustæ, per eam quaque nocte aggerem in urbem inferebant. Tum vero barbari summa consilii inopia laborantes recedendum esse decreverunt. Atque ita obsidionem Scythæ solverunt.

21.

Exc. De sentent. p. 328 ed. Mai., p. 26 ed. Nieb.:

« .. καὶ καρτερίᾳ οἱ πόλεμοι μᾶλλον ἢ πλήθει κρίνονται. Ἡμῖν δύναμίς τε οὐ φαύλη (δισχίλιοι γὰρ οἱ σύμπαντες ἠθροίσθημεν), καὶ τὸ χωρίον ἐρυμνότατον, ὅθεν ὁρμωμένους χρὴ τοὺς πολεμίους κακοῦν σποράσι τε ἐπιτιθεμένους καὶ τὰς παρόδους αὐτῶν ἐνεδρεύοντας· ἐξ ὧν κρατοῦσι μὲν ἡμῖν τῷ τρόπῳ τούτῳ ῥώμη ἔσται, καὶ δέος οὐ μέτριον παρέξομεν τοῖς ἐναντίοις· συνισταμένων δὲ ἀντιστησόμεθα, προ... ὅπλων οὐ φαῦλον τὸ ἐρυμνὸν τοῦ χωρίου καὶ τήνδε τὴν ὕλην ἔχοντες. Οἵ τε ἐναντίοι ἐκ διαφόρων προσβάλλοντες οἷα οὐ πάντῃ καταφανέσι ταράξονται, οὐκ ἐν τῷ ἴσῳ τρόπῳ τοῖς πρόσθεν πολεμήσουσι, τάξιν τε αὐτῶν λύοντες καὶ οὐδ' ὅπου τὰ τοξεύματα καὶ ἀκόντια μετιέναι χρὴ εἰδότες, καὶ τῶν τε ἀφιεμένων ἀτυχήσουσι, καὶ ὑφ' ὑμῶν ἔτι μᾶλλον κακώσονται. Ἡμεῖς τε τῇ ὕλῃ πεφραγμένοι ἐπίσκοπα καὶ ἐξ ὑπερδεξίων μεθήσομεν, καὶ ἀσφαλέστεροι μὲν εἰς τὸ δρᾶν ἐσόμεθα, οὐ ῥᾷστοι δὲ βλάπτεσθαι. Περὶ δὲ αὖ τῆς ὁμόθεν μάχης, εἰ δὴ καὶ αὐτῆς δεήσαι, ἐκεῖνο χρὴ λογίζεσθαι, ὡς οἱ μέγιστοι κίνδυνοι μεγίστας καὶ προθυμίας παρέχονται, καὶ ἐν τῷ ἀπόρῳ τῆς σωτηρίας ἡ ἀντίτασις ἑτοιμοτέρα, καὶ πολὺ τὸ ἀνέλπιστον ἐξέδη, βιαζομένων τε ὑπὲρ τοῦ ἀμηχάνου καὶ ἀμυνομένων ὑπὲρ τῶν σπουδῆς ἀξίων τιμωρίας ἐλπίδι. Οὐδὲ γὰρ ἔστιν ὅτῳ ἂν πρὸ ἡμῶν μείζους γένοιντο ὑποθέσεις τῆς ἀγανακτήσεως, οἷα δὴ γενῶν τῶν ἡμετέρων καὶ πόλεως ὑπὸ τῶν ἐναντίων κατεσχημένης. Συνεπίθοιντο δὲ ἂν αὐτοῖς καὶ ὅσοι ἀνάγκῃ ἄκοντες συστρατεύουσιν, ὅτε τὴν ἡμετέραν ἔφοδον αἴσθοιντο, ἐλευθερίας τῆς σφετέρας ἐλπίδι.

« Πυνθάνομαι δὲ καὶ τὴν βασιλέως δύναμιν τὴν ναυτικὴν οὐχ ἑκὰς εἶναι ἀρήξουσαν ἡμῖν, ᾗ συνταχθέντας συνεισβαλεῖν κράτιστα. Καὶ ἐπὶ τῷδε ἡγοῦμαι ὡς καὶ τοὺς Ἕλληνας ἐς τὸ αὐτὸ τοῦτο πρόθυμον ἐπάξομεν. Αὐτὸς δὲ δὴ ὢν οὐκ ἔξω κινδύνου οὐδὲ εὐτυχέστερον πράττων ἐπὶ ταῦτα ἵεμαι, ἀρετῆς ἐπιθυμῶν καὶ διακινδυνεύων, τὰ τιμιώτατα δὲ θέλων περιποιήσασθαι καὶ ἐς ἐμαυτὸν μὴ καταλῦσαι τῆς πόλεως τὴν ἀξίωσιν. Καὶ παραινῶ ὧδε γινώσκειν. Ἔπειτι μὲν ἡ τελευτὴ πάντας ἀνθρώπους καταλῦσαι τὸν βίον, ἐν τοῖς περὶ τῆς πατρίδος ἀγῶσιν ἆθλον κάλλιστον καὶ δόξαν ἀΐδιον φέρων. Εἰ δέ τινα καὶ ἐπὶ τοῖς εἰρημένοις τὸ τῆς πόλεως πταῖσμα ἐκπλήσσει, καὶ δι' αὐτὸ ἄθυμός ἐστιν, ἴστω τάς τε πλείστας τῶν πόλεων ἐξ ἐνέδρας ὑπὸ τῶν πολεμίων ᾑρημένας..... καὶ τῶν ἀντιστάντων αὐτοὺς τὸ ἀντίπαλον ἐρημωθέντας.. ον δὲ τοῦ βαρβαρικοῦ ἐπιτίθεσθαι. Καὶ τῷ... ἀνθισταμένῳ συνοισόμεθα... ον τῇ παρόδῳ χρήσονται ἀθρόον.... ἱκανοὶ εἴημεν· ἀναχωρήσομεν ἐς τὸ μετέωρον σὺν ἀσφαλείᾳ.... μένων ἐπιθησόμεθα, κἂν τούτῳ τῶν ἐναντίων αἱ ἀπορίαι πρὸς ἡμῶν ἔσονται.

« Συστήσεσθαι δὲ ἡμῖν καὶ ἐκ τῆς τύχης τὸ εἰκὸς ἄγει· ἥ τε γὰρ ὑπόθεσις δικαιοτάτη, καθ' ἣν ἀμυνούμεθα τοὺς προαδικήσαντας, καὶ τὸ δαιμόνιον ταύτῃ ὡς ἐπὶ πολὺ βραβεύει τὰ ἀνθρώπεια, προθυμότατον ὂν συμφορὰς ἐλαττῶσαι καὶ ἐς τὰ ἀμείνω συνάρασθαι. Καλὸν δὴ γνωρίσαι τὸ πάτριον ἡμῶν σχῆμα, καὶ αὐτοὺς τοῖς Ἕλλησιν ἀρετῆς καὶ ἐλευθερίας γενέσθαι παράδειγμα, καὶ παρά τε τοῖς οὖσι καὶ τοῖς ἐπιγιγνομένοις εὐκλείας

21.

« .. et fortitudine magis bella quam numero militum cernuntur. Nobis non pœnitendæ copiæ sunt; bis enim mille cunctim censemur: locus vero munitissimus, unde discurrentibus licet nobis hostes male mulcare, dum palantes aggredimur, eorumque itineribus insidiamur. Quibus artibus facti superiores, et vires augebimus, et non modico adversariis terrori erimus: qui si in aciem processerint, resistemus, quia præter arma non est inutilis hæc loci munitio silva: siquidem hostes diversis partibus incurrentes, nos haud satis sibi exploratos pertimescent; neque pari jam conditione pugnabunt; et solvent ordines; ac dum neque sagittas neque jacula ad certum scopum emittent, et vanos ictus edent, et a nobis potius lædentur, qui nemore protecti certissima tela ex opportunissimis locis jaculabimur, tuti ad feriendum, alienis vero ictibus minime expositi. Jam ad ipsum prœlium quod attinet, si forte id patrare opus fuerit, reputandum est, a maximis periculis maximum animi vigorem suppeditari: et quanto salus incertior est, tanto contentionem acriorem fieri. Multa etiam insperata eveniunt, dum pro rebus arduis contendimus et cara quæque protegimus spe ultionis. Age vero neque ante nos quisquam majoris iræ materiam habuit, qui videlicet genus nostrum et urbem in potestate hostium videmus. Tum et alii, qui coacti cum hostibus militant, in hos arma convertent, simulac incursionem nostram cognoverint, de sua quoque libertate sperantes.

« Audio regis quoque navales copias haud procul esse, opem nobis ferentes; quibuscum nos consociati præclarissime prœlium inibimus. Insuper existimo Græcos quoque ad eandem animorum alacritatem a nobis excitatum iri. Ego vero ipse haud me periculo submovens, neque beatiore sorte utens, in hanc belli aleam descendo virtutis ergo, tuendique res carissimas, et ne urbis dignitatem in me ipso dedecorem: vobisque auctor sum, ut cum animis vestris sic reputetis: mortem scilicet omnes homines vita spoliare; verumtamen in certaminibus pro patria obeundis pulcherrimum præmium gloriamque immortalem secum ferre. Quodsi quem, propter ea quæ diximus, captivitas urbis territat atque idcirco prostrato animo est, is cogitet, plerasque urbes hostium insidiis esse captas... ad altiora loca incolumes recedemus. Atque ita hostium difficultates e re nostra erunt.

« Jam et ipsa fortuna in nostris jure meritoque partibus esse debet, quia justissima est belli causa, dum aggredientes repellimus. Tum et Deus sic plerumque humana gubernat, ut calamitosos libentissime sublevet ac meliore sorte donet. Interest etiam nostræ meminisse patriæ dignitatis, nosque ipsos Græciæ virtutis ac libertatis exemplar proponere, sempiternamque laudem a præsentibus posterisque consequi, dum reapse demonstramus, vigorem Atheniensium nullis

ἀειμνήστου μετασχεῖν, ἔργῳ δεικνύντας, ὡς καὶ ἐν ταῖς συμφοραῖς τὸ φρόνημα τῶν Ἀθηναίων οὐχ ἥττηται. Σύνθημα δὲ τοῦ πολέμου παῖδας καὶ τὰ φίλτατα ποιησάμενοι καὶ τὸ ταῦτα διασώσασθαι, ἐς τὴν ἀντίστασιν συντασσώμεθα, θεοὺς ἐφόρους ἀρωγοὺς ἐπικαλεσάμενοι. » Καὶ ὁ μὲν τοιαῦτα εἶπεν· οἱ δὲ Ἀθηναῖοι τοῖς τε λεχθεῖσι πολὺ ἐπερρώσθησαν (δυνατὰ ἐς τὴν ἀντίστασιν τὰ εἰρημένα), καὶ ἐπὶ τούτῳ ἐξηγεῖσθαι σφῶν αὐτῶν ἠξίουν.

Ὅτι τῶν τὰ ἄριστα προελομένων ἡ προθυμία, κἂν τὸ ἔργον μὴ συνακολουθήσῃ, ἐπαινεῖται.

Ὅτι ἀλγεινοτέρα ἀνδρὶ ἀρχὴν ἔχοντι τοῦ παντὸς ἡ ἀποτυχία μᾶλλον ἢ ἑκάστῳ ἡ καθ' αὑτὸν κάκωσις· τῷ γὰρ ἰδίῳ περιγραφὴ ἡ τύχη τοῦ συμβάντος, εἰς δὲ τὸν ἄρχοντα προσχωρεῖ τοῦ συνενεχθέντος ἡ αἴσθησις. Ῥοπὴ δὲ οὐκ ἐλαχίστη πεπειθὼς τῇ (sic) γνώμῃ παραπλησίως ἔχειν· καὶ τὸ εἰκὸς τούτου οὐκ ἀπε.. γεῖν ἐπ' εὐνοίᾳ. Καὶ παρίσταταί δ' ἐμοὶ ἀπὸ τῶν αὐτῶν θαρρεῖν, ἀφ' ὧν καὶ τὸ δυσχερὲς ὡρμήθη.

Ὅτι φησὶν ὁ Δέξιππος πρὸς τοὺς Ἕλληνας δημηγορῶν· « Καὶ μή τῳ παραστῇ ὡς.. τῆς σωτηρίας ὑμῶν με.. ὀψὲ περι.. τὴν.. ην. Ἔγνων τε γὰρ τὰ κοινῇ λυσιτελῆ.. ἄλλος καὶ πρᾶξαι .... ἐπαίτιος ὅτου ἐστὶν ἐπισκέψασθαι τὰ συνοίσοντα καὶ .... ἀνὴρ ἐκ τοῦ δικαίου τὴν ἀρχὴν ἔχων καὶ πολιτεύων ἄριστα πειθοι * * *

De re, ad quam hoc fragmentum (Dexippi oratio ad Athenienses, qui, urbe capta, cum illo profugerant) pertinet, præter Zosimum (I, 39, 1) cf. Trebellius in Gallieno c. 13 : *Inter hæc Scythæ per Euxinum navigantes, Istrum ingressi, multa gravia in solo Rom. fecerunt. Quibus compertis, Gallienus Cleodamum et Athenæum Byzantios instaurandis urbibus muniendisque præfecit. Pugnatum est circa Pontum, et a Byzantiis ducibus victi sunt Barbari. Veneriano item duce, navali bello Gotthi superati sunt, tum ipse Venerianus militari periit morte. Atque inde Cyzicum et Asiam, deinceps Achaiam omnem vastarunt, et ab Atheniensibus duce Dexippo, scriptore horum temporum, victi sunt. Unde pulsi per Epirum, Acarnaniam, Bœotiam, pervagati sunt* (an. 267 p. C.).

22.

Trebellius in Claudio c. 12 : *Quo* (Claudio) *ad deos atque ad sidera demigrante, Quintillus frater ejusdem... suscepit imperium. Sub hoc barbari qui superfuerant, Anchialo vastata, conati sunt Nicopolim etiam obtinere. Sed illi provincialium virtute obtriti sunt. Quintillus autem ab brevitatem temporis nihil dignum imperio gerere potuit. Nam septimadecima die, quod se gravem et serium contra milites ostenderat ac verum principem pollicebatur, eo genere quo Galba, quo Pertinax, interemptus est. Et Dexippus quidem Quintillum* (*Claudium* vgo) *non dicit occisum, sed tantum mortuum : nec tamen addidit morbo, ut dubium sentire videatur.*

23.

Exc. De strateg. c. VI, p. 15 : Ἐκ τῶν Δεξίππου. Σίδης πολιορκία.

Ἐπολιόρκουν οἱ Σκύθαι τὴν Σίδην· πόλις δὲ αὕτη τῶν ἐν Λυκίᾳ. Ὡς παρασκευή τε πᾶσα ἦν ἄφθονος εἴσω τείχους καὶ πλῆθος ἀνδρῶν οὐ νωθρῶς ἁπτομένων τοῦ ἔργου, μηχανὰς ἐποιοῦντο, καὶ προσῆγον τῷ τείχει. (2) Οἱ δὲ καὶ πρὸς ταύτας ἀντῄρκουν, καθιέντες ὅσα κωλύματα. Πύργους δ' ἐπὶ τούτῳ ξύλου ἰσομετρήτους τῷ τείχει κατεσκεύαζον καὶ ἐκίνουν ὑποτρόχους ὡς ἐγγὺς ἵστασθαι. (3) Προεβέβληντο δὲ τῶν πύργων οἱ μὲν σίδηρον ἐπὶ λεπτὸν ἐληλασμένον καὶ ἐπὶ πολὺ τῶν ξύλων καταπεπηγότα, οἱ δὲ δέρριν καὶ ὅσα πυρὶ οὐχ ἁλώσιμα. (4) Ἀντεμηχανήσαντο δὲ καὶ οἱ ἐκ τοῦ

1. De Sides Pamphyliæ urbis obsidione aliunde non constat; res in idem, opinor, tempus cadit, quo Anchialus Thraciæ urbs capta est. Jornandes c. 20 Gothos refert regnante *Gallieno* in Asiam involantes devastasse Ephesum, Trojam, Anchialum (quod de Anchiale Ciliciæ urbe intelligendum esse videtur), Dexippum secutus Trebellius in Claudio c. 12 : *Sub hoc* (Quintillo) *barbari Anchialo vastata conati sunt*, etc. (fr. 22). — 1. εἴσω τείχους] Dübner. εἴσω ψύχους codex. — 2. καὶ ἐκίνουν] Minas. κλείνουν ὑπὸ τροχοὺς cod. — 3. δέρριν] δέρρεις?

---

cladibus exstingui. Tesseram vero pugnæ liberos nostros et carissima quæque atque horum salutem nobis proponentes, in aciem prodeamus, custodum deorum ope implorata. » Sic ille concionatus est. Athenienses autem, dictis magnopere confirmati (nam pugnæ stimulos concio subjecerat), ut se in aciem duceret, ipsum rogabant.

Studium exsequendi rem optime deliberatam, etiamsi opere interdum cassum fiat, nihilominus commendatur.

Homini magistratum gerenti publica calamitas magis molesta est, quam suum cuique infortunium. Nam privatum hominem rei publicæ fortuna leviter tangit; verumtamen ad magistratum sensus quoque ejus pertinet.. Jam licet mihi ex eadem re lætitiam capere, unde olim molestia orta est...

Dexippus in concione ad Græcos sic ait.... vir justum imperium consecutus atque optime remp. gerens ***.

22.

E Dexippi Historiis. Sidæ obsidio.

Scythæ Siden, quæ Lyciæ urbs est, obsidentes, quum largus omnis generis apparatus intra muros esset, atque multitudo virorum ad defendendam urbem paratissimorum, machinas fabricarunt easque ad mœnia adduxerunt. (2) Verum his quoque oppidani restiterunt demittentes quæcunque impedimento esse possent. Tum Scythæ turres ligneas ejusdem cujus murus erat altitudinis construxerunt, quas rotis impositas quam proxime admovere. (3) Munierunt vero turres alii ferri tabulis tenuibus, quas ad ligna locis plurimis affixerunt, alii pellibus ceterisque rebus, quæ igne vastari haud facile possunt. (4) Contra oppidani tale quid excogitarunt. Ligna permagna erigebant ubi impetum fa-

ἄστεως τοιόνδε· σανίδας μεγάλας ὀρθίας προστησάμενοι καθ' ὅ τι ἔμελλον οἱ ἐναντίοι ποιήσασθαι τὴν προσαγωγὴν τῶν μηχανῶν, (5) καὶ αὖ ἐγκάρσια ξύλα καὶ ἰκρία ταύταις παραπήξαντες, μέσαις αὐταῖς ἐτεκταίνοντο θυρίδας, ὅσον εἰς ὑποδοχὴν ἀνδρὸς τὴν ἄχρι στέρνου, ὡς ὑπερέχοντας αὐτῶν κατὰ ὕψος ἐκ μετεώρου ἔχειν ἀμύνασθαι. (6) Ποιήσαντες δὲ ταῦτα ἐκ μετεώρου καθίεσαν ἀρτῶντες κύκλῳ ἐφεστρίδας τε καὶ νάκη, ὡς ἂν τὰ τοιαῦτα προβλήματα μήτε εὔφλεκτα εἴη καὶ τῇ ἁπαλότητι αὐτῶν κατέχοι τὰ προσπηγνύμενα, οὐκ ἀντικόπτοντα τῇ βίᾳ πληγῆς. Γενομένης δὲ πείρας ἐπὶ τούτοις ἑκατέρωθεν καὶ μάχης κρατερᾶς, ὡς ἄπρακτος ἦν τοῖς Σκύθαις ἡ διατριβὴ καὶ οὐδὲ ἓν προὐχώρει εἰς ἐλπίδας, ἀνεχώρουν.

24.

Exc. De legat. p. 11. ed Niebuhr. Bonn. : Ὅτι Αὐρηλιανὸς κατὰ κράτος νικήσας τοὺς Ἰουθούγγους (*) Σκύθας, καὶ κατὰ τὴν τοῦ Ἴστρου περαίωσιν ἐς τὴν ἀποφυγὴν πολλοὺς τούτων ἀνελών, οἱ λειπόμενοι ἐς σπονδὰς ἧκον καὶ πρεσβείαν ἐστείλαντο. Τὴν δὲ αἴτησιν τῆς εἰρήνης ἐδόκει μὴ σὺν τῷ ἄγαν περιδεεῖ καὶ καταπεπληγότι ἐκ τῆς ἥττης ποιεῖσθαι, ὡς ἂν ὑπάρχοι σφίσι καὶ τῶν πρόσθεν φοιτώντων χρημάτων παρὰ Ῥωμαίων ἡ ἀποδοχή, μὴ ἐς τὸ ἀδεὲς πάντῃ τῶν ἐναντίων καθισταμένων. Ὁ δὲ Ῥωμαίων βασιλεὺς Αὐρηλιανὸς ὡς ἐπύθετο ἀφιγμένην τὴν Ἰουθούγγων πρεσβείαν, ἐς τὴν ὑστεραίαν φήσας χρηματιεῖν περὶ ὧν ἥκουσι, διέταττε τοὺς στρατιώτας ὡς ἐς μάχην, ἐκπλήξεως εἵνεκα τῶν ἐναντίων. Ἐπεὶ δὲ καλῶς εἶχεν αὐτῷ ἡ διακόσμησις, ἐπὶ ὑψηλοῦ βήματος μετέωρος βέβηκε, καὶ ἁλουργίδα ἀμπέχων, τὴν πᾶσαν τάξιν ἐποίει ἀμφ' αὐτὸν μονοειδῆ. Παρεστήσαντο δὲ καὶ τῶν ἐν τέλει ὅσοι ἀρχάς τινας ἐπιτετραμμένοι, σύμπαντες ἀφ' ἵππων. Κατόπιν δὲ βασιλέως τὰ σήματα ἦν τῆς ἐπιλέκτου στρατιᾶς· τὰ δέ εἰσιν ἀετοὶ χρυσοῖ καὶ εἰκόνες βασίλειοι καὶ στρατοπέδων κατάλογοι γράμμασι χρυσοῖς δηλούμενοι· ἃ δὴ σύμπαντα ἀνατεταμένα προὐφαίνετο ἐπὶ ξυστῶν ἠργυρωμένων. Ἐπὶ δὲ τούτοις ὧδε διακοσμηθεῖσιν Ἰουθούγγους ἠξίου [παρελθεῖν]. Τοὺς δὲ συνέβη θαμβήσασθαι ἰδόντας καὶ ἐπὶ πολὺ σιγῇ ἔχειν. Ἐπεὶ δέ σφισιν ἐκ τοῦ βασιλέως ἀπεδόθη λέγειν, διά τινος ἑρμηνέως ἔλεξαν τοιάδε· « Οὔτε τῇ ἐπὶ καιροῦ συμβάσῃ κακοπραγίᾳ ἡμῶν παρὰ τὸ εἰκὸς καταπεπληγότες, οὔτε δυνάμεως ἐνδεῶς ἔχοντες ἢ καὶ πολέμων ἄπειροι καθεστηκότες, ἀσθενείας εὐπρεπείᾳ κατὰ τὸ ἡμῖν αὐτοῖς μόνοις συμφέρον ἐς τὴν εἰρήνην σπεύδομεν· ἀλλὰ περίεστι μὲν ἡμῖν τοσοῦτον τῆς ἐν τοῖς πολέμοις περιουσίας πλήθους εἵνεκα καὶ ἰσχύος, ὥστε μέρει ἐλαχίστῳ τὰς πρὸς Ἴστρῳ πόλεις ἐπελθόντες Ἰταλίαν μικροῦ πᾶσαν κατειλήφαμεν, ἱππικῷ μὲν στρατεύσαντες ἐς μυριάδας δ', καὶ τούτων οὐ μιγάδων οὐδὲ ἀσθενῶν, ἀλλὰ Ἰουθούγγων καθαρῶς, ὧν πολὺς ἐφ' ἱππομαχίᾳ λόγος. Ἀσπίδα δὲ ἄγομεν διπλασίαν δυνάμεως τῆς ἱππικῆς, οὐδ' ἐν τούτοις ταῖς ἑτέρων ἐπιμιξίαις ἐπισκιάζοντες τοῦ σφετέρου στρατοῦ τὸ ἀνανταγώνιστον. Ἔχοντες δὲ καὶ οὕτω παρασκευῆς διακρίνε-

6. Verba ἀρτῶντες... εὔφλεκτα εἴη, non nominato auctore exhibet Suidas v. ἐφεστρίδες. Pro μήτε Suidas præbet μή.

(*) E Dexippo hauserit Suidas : Ἰουθοῦγγοι, ὄνομα ἔθνους. « Οἱ δὲ ἐπεραιώσαντο τὸν Ἴστρον, δόντων ἑκόντων εἶναι τὴν δίοδον Ἰουθούγγων ἔχθει τῷ πρὸς Ῥωμαίους. »

cturi hostes essent. (5) His deinceps transversas trabes et tabulas applicarunt, in mediis autem fecerunt ostiola, ejus magnitudinis, ut virum usque ad pectus excipere possent. Hoc igitur modo altius quam hostes positis e sublimi propugnare licebat. (6) Præterea ex alto demisere et circumcirca alligarunt cilicia atque vellera, quippe cujusmodi munimenta et inflammatu difficilia essent et mollitie sua vim illisorum infringerent neque ea repercuterent. Post hæc quum utrimque rei periculum facientes pugnassent strenue, Scythæ vero operam et tempus frustra impenderent nec quidquam ex voto iis procederet, soluta obsidione hostes abierunt.

24.

Imperator Aurelianus (an. 270 p. C.) quum Juthungos Scythas acie devicisset, et multos eorum in ipso Istri trajectu fugientes interemisset, reliqui bellum fœdere finire voluerunt, et legatos miserunt. Neque tamen cum nimio timore nimiaque perturbatione, quasi clade sua perculsis pacem sibi petendam esse ducebant, ne tributo, quod antea Romani pendebant, hostibus ab omni metu solutis, in posterum privarentur. Sed Romanorum imperator Aurelianus, ut Juthungorum legatos advenisse intellexit, quum dixisset, se cum his postridie acturum de his, quorum causa legati venerant, hujusmodi hostibus terroris injiciendi gratia militum aciem condicta die tanquam ad pugnam instruxit. Ut illi recte se habere visa est exercitus dispositio, altum suggestum sublimis, purpura indutus, ascendit, et omnem exercitum, qui ipsum circumstabat, in formam lunæ disposuit. Aderant et ex his, qui in exercitu imperia habuerant, omnes ab equis. A tergo imperatoris erant signa coadunati exercitus. Hæc vero erant aquilæ aureæ et imagines imperatorum, et eorum qui militiæ nomina dederant, catalogi et enumerationes, aureis litteris perscriptæ. Quæ omnia explicata et illustri loco posita in hastis argentatis conspicua erant. His ita præparatis Juthungos jussit adesse. Ut hæc viderunt, obstupefacti longo tempore silentium tenuerunt. Postquam ab imperatore illis dicendi facultas data est, ita per interpretem locuti sunt : « Neque quia adversa fortuna, quæ nobis hoc tempore contigit, ultra modum animos nostros abjecit et perculit, aut quia destituti copiis et viribus sumus, aut rei militaris imperiti, infirmitatem nostram honesto prætextu tegentes, neque quidquam nisi utilitatem nostram spectantes, ad pacem festinamus. Sed multæ nobis adhuc suppetunt ad bellum gerendum facultates, sive multitudine militum, sive viribus opus est. Nam et minima nostri parte urbes ad Istrum sitas invadentes, parum abfuit quin omnem Italiam ceperimus. Quadraginta equitum millia in pugnam educimus, quæ non ex convenis aut imbecillibus, sed ex Juthungis pure constant, quorum in equestri prœlio magna fama est. Peditum autem

σθαι, οὐ διαγινώσκομεν ἐς ἀντιλογίαν ἥκειν τῆς συμφορᾶς πέρι. Οὐ διὰ τὸ μὴ κατὰ κράτος νενικῆσθαι, κατὰ δὲ τὸ ἄδηλον τοῦ ἐκβησομένου εἰρήνην πολέμου προτιμῶμεν, εἰκάζοντες καὶ ὑμῖν ὡς γένοιτ' ἂν διὰ γνώμης πρὸς Ἰουθούγγους εὖ παρασχὸν τῆς πρόσθεν διαφορᾶς συμβῆναι, οἷα δὴ ὑπούσης καὶ παλαιᾶς ἀμφοῖν τοῖν γενοῖν πρὸς ἄλληλα πίστεως ἐς τὸ ἡσυχάζειν, δι' ἣν χρὴ τὴν ἐπὶ καιροῦ διαφορὰν ἀπερίσκεπτον ἐν τῷ παρόντι καταλύσαντας πρὸς τὸ παλαίτερον καὶ λυσιτελοῦν μετατίθεσθαι ἑκατέροις. Ἔν τε τῷ πολέμῳ οὐκ ἐπὶ πλεῖστον ταῖς καταδρομαῖς ληϊζόμενοι, ἀλλ' ὅσον ἐς ἀφορμὴν τῶν ἐπιτηδείων ἀγαπῶντες τὴν ἄθροισιν, μέχρι τῆς γενομένης μάχης ἡσυχίᾳ τὸν καιρὸν διετρίβομεν, ὡς τοῖς ἐπιοῦσιν ὑμῖν σὺν τῇ ὑμετέρᾳ δυνάμει τὸ καθ' αὐτοὺς ἀντιτάξαντες. Ὃ δὴ καὶ νῦν ποιεῖν παρεσκευάσμεθα· καὶ τό τε ὑμέτερον πρὸς πάντα κίνδυνον ἐκ τούτου ἀδεέστερον ἕξει, καὶ τῶν μεγίστων στρατοπέδων συνελθόντων οὐδ' ἡτισοῦν ἑτέρα χεὶρ ἀξιόμαχος ἡμῖν νομισθήσεται. Εἰ δέ τις τῇ εὐτυχίᾳ τοῦ πολέμου ἐπαιρόμενος ὀλίγωρός ἐστι πρὸς τὴν σύμβασιν, γνώτω οὐ βεβαίῳ πράγματι θρασυνόμενος, καὶ ὅτι ἐπὶ παντὶ φέρον (σφαλερὸν? N.) τῆς δοκούσης εὐπραγίας ἡττηθέντας καὶ πρὸς τὴν παροῦσαν τῆς τύχης ἀκμὴν ἀποκλίναντας τῶν ἀμεινόνων ἐξηρτῆσθαι μόνων ἐλπίδων, καὶ ὑπὸ τοιαύταις ἀνομίαις (ἀνοίαις? B.) τῆς τε πρὸς θάτερον μεταβολῆς ὑπεριδεῖν καὶ συμμαχίαν εὔκαιρον διδομένην παραιτήσασθαι. Πεφύκασί τε αἱ μείζους στρατιαὶ, παρὰ μὲν τὴν πρώτην θάρσει οἰκείας δυνάμεως ἐπαιρόμεναι καὶ ἐλαχίστῃ προμηθείᾳ χρώμεναι, σὺν καταφρονήσει τῶν ἀντιπολεμούντων ἐπὶ τὰς μάχας πορεύεσθαι καὶ κατὰ τὸ ἀφύλακτον ὡς ἐπὶ πολὺ τὸ ἧττον ἔχειν, αἱ δὲ τῷ αἰφνιδίῳ καὶ παρ' ἐλπίδα χωρήσαντι* λογισμῷ τε ἀσφαλεῖ καὶ περιουσίᾳ δυνάμεως βεβαίως χρησάμεναι δυσμαχώτατοι τοῖς ἀντιπάλοις γίνεσθαι. Σὺν δὴ τοιαύτῃ ἐλπίδι καὶ ἡμεῖς, διχῇ τὴν δύναμιν διελόντες τὸ πρῶτον, καὶ ἐν τῷ ποταμῷ τὰ πολλὰ τύχῃ μᾶλλον ἢ ἀρετῇ ὑμετέρᾳ σφαλέντες, οὐκ ἀπροσδόκητοί ἐσμεν ἀλλὰ νῦν, ἅμα τῷ τοῦ μέλλοντος προμηθεῖ, οὐχ ὑπόστατοι ὑμῖν γενέσθαι. Κράτιστον δὴ τούτων εἵνεκα δι' εἰρήνης αἱρεῖσθαι ὑμᾶς τὰς ἐκ τῆς ὁμονοίας ὠφελείας, καὶ τὰ τοῦ πολέμου πράγματα σὺν ἡμῖν τίθεσθαι, τῇ τε παρ' ἡμῖν συμμαχίᾳ ῥωσθέντας πλέον ἔχειν πρὸς τοὺς ἐπιόντας. Εἰ δὲ ταῦτα ποιεῖν ὧδε κρίνοιτε, ὑπάρχειν ἡμῖν δίκαιον καὶ ὅσα ἐν χρυσοῦ ἀσήμου τε καὶ ἐπισήμου δόσεσι καὶ ἀργύρου παρ' ὑμῶν ἐφοίτα ἐπὶ φιλίας βεβαιότητι. Ἀπειπαμένων γὰρ, ὅσα ἐχθροὺς ἀμυνόμενοι, καθότι δυνατὸν πολεμήσομεν. » Πρὸς ταῦτα ὁ Ῥωμαίων βασιλεὺς ἔλεξεν ὧδε· « Εἰ μὲν [μὴ] ἐς ἀφανὲς καθέντες τὴν γνώμην ὑμῶν, περὶ ὧν πρεσβεύεσθε, ἐδιδάσκετε, οὔθ' ἡμῖν τοῖς ἐκδεξαμένοις τὸν λόγον χαλεπὴν παρείχετ' ἂν τὴν ἀπόκρισιν. Ἐπεὶ δὲ τὰ εἰρημένα ἐς μὲν εὐπρέπειαν σύγκειται, ἔργῳ δὲ ἐναντίως ἔχει, πῇ μὲν εἰρήνης μνημονευόντων, ὅτε δ' αὖθις πόλεμον ἐπανατεινομένων ὑμῶν, ὧν συγχεῖν ἐοίκατε ἑκάτερον ἐκ θατέρου, ἀμφίβολον καὶ ἡμῖν καθίσταται πρὸς ὅ τι χρὴ πρῶτον ἀποκριναμένους μὴ ἁμαρτάνειν. Λέλειπται

---

duplicem equitatus numerum producimus; in his quoque nulla peregrinorum admixtione invictum agminis eorum robur deminuentes. Itaque quanquam hujusmodi apparatu ad dimicandum instructi, minime tamen de eventu decertandum esse ducimus. Non autem quia victi sumus, sed propter eventuum incertitudinem, pacem bello præponimus, præsertim quum vos quoque, data occasione, ad componendas simultates cum Juthungis propensos esse suspicemur, quoniam aliqua inter utramque gentem antiqua et inveterata ad quietem mutuo colendam fides exstat. Quamobrem oportet inconsiderate susceptum hoc tempore dissidium deponere, et ad antiquam concordiam, quæ est utrisque utilior, redire. Et in ipso bello quidem non admodum crebras incursiones facientes prædas egimus, necessarias res comparare qua occasio tulit studentes, ceteroquin usque ad hanc proximam pugnam in otio et quiete tempus contrivimus, et quando hostes vestri in vos irruerunt, contra ipsos una cum vestro exercitu in acie stetimus. Quod et adhuc nunc facere parati sumus, ut vestrum periculum levemus nostro, et tutius vobis sit. Nam conjunctis maximis nostris exercitibus, nulla alia manus par nobis in conserenda pugna censebitur. Sin autem quis prospero rerum in bello successu elatus contemnit et alienus est a pace: sciat, se haud satis firma et stabili re inniti, sed in summum discrimen adduci, quicunque, secundæ fortunæ specie victus et præsenti felicitati confisus, sola meliorum successuum spe nitatur, quique in ea animi immoderata elatione ad mutationem rerum non advertat et suppetias opportune sibi oblatas respuat. Ex quo fere ita comparatum est, ut propriarum virium fiducia præcipue majores copiæ fretæ, minima providentia in rebus suis utentes, ad pugnandum accedant et hostes contemptui habeant, a quibus minime sibi caventes superantur. Quæ vero in repentinis et insperatis casibus consilio tuto et virium præstantia cum firmitudine utuntur, magna cum difficultate ab hostibus expugnari possunt. Hujus rei fiducia, quamvis, acie bipartita ad fluvium, fortuna potius quam vestra virtute nobis cladem intuleritis, haud spe destituti sumus, diligentiore posthac nostris rebus cautione adhibita, fore ut nos sustinere minime valeatis. Itaque potius est, ut vos commoda, quæ ex pace proveniunt, percipiatis, et junctis nobiscum bellicis viribus, nostris auxiliis confirmati, superiores vestris hostibus, si qui vos adoriantur, evadatis. Quod si ita fieri debere judicaveritis, quod auri facti vel infecti vel etiam argenti a vobis antea nobis redibat, ad amicitiæ confirmationem vos præstare æquum est. Si id denegaveritis, vos qua hostes ulciscemur, et quantum in nobis erit, bello persequemur. « Ad hæc Romanorum imperator hæc dixit: » Siquidem aperte et dilucide vestram sententiam exponentes, ea, de quibus legati estis, nos docuissetis, nobis, qui vestrum sermonem excepimus, ad eum minime dubia aut difficilis præbita esset responsio: sed quoniam ea quæ dicta sunt, decorum quid et honestum præ se ferunt, re ipsa vero secus se habent, quum modo pacis mentionem faciatis, modo rursus bellum minemini et intendatis, quorum utrumque in utroque confundere et involvere videmini, dubitationem nobis attulistis, cui primum debeamus respondere, ne in aliquo offendamus. Sed aliquid tamen etiam

δέ τι καὶ ἐκ τῶν παρόντων βουλεύσασθαι· χρὴ γὰρ τὼ διττὼ τούτω λόγω διελόντας ἀπαντᾶν πρὸς ἄμφω· εἰ μὲν γὰρ καθαρῶς εἰρήνην ἐπαγγέλλεσθε, τί δεῖ μεμνῆσθαι χρημάτων αἰτήσεως; καίτοι κἂν τούτῳ οὐ σὺν τῷ προχείρῳ ἡ βουλὴ τοῖς νενικηκόσιν πρὸς τὴν ἄρνησιν ἢ τὴν κατaίνεσιν. Εἰ δὲ ἔτι σκοπεῖν ὑμῖν πρὸς τὸ συμφέρον καὶ τὰς ἐκ τοῦ πολέμου πλεονεξίας ἡγεῖσθε τὴν σύμβασιν, καὶ ἡττηθέντες ὥσπερ δασμοὺς παρ' ἡμῶν ἀπαιτήσοντες ἥκετε, τῆς ῥᾳστώνης τὸ τερπνὸν, ὅσον εἰρήνη δίδωσιν, ἐκ παντὸς μεταδιώκειν ἡμᾶς νομίζοντες, ἔχεσθε τῆς ὁμοίας τῇ πρόσθεν ἐπιχειρήσεως, μηδ' εἰς εὐεργεσίας λόγον προϊσχόμενοι τοῦ πολέμου τὴν κατάλυσιν αἰτεῖτε μισθὸν τῆς συγχωρήσεως, ὠνητὴν καὶ οὐκ ἐθελούσιον ποιούμενοι τὴν παροῦσαν ἐς τὴν φιλίαν πρόκλησιν. Οὐ γὰρ δὴ πολέμων ἀπείρους ὄντας ἡμᾶς τῷ πλήθει τῆς πολλὰ δὴ κομπασθείσης ὑφ' ὑμῶν δυνάμεως ἐκπλήξετε· οὐδὲ πλούτῳ λαφύρων Ἰταλικῶν ἐπικομιζόμενοι (1), ἀδεῶς ἐπ' οἴκου πορεύσεσθε· ἀλλὰ δῆλαι μὲν ὑμῶν αἱ πεζαὶ παρασκευαὶ, οὐκ ἄδηλοι δὲ αἱ τῶν ἱππέων, πρὸς ἃς ἐς τρόπον τὸν δυνατὸν ἀντιστησόμεθα. Τολμῶμέν τε γὰρ μετ' ἀσφαλείας, καὶ ἀναχωροῦμεν σὺν προμηθείᾳ, οἷα δὴ λογισμῷ ἡγεμόνι ἐς πάντα χρώμενοι, οἷς ἡ ἰσχὺς βεβαιοτάτη, καὶ ἐμπειρίαν πολεμικῶν ἔργων διαφερόντως ἔχοντες. Ὑμεῖς δὲ μετά τε τοῦ προχείρου ἔπιτε, καὶ διαμαρτάνοντες τῶν ἔργων διὰ τὸ μὴ προσκέψασθαι ἐφ' ἃ δεῖ ἐλθεῖν, πεῖρᾳ τὴν βλάβην τοῦ προπετοῦς φερόμενοι μεταγινώσκετε. Τοῖς γὰρ ζέσει ἐς τὰς πράξεις, μὴ [συνέσει], συμφερομένοις ἀνάγκη τοῦ βελτίστου ἁμαρτάνειν. Καὶ ταχεῖαι μὲν ὑμῶν αἱ ἐπιχειρήσεις, δι' ὀλίγου δὲ αἱ μεταμέλειαι. Καὶ τὸ σύμπαν κατὰ τὸ εἰκὸς θαύματος ἀπήλλακται, ἀντιπάλους ἡμῖν τυχόντας καὶ ἠθῶν ἀνομοίων καὶ ἐς τὰς γνώμας πραττομένων διεστάναι οὐκ ἀποπεποιηκὼς (2), καὶ ὑμᾶς μὲν ἀμαθίᾳ, ἡμᾶς δὲ λόγῳ συνεῖναι, σὺν ᾧ μάλιστα καὶ τὸ κρατεῖν τοὺς ἥσσους τῶν πλειόνων περιγίνεται, συνέσει πρὸ δυνάμεως πιστεύοντας. Τούς τε πλείονας σὺν τῷ ἀλογίστῳ διὰ μάχης ἰόντας κάκιον ἀμανᾶσθαι (3), ἔργου πείρᾳ μᾶλλον ἢ λόγου κομπωδεστέρᾳ προσποιήσει διδάσκεσθε, βλέψαντες ἐς τὰ Σκυθῶν πάθη· μετὰ σαφεστάτων γὰρ τεκμηρίων καὶ οὐκ ἀμάρτυρα λέξομεν. Οὗτοι δὴ τριάκοντα μυριάσι στρατοῦ ἐφ' ἑκατέρας τὰς ἠπείρους σκεδασθέντες πάσῃ τῇ δυνάμει ἡττήθησαν πρὸς ἡμῶν, καὶ λαμπρὰ τοῖς νενικηκόσιν ὑπελείποντο τῆς οἰκείας ἀρετῆς ὑπομνήματα, ὧν τὴν εὔκλειαν ἐς τὸ παντελὲς ἕξομεν νῦν τε καὶ ἔπειτα, τῷ χρόνῳ συμπαραθέουσαν. Τάς τε Ἀλαμανῶν (4) συμφορὰς ἄγειν * σφᾶς τοῦ προχείρου τῷ ἀναρριφθέντι τῆς ἐπιχειρήσεως ταχυτέραν καὶ δι' ὀλίγου ἔθεντο τὴν μετάγνωσιν. Ἡμεῖς τε ἐπὶ ταῖς πλημμελείαις ὑμῶν, αἷς εἰς ἡμᾶς ἐπλημμελήσατε, οὐκ ἀποχρῆν ἡγούμεθα ἣν ἐπάθετε τιμωρίαν, εἰ μὴ καὶ τὸν Ἴστρον ὑπερβάντες ἐν ὅροις τοῖς ὑμετέροις τὴν ὀργὴν ὡς προαδικήσαντας ὑμᾶς (5) ἀποπλήσαιμεν. Πόλεμον γὰρ ἐπὶ σπονδαῖς ἀκήρυκτον ἐφ' ἡμᾶς ἠγείρατε, ἐγκλήματα μὲν ὡς εἰς προαδικήσαντας εἰπεῖν οὐκ ἔχοντες, ἐπιθυμίαις δέ τισι καὶ ἐλπίσι κουφισθέντες, σὺν αἷς ὅμιλος ἀλόγιστος ἐπαίρεται, στρατιᾶς καὶ πο-

(1) πλοῦτον ἐπικομιζ. H.; πλούτῳ ἐπικομπαζομενοι N.

2. ἀπεικότως? — 3. ἀμύνασθαι? Hœsch., ἀπαλλάττεσθαι? B. δαμνᾶσθαι? Mai. — 4. Sic Nieb. pro γαλμιόνων. Locus mutilus. — 5. ὧν προηδικήσατε ἡμᾶς? B.

in præsentia considerare licet. Oportet enim, divisa duplici vestra oratione, in utramque partem occurrere. Si enim pure et sincere pacem denuntiaretis, quid attinuit pecuniarum exactionis meminisse? etiamsi victoribus non satis constaret, an denegarent aut concederent, quod ab illis petitur. Si vero ex pace etiam commodis vestris et exspectatis belli lucris consulere censetis, et quanquam victi quasi tributa a nobis petitis, nihil magis nos amplecti et persequi quam voluptatem ex otio, quod pax tribuit, existimantes : eandem vos quam antea superbiam ostenditis, tantumque abestis ut beneficii loco belli cessationem habeatis, ut etiam mercedem pacis postuletis, et venalem, non spontaneam adhortationem ad amicitiam, quam nunc proponitis, faciatis. Non enim nos tanquam bellorum rudes et imperitos magnitudine tantarum, quas vos jactatis, virium perterrefacietis. Neque vero spoliis Italicarum opum onusti impune domum revertetis : vestræ pedestres copiæ nobis sunt notæ, neque equestres ignotæ, quibus quantum in nobis erit quacunque via resistemus. Audemus enim cum securitate, recedimus cum providentia, et in omnibus rebus prudentia duce utentes, quæ plurimum valet, usu et rei militaris peritia præstamus. Vos cum ardore et promptitudine aggredimini, deinde rerum adeptione frustrati, quia qua progredi oportebat, non ante providistis, damnum experientia ipsa ex vestra temeritate reportantes pœnitentia ducimini. Qui enim fervidius quam prudentius ad res gerendas feruntur, hos optato rerum successu destitui necesse est. Conatus et aggressiones vestræ sunt subitæ et repentinæ et brevi post pœnitentia. In universum non est quod miremur, vos quum adversarii nobis sitis et diversorum morum, etiam rerum gerendarum consiliis a nobis distare * * et vos temeritate, nos consilio congredi, quo paucioribus quoque non raro plures vincere contigit, dum prudentia potius quam viribus nitebantur. Plures autem temere et imprudenter prœlium ineuntes malo affici, re ipsa potius quam verborum elegantiore ornatu docemini Scytharum mala intuentes. Manifestissimis enim indiciis et testimoniis nota testataque dicemus. Illi exercitu trecentorum millium hominum ab utraque parte ripæ expositorum pugnantes, omnibus viribus sunt a nobis deleti et superati. Cujus nostræ virtutis clara victoribus relicta sunt monumenta, ex quibus immortalem nobis gloriam et nunc et sequenti tempore duraturam peperimus. Alemanorumque (?) calamitatis (meminisse decet), quorum temerariam et inconsultam ad aggrediendum irruptionem celerior brevi post pœnitentia est consecuta. Et vero pro his, quæ in nos admisistis et commeruistis, eas quas luistis pœnas minime sufficere judicavimus, nisi quoque, trajecto Istro, in vestris ipsorum finibus iram nostram in vos, qui nos priores injuria affecistis, explevissemus. Bellum enim, dum adhuc fœdus erat, ultro et non indictum adversum nos excitastis. Et quum, quod nobis objiceretis, non haberetis, quia vobis

λέμου ἀντιλαμβάνεσθε. Ὅθεν οὐκ ἔξω προσδοκίας ἄγομεν καὶ παρὰ τοῦ θείου ἔσεσθαι ἡμῖν ἀρωγὰ, οἷα δὴ ἡμῶν μὲν θεσμὸν τὸν ἐπὶ σπονδαῖς οὐκ ἀτιμασάντων, Ἰουθούγγων δὲ ἄδικον ὁδόν τε ἐφ' ἡμᾶς ἐλθόντων, καὶ ὅρκους καὶ πᾶσαν πίστεως βεβαιότητα παρὰ φαῦλον τιθεμένων. Τοῖς τε αὖ φθάνουσι κατορθώμασιν τὸ μέλλον λαμβάνοντες, καὶ περὶ τῶν ἐσομένων οὐκ ἀπεικότως πρὸς τοῖς εἰρημένοις χρηστὰ δοξάζομεν. Ἡ μὲν γὰρ ἐπ' εὐπραγίᾳ ἐλπὶς θάρσος φέρει, φόβον δὲ ἡ ἐπὶ τῷ ἐναντίῳ. Λογισμῷ τε ἡγεμόνι πρὸς τὰς πράξεις χρώμενοι, τάς τε δόξας τῶν συμβησομένων οὐκ ἀβασανίστως προσιέμεθα, κἂν τοῖς παροῦσιν, οἷα ἄνδρες ἀθληταὶ κινδύνων τῶν ἀρίστων, οὐκ ἐκπληττόμεθα ταῖς τοῦ πολέμου χαλεπότησιν, ἐξ ὧν τὸ ἐλπιζόμενον κέρδος οὐκ ἀσθενὲς καὶ περιττότερον τῆς ἀχθηδόνος. Τὸ γὰρ πλῆθος ὑμῶν σώμασί τε ἥκιστα ἰσχύει καὶ φρονήμασιν. Ἀπείληπται γὰρ Ῥοδανοῦ (Ἠριδανοῦ? Val.) μὲν εἴσω καὶ τῶν ἡμετέρων ὁρίων· σπανίῳ δὲ ἀγορᾷ συνεχόμενον καὶ τῇ ἄλλῃ ταλαιπωρήσει, τοῖς ἀλγεινοῖς τοῖς μὲν ἤδη σύνεστι, τοῖς δὲ μέλλει. Καὶ προκαμὸν ἐν τῷ ἀεὶ μοχθεῖν ἀτολμότερον ἔσται καὶ χρῆσθαι αὐτῷ παρέξει ἀμαχεὶ ὅ τι ἂν βουλώμεθα, ὡς ἂν πρὸς τὴν χρόνιον διατριβὴν ἀπειρηκότι. Ὅθεν ὑμῖν τε τὸ πᾶν περιφανῶς κινδυνεύεται, καὶ ἡ τῆς εἰρήνης ὑμῶν αἴτησις ἐπ' εὐπρεπείᾳ τοῦ φόβου σύγκειται, ὅπως ἂν τὸ σφέτερον δέος ἐπηλυγάζησθε. Ἣν τί δεῖ προσίεσθαι, καλῶς ὑπάρχον πανταχόθεν ἀποκλεισθεῖσιν ὑμῖν τῆς οἴκαδε πορείας καὶ οἷον εἴσω πυλῶν ἀπειλημμένοις χρῆσθαι εὖ τε καὶ μὴ, ὅπως ἂν ἔχωμεν πρὸς ὑμᾶς διανοίας; » Ἐπὶ τούτοις λεχθεῖσιν ἐκ τοῦ βασιλέως κατεπλάγησάν τε Ἰουθοῦγγοι, καὶ ὡς οὐδὲν αὐτοῖς κατὰ τὰς ἐλπίδας ἐπράττετο, παντελῶς τῶν σπονδῶν ἀπογνώσει ἐχόμενοι παρὰ τοὺς σφετέρους ἀπεχώρησαν.

Ὅτι ἐπὶ Αὐρηλιανοῦ οἱ Βανδῆλοι κατὰ κράτος ἡττηθέντες παρὰ Ῥωμαίων πρεσβείαν ἐποιήσαντο πρὸς Ῥωμαίους περὶ διαλύσεως πολέμου καὶ συμβάσεως. Καὶ πολλὰ ἀναμεταξὺ εἰπόντων ἀλλήλων, τοῦ τε βασιλέως καὶ τῶν βαρβάρων, διελύθη μὲν ὁ σύλλογος, τῇ δὲ ὑστεραίᾳ τό τε πλῆθος τῶν Ῥωμαίων στρατιωτῶν αὖθις ἠθροίσθη, καὶ ἐρομένου βασιλέως, ὅ τι σφίσι περὶ τῶν παρόντων λῷον εἶναι δοκεῖ, κρίνοντες τὴν εὐτυχίαν τὴν ὑπάρχουσαν προμηθείᾳ τῆς ὑπὲρ τῶν ὄντων ἀσφαλείας διασώσασθαι, καὶ βοῇ τὸ βουλόμενον σημαίνοντες, σύμπαντες ἐς τὴν κατάλυσιν τοῦ πολέμου ἐχώρησαν. Καὶ οἶδε μὲν ὧδε συνενέχθησαν γνώμῃ· οἱ δὲ τῶν βαρβάρων βασιλεῖς καὶ ἄρχοντες, ἥκοντες καθότι σφισὶ προειρημένον, ἔδοσαν ὁμήρους σφῶν αὐτῶν, οὐ τὰ δεύτερα ἀξιώσεως καὶ τύχης. Οἵ τε γὰρ βασιλεῖς τοὺς παῖδας ἑκάτεροι διδόασιν ἐς τὴν ὁμηρείαν, ἐνδοιάσαντες οὐδὲν, καὶ ἕτεροι ἅμα αὐτοῖς οὐ μάλα πόρρω ἀξιώσεως. Καὶ ἐπὶ τούτοις ἐχώρησάν τε πρὸς σύμβασιν, καὶ αἱ σπονδαὶ ἐγένοντο. Συνεμάχουν δὲ ἀπὸ τῆσδε Ῥωμαίοις Βανδήλων ἱππεῖς εἰς δισχιλίους (*), οἱ μέν τινες

(*) « Hinc oritur mihi suspicio Dexippi esse fragmentum, quod anonymum v. διοσημεία citat Suidas : « Παρῆσαν δὲ οἱ δισχίλιοι (χίλιοι codd. AVC.) Σκύθαι, πάσης ὀξύτεροι διοσημείας (ἤτοι ἀστραπῆς ἢ πρηστῆρος ἢ κεραυνοῦ ἢ σκηπτοῦ ἢ διάττοντος ἀστέρος.) » Mai.

nullam injuriam feceramus, in spes et cupiditates quasdam erecti, quibus vulgus imperitum effertur, exercitu comparato, nos aggredimini. Quare speramus, deum nobis auxilio futurum. Sanctitatem enim fœderum minime derisui et ludibrio habemus. Juthungi contra iniqua ratione nos adoriuntur, et jusjurandum et cetera quantumvis firma fidei vincula pro nihilo ducunt. Equidem ex rebus ad voluntatem nostram fluentibus, quid consecuturum sit conjicientes, eventus rerum non absque veri similitudine, ex his quæ ante dicta sunt, lætos fore, exspectamus. Etenim ex secundis rebus spes fiduciam affert, contraria autem timorem. Prudentia duce in rebus administrandis utentes, quæ accidere possunt, non nisi re bene perpensa, opinione præcipimus, et in præsentia tanquam viri gravibus quibusque periculis exercitati, belli difficultatibus non terremur, quibus non levia commoda, sed laboribus longe majora comparantur. Nam vulgus vestrum neque corporis neque animi viribus pollet. Inclusum enim inter Rhodanum et nostros fines, alimentorum penuria aliisque incommodis laborans, multis malis hoc ipso tempore premitur, aliis mox premetur. Fractum et debilitatum, quia sine intermissione laborat, minus audet et timidius est. Itaque diuturnioris tum studii tum operæ nescium sese nobis sine prœlio præbebit paratum subire, quicquid de eo statuere voluerimus : ex quo omnes vestræ res in apertum discrimen adducuntur. Tota autem vestra pacis petitio nihil est nisi decorum timoris prætextum, quo metum vestrum tegere cupitis. Quam cur accipiamus, data nobis occasione vos undique ab reditu exclusos et quasi intra claustra coercitos bene aut male habendi, utcumque nobis pro animi nostri erga vos affectu videbitur? » His ab imperatore dictis, Juthungi valde sunt consternati, quumque minime negotium, ut speraverant, confecissent, pace prorsus desperata, ad sua redierunt.

Sub Aureliano (an. 271 p. C.; Aureliani an. 2) Vandali a Romanis acie superati sunt. Itaque legationem ad Romanos decreverunt, quæ de bello pacificatione finiendo ageret. Et quum multa inter se imperator et barbari disseruissent, solutum est colloquium. Postridie multitudo militum Romanorum rursus convenit, et quum eos imperator interrogasset, quid illis optimum esse videretur, quum statuerent præsentem prosperitatem tueri et rerum, quibus potiebantur, fruitioni prospici oportere, suam de ea re voluntatem voce significaverunt et universi in sententiam finiendi belli iverunt. Sic igitur inter illos convenit. Itaque barbarorum reges et principes venerunt, et ut illis erat præceptum, ex suis obsides qui non in secundis partibus fortunæ et dignitatis hærebant, dederunt; uterque enim rex et proximi dignitate una cum ipsis sine mora filios suos pro obsidibus tradiderunt. His legibus ad pacta et conventiones ventum est, et fœdera sunt inita : Vandali Romanis duo mille equites auxiliarios ex fœdere suppeditabant, quorum nonnulli ex tota exercitus multitudine delecti et in belli societatem adscripti, alii spontaneam militiam subeuntes nomina dederunt. Reliquus Vandalorum exercitus, salvus et incolu-

αἱρετοὶ ἐκ τοῦ πλήθους ἐς τὴν συμμαχίαν καταλεχθέντες, οἱ δὲ καὶ ἐθέλοντες ἑκούσιον στρατιὰν ὑποδυόμενοι. Ὁ δὲ λοιπὸς Βανδήλων ὅμιλος ἐπ' οἴκου ἐκομίζετο, παρέχοντος τοῦ Ῥωμαίων ἄρχοντος ἀγορὰν ἔστε ἐπὶ τὸν Ἴστρον. Καὶ τὸ μὲν πλεῖστον αὐτοῦ ἀπαθὲς διεσώθη· ὅσοι δὲ παραβάσει τῶν σπονδῶν ἐπὶ λείας συλλογὴν ἀφθόνως ἀπεσκεδάσθησαν, ἀνῃρέθησαν σύμπαντες ὑπὸ τοῦ ἡγεμόνος τῶν ξενικῶν στρατοπέδων, οὐ μείους γενόμενοι πεντακοσίων. Οἷα γὰρ δὴ διὰ φιλίας τῆς χώρας πορευόμενοι, καὶ θάρσει τῆς γενομένης πρὸς Ῥωμαίους εἰρήνης ἐπαρθέντες, τῆς πάσης τάξεως προεξαίροντες κατά τινας αἰφνιδίους ἐπιδρομὰς προσέβαλλον γνώμῃ τοῦ ἄρχοντος, καὶ οὐκ ὀλίγα τῆς χώρας ἐκακούργουν. Καὶ τὸ ἔργον τοῦτο τὸν ἐργασάμενον παρὰ τῷ βασιλεῖ κατατοξευθῆναι *. Οἱ δὲ λοιποὶ Βανδήλων διεσκεδάσθησαν καὶ ἀπενόστησαν ἐπ' οἴκου. Βασιλεὺς δὲ Ῥωμαίων τὴν πλείστην δυνάμεως τῆς πεζικῆς καὶ ἱππικῆς ἐκπέμπει ἐπ' Ἰταλίας. Καὶ διαλιπὼν οὐ μάλα συχνῶν ἡμερῶν, τήν τε ἀμφ' αὐτὸν τάξιν ἑταιρικὴν, καὶ ὅση δορυφορία τοῦ ἄρχοντος, τῶν τε συμμάχων ὅσοι ἦσαν Βανδήλων, καὶ τοὺς ὁμηρεύειν αὐτῷ δοθέντας παῖδας ἐπαγόμενος, καὶ αὐτὸς ἐπὶ Ἰταλίας ἐξήλαυνε σπουδῇ διὰ τὴν τῶν Ἰουθούγγων αὖθις παρουσίαν.

25.

Jornandes De rebus Get. c. 22 : *Geberichus primitias regni sui in Vandalica gente extendere cupiens contra Visumar eorum regem, (Asdingorum e stirpe, quæ inter eos eminet, genusque indicat bellicosissimum, Dexippo historico referente, qui eos ab Oceano ad nostrum limitem vix in anni spatio pervenisse testatur præ nimia terrarum immensitate)* etc.

SEDIS INCERTÆ.

26.

Suidas v. Ἵππος : Δέξιππος· « Ὁ δὲ ἵππος αὐτῷ ἤσκητο ἄρα καὶ ἄνευ ἡνίας ἐλαυνόμενός τε ὠκύτατα φέρεσθαι, καὶ βάδην προϊόντος πρᾳότατα ἵστασθαι, καὶ ἐκκλίνοντος, ὅπως περιοίσεται καὶ κυκλώσεται, εὐκαμπέστατα ἐπιστρέφειν. » Hæc ex Parthicis fluxisse suspicor. Cf. equus egregie doctus, quem Angarus Osroenus Trajano donum misit, ap. Dio Cass. LXVIII, 18.

27.

Idem : Παραπολύ, ἀντὶ τοῦ πάνυ, παντελῶς. Δέξιππος· « Παραπολὺ ἀπελείποντο τοῦ πείσεσθαι τοῖς εἰσηγουμένοις ἡσυχίαν αἱρεῖσθαι. »

28.

Idem : Πατασσούσῃ, ὑπὸ δειλίας κλονουμένῃ. Δέξιππος· « Ἦν δὲ τοῦ καθηγουμένου πρὸς πᾶν τὸ ἀπαγγελλόμενον ἔκπληξις· ὑπὸ γὰρ ἐμφύτου δειλίας καὶ ἀπειρίας τῶν πολεμικῶν ἀναπεπταμένοις μὲν τοῖς ὠσὶ, τεθορυβημένοις δὲ τοῖς ὀφθαλμοῖς, πατασσούσῃ δὲ τῇ καρδίᾳ, ἀεί τι ἀκούσεσθαι ἐλπίζων, τοῖς ἀρχομένοις κατάδηλος ἦν ὡς φυγῇ χρήσεται. »

29.

Idem v. Ἀπὸ δὴ et εὐθαρσῶς : Δέξιππος· « Ἀπὸ δὴ τούτων πάντων ἀναπειθόμενος τῶν πλεονεκτημάτων, πάντα τὸν ἀνθιστάμενον τιθεὶς ἐν δευτέρῳ, εὐθαρσῶς ἐπῄει· συνηνεχθήτην δὴ ἄμφω ἀλλήλοιν. »

30.

Idem v. Παραχρῆμα : « Καὶ ὡς ἐν τῷ παραχρῆμα ὥρμηντό τε (τότε? Bernh.) ἐξιέναι καὶ ψηφί-

---

mis conservatus, Romanorum imperatore vitæ necessaria usque ad Istrum iis præbente, domum rediit. Sed quicumque ab exercitu violatis fœderibus, ad prædandum et rapinas faciendas longius excesserunt, omnes a duce exterarum copiarum (erant autem non minus quam quingenti) sunt cæsi et perempti. Hi enim specie amicitiæ, fiducia pacis cum Romanis factæ elati, nullo servato ordine, venia a suo duce impetrata in repentinas quasdam incursiones eruperant et non pauca regionum loca, qua iter habuerant, vastaverant et damnis affecerant. At ille, qui tantum facinus admisit, est ab eorum rege jaculis confectus. Reliqui Vandalorum separati domos suas repetierunt. Romanorum vero imperator, præmissa majore parte suarum copiarum, sive pedestrium sive equestrium, non longo post est eas subsecutus intervallo, et secum cohortem auxiliariorum retinens, omnes hastatos, qui ejus custodiam agebant, una cum Vandalis, quotquot illi auxiliarii aderant, et pueris, qui illi obsides dati erant, magna celeritate in Italiam contendit, in quam Juthungi denuo irruperant.

26.

Dexippus : « Equus ejus ita institutus erat, ut et sine habenis velocissime ferretur, et illo pedetentim incedente, placidissime staret, et declinante ut locum aliquem circumiret, agilissime se converteret. »

27.

Dexippus : « Multum aberat ut iis qui pacem suadebant, obtemperarent. »

28.

Dexippus : « Dux vero ad quemvis nuntium, qui afferebatur, animo expavescebat. Quum enim ob insitam timiditatem et rerum bellicarum imperitiam arrectis esset auribus oculisque attonitis et corde palpitante, quasi identidem novi aliquid auditurus, milites, quibus præerat, manifeste inde conjiciebant, eum fugam animo meditari. »

29.

Dexippus : « His igitur rebus omnibus, quibus inter ceteros præstare se sentiebat, adductus, omnesque adversarios impares sibi judicans, fidenti animo eum adortus est. Ambo igitur in mutuum certamen ruerunt. »

30.

Dexippus : « Quum autem subito impetum cepissent ad bel-

σματι τὴν στρατείαν ἐκύρωσαν, ὥρμητό τε (τε del. censet Bernh.) πᾶς ἐς τὴν ἐπιχείρησιν. » Δέξιππός φησι.

31.

Idem v. Ῥωμαίων ἀρχή. « Αὕτη τῆς Ἀσσυρίων καὶ Περσῶν καὶ Μακεδόνων τῶν πρὶν μακρῷ ὑπερῆρεν ὁρισαμένη πέρατα ἑαυτῆς πρὸς μὲν ἕω Ἰνδοὺς καὶ Ἐρυθρὰν θάλατταν καὶ Νεῖλον καὶ Καταρράκτας καὶ λίμνην Μαιῶτιν· ὅσα δὲ πρὸς δυσμὰς* Ὠκεανόν τε αὐτὸν, ὃν δὴ μῦθον εἶναι τοῖς ἔργοις ἐδηλώθη, μηδὲ ἄλλως ἢ πρὸς ψυχαγωγίαν τοὔνομα αὐτοῦ παρὰ τοῖς ποιηταῖς ᾄδεσθαι· εἴγε καὶ ἡ Βρεττανῶν χώρα, ἣν περιρρέων νῆσον ἐργάζεται, νῦν εὑρεθεῖσα ἐν πέρασι τῆς Ῥωμαίων ἀρχῆς ἀριθμεῖται. Λεγέτω μὲν οὖν, ὅτῳ δοκεῖ, ὡς ἀναμφίλογοι τῶνδε πρὸς τὰ παλαιὰ αἱ ὑπερβολαὶ, πλήθει τε χειρὸς τῶν ἐπελθόντων εἰκάζοντι καὶ τόλμαις ἑκατέρων καὶ στρατηγήσεσι καὶ μηχανήσεων ἐπινοίαις καὶ τῶν ἀντιπολεμησάντων ἀρετῇ. » Δέξιππος.

« Ὅτι τὴν Ῥωμαίων ἀρχὴν αἴτιον αὐξηθῆναι τὸ φιλόμαχον ἐθνῶν (τοῦ ἔθνους conj. Niebuhr.) καὶ τὸ εὐσύντακτον τῆς δυνάμεως. Πάντες γὰρ οἱ πρὸς ἑσπέραν θυμικώτεροί εἰσι τῶν ἐπὶ θάτερα κατοικούντων. Περιττεύει δὲ Ῥωμαίοις το τεταγμένον ἐν τῷ ἔργῳ καὶ τεχνικὸν, ᾧ καὶ Γαλατῶν ἐπεκράτουν, καὶ ἐν τοῖς πρὸς τους ὁμόρους πολέμοις τριβέντες καὶ περιόντες (l. τριβέντες, περιῆσαν) τῶν [μὲν] βαρβάρων τῇ συντάξει, τῶν δὲ Ἑλλήνων φύσει καὶ ἀνδρείᾳ. »

Utrumque locum exscripsi. Uter ad Dexippum pertineat dubitari potest. Etenim vulgo legitur Δέξιππος δὲ (pro quibus Niebuhrius dedit : Δέξιππός φησιν ὅτι κτλ.), adeo ut posterior locus ad Nostrum referendus sit. At particula δὲ deest in codd. AV ap. Gaisford. Quare Dexippi mentionem ad priorem locum retulit Bernhardyus. Plerumque Suidas præponit, non postponit nomen auctoris. Ceterum nescio an fuerit : Δέξιππος δ' i. e. Χρονικῶν βιβλίῳ δ'.

32.

Idem v. Σεμνόν. Δέξιππος· « Σεμνὸν γὰρ αὐτὸν ἀπέφαινε τά τε ἄλλα καὶ ὅτι οἱ ὁ πατὴρ εὖ στρατηγήσειε.

ARRIANUS.

Vide Dexippi fragm. 11 et 12.

---

tum proficiscendi, et expeditionem illam publice decrevissent, et quilibet ad rem aggrediendam cupide se compararet... »

31.

« Romanorum imperium regna tam Assyriorum et Persarum quam Macedonum veterum longo intervallo superavit, limitibus constitutis versus orientem Indis, mari Rubro, Nilo, Catarractis et palude Mæotide; ad occidentem vero (*Rheno et Danubio et*) Oceano ipso, quem fabulam esse, neque nisi ad delectationem a poetis nomen ejus decantari rebus ipsis declaratum est : siquidem etiam Britannorum regio, quam circumfluens insulam effecit, nunc inventa in finibus imperii Romani numeratur. Concedat igitur, ab hoc imperio citra controversiam res veterum superari, si cui libeat et ingentes copias adversariorum contendere et audaciam utrorumque disciplinamque militarem, postremo machinarum inventa et hostium virtutes. » *Dexippus.*

« Causam, quare imperium Romanorum adeo fuerit auctum, fuisse bellicam fortitudinem gentis et disciplinam militarem. Omnes enim occidentales sunt animosiores iis qui ex altera parte habitant. Sed Romani et ordine et arte in bellis excellunt, qua etiam Gallos vicerunt; et in bellis contra finitimos exercitati, barbaros quidem sollertia, Græcos vero natura et fortitudine superarunt. »

32.

